(1) Λέγει δὲ ὁ Ἡσύχιος „ Ἄριστος εἰς θεωρίαν ὁ τῆς νυκτὸς καιρὸς, οὐκ ἀφελκούσης πρὸς ἕτερα οὔτε τῆς ἀκοῆς, οὔτε τῆς ὄψεως, ὧν ἑκατέρα τὸν νοῦν εἰς ἑαυτὴν περισπᾷ τῆς θεωρίας ἀφέλκουσα · ἐν ταύτῃ τοίνυν ἠδολέσχησα περὶ τὰς θεωρητικὰς κινήσεις ἀσχολούμενος · τοῦτο γὰρ ἀδολεσχίαν ἐπὶ τοῦ παρόντος εἴρηκεν · ἔσκαλλε δὲ νῦν αὐτοῦ τὸ πνεῦμα. τουτέστιν ἐδυσχέραινεν, οὔπω καταλαβεῖν περὶ τούτων δυνάμενον · ἢ ὁ παρὼν βίος, δι᾽ ἄγνοιαν νύξ ἐστιν, ἐν ᾧ, φησίν, οὐχ᾽ ὕπνῳ παρέδωκα κατ᾽ ἄλλους τινὰς ἐμαυτόν · νήφων δὲ μετὰ τοῦ νοῦ περὶ τῶν πρακτέων διελογιζόμην · γεωργικῶς δὲ τὸ ἐμὸν ἐσκάλευον πνεῦμα, ἵνα σπείρας ἐν αὐτῷ θερίσω ζωὴν αἰώνιον · ὁ σπείρων γὰρ εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον · (Γαλ. ϛʹ. 8.). (ἐν τῇ ἐκδεδ. Σειρᾷ.) ἀνωτέρω μὲν οὖν πνεῦμα ἔλεγε τὴν ψυχήν · ἐνταῦθα δὲ τὸ πνεῦμά φησι τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, μεθ᾽ οὗ ἡ ψυχὴ σκάλλεται καὶ ἀδολεσχεῖ · προσεύξομαι γάρ, φησι, τῷ Πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ.

πον; ὅτι τώρα εἶναι ἀρχὴ τῆς πρεπούσης εἰς ἐμὲ τιμωρίας κατὰ τὸν Θεόδωρον· ἐπειδὴ αἱ μέχρι τοῦ νῦν τιμωρίαι ὁποῦ ἔλαβον, αὐταὶ ἦτον προοίμια καὶ ἀρχαὶ τῆς πρεπούσης καὶ ἀξίας τιμωρίας τῶν ἔργων μου.

„ Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ
„ ὑψίστου.

Αὕτη, λέγει, ἡ ἐναλλαγή: ἤγουν ἡ μεταβολὴ ὁποῦ ἡμεῖς ἐλάβομεν, ἀπὸ τῆς ἐλευθερίας καὶ ἀνέσεως εἰς τὴν σκλαβίαν καὶ ξενοχωρίαν αὕτη, λέγω, εἶναι ἔργον τῆς δεξιᾶς χειρὸς τοῦ Θεοῦ, ἥτις μᾶς παιδεύει. (1)

11: „ Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι
„ μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν
„ θαυμασίων σου.

12: „ Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις
„ σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου
„ ἀδολεσχήσω.

Ἔργα Κυρίου ὀνομάζει ἐδῶ ὁ Δαβὶδ τὰς παιδείας, ὁποῦ δίδει ὁ Θεὸς εἰς τοὺς ἀνθρώπους διὰ τὸ συμφέρον· ἀπὸ κοινοῦ δὲ λαμβάνεται ἐδῶ τό· „ Καὶ εἶπα· ἐν τῷ καιρῷ, λέγει, ἐκείνῳ εἶπα, ὅτι θέλω ἐνθυμηθῶ τὰ ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου γενόμενα θαυμάσιά σου Κύριε· ἐπειδὴ ἡ μνήμη αὐτῶν ἔφερεν εἰς ἐμένα παρηγορίαν κατὰ τὸν Θεόδωρον· καὶ θέλω ἀδολεσχήσω: ἤγουν θέλω μελετήσω συνεχῶς τὰ ἐπιτηδεύματά σου: ἤτοι τὰς οἰκονομίας καὶ μεθόδους ὁποῦ μεταχειρίζεσαι Κύριε διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. (2)

13: „ Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.

Ἅγιον ὀνομάζει, ἢ τὸν οὐρανόν, ὡς ἁγνὸν

---

(1) Σαφέστερον δὲ ὁ Θεοδώριτός φησι „ Νῦν ἠρξάμην παιδεύεσθαι ὑπὸ τῆς δεξιᾶς τοῦ ὑψίστου, ἀντὶ τῶν προτέρων εὐεργεσιῶν τὰς εὐωνύμους τιμωρίας ἐπιφερούσης· ἀλλοίωσιν γὰρ τῆς τοῦ Θεοῦ δεξιᾶς ϗ μεταβολὴν, τὴν τιμωρίαν ἐκάλεσεν, ὡς τῆς δεξιᾶς τοῦ ὑψίστου εἰωθυίας τὰ ἀγαθὰ χορηγεῖν, νῦν δὲ οἱονεὶ μεταβαλούσης ϗ κολαζούσης· ἢ νοεῖται ϗ οὕτω· „ Κινῶν φησι τοὺς περὶ τῆς ἀποβολῆς τοῦ ἔθνους τῶν Ἑβραίων λογισμοὺς ὀψέποτε συνῆκα, ὡς ἡ μεταβολὴ αὕτη ἡ ἐξ ἀγαθῶν εἰς κακὰ γεγενημένη τῷ Ἔθνει, δι' οὐδὲν ἕτερον γέγονεν, ἢ διὰ τὴν τοῦ ὑψίστου δεξιάν· ὡς εἰσαφέστερον ἔλεγε, διὰ τὰ κακὰ τοῦ Σωτῆρος Χριστοῦ πεπραγμένα, ὅς ἐστι δεξιὰ τοῦ Πατρός· κατὰ δὲ τὸν θεῖον Κύριλλον· „ Καὶ πᾶς δὲ, ἤτοι ἐκ κακίας ἐπιστρέφων, ἢ ἐν ἀρετῇ μένων ϗ προκόπτων, λεγέτω· νῦν ἠρξάμην· κατὰ δὲ τὸν Θεολόγον Γρηγόριον· „ Αὕτη ἡ ἀλλοίωσις, ἣν ἡ δεξιὰ τοῦ ὑψίστου χαρίζεται, τὸ ἀεὶ διὰ τῶν γυμνασίων τῆς εὐσεβείας ἐπὶ τὸ μεῖζον προκόπτειν· ὁ γὰρ προκόπτων εἰς ἀρετὴν οὐκ ἔστιν ὅτε οὐκ ἀλλοιοῦται· ἄλλος δέ φησι· „ Λέγεται δὲ ϗ ὁ Μονογενὴς ἀλλοιωθῆναι, ὡς τῆς θείας φύσεως ἐν τῷ ἀναλλοιώτῳ θεωρουμένης, τῇ δὲ πρὸς τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως συγκαταβάσει πρὸς τὸ ἡμέτερον σχῆμά τε ϗ εἶδος ἀλλοιωθείσης, οὐ κατὰ μεταβολὴν, ἀλλὰ κατὰ πρόσληψιν· εἶπε δὲ πάλιν ὁ θεῖος Κύριλλος· „ Δεξιὰν ἀντιλαμβανομένην ἁγίαν ϗ σώζουσαν αὐτοὺς, καταφέρουσαν δὲ τοὺς ἐχθροὺς ϗ ἀνατρέπουσαν τοὺς ἀνθεστηκότας τὴν τοῦ Πατρός φησι, τὴν ἄχρονον ϗ ἀΐδιον, ἥτις ἐστὶν ὁ Μονογενής· διὰ γὰρ τοῦτο αὖθις μεταβαλὼν ἐπάγει· ἠλλοίωμαι κἀγὼ ϗ πεφρόνηκα λοιπὸν ὀρθῶς· διάκειμαι δὲ, ὅτι ϗ ἀγαπᾷ ϗ σώζει ὁ Θεὸς τοὺς ἁγίους.

(2) Ἄλλος δέ φησιν „ Ὅρα ὅτι μετὰ τὸ Χριστὸν ἀλλοιωθῆναι: τουτέστι καθ' ἡμᾶς γενέσθαι, ἐμνήσθην φησὶ, τῶν ἔργων Κυρίου· ὅτι ἐπὶ τὸ Χριστοῦ μυστήριον ἀναφέρεται τὸ τὴν χεῖρα Μωσέως ἐκπετασθῆναι ϗ νικᾶν τὸν Ἰσραήλ· ἡ νεφέλη· ἡ θάλασσα· ἡ πέτρα· τὸ μάννα· τὸ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα· αἱ δύω γυναῖκες Ἀβραὰμ, ἅτινά ἐστιν ἀλληγορούμενα· μακαρία δὲ αὕτη ἡ μελέτη· ὅτε τις μελετᾷ οὐκ ἐν ῥήμασιν, οὐδὲ ἐν λεξιδίοις, ἀλλ' ἐν πᾶσι τοῖς ἔργοις τοῦ Θεοῦ· τὰ γὰρ κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ ἐπιτελούμενα παρ' ἡμῶν, τοῦ Θεοῦ ἐστι, παρ' οὗ πᾶν ἀνθρώποις τὸ κατορθούμενον· οὐκ ἐμόν ἐστιν, ἁγνείαν κατορθῶσαι· ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως· εἰ οὖν χάρισμά ἐστιν ἐκ Θεοῦ, οὐκ ἔστιν ἐμὸν ἡ ἁγνεία ὅθεν ϗ σοῦ ἡ ὁμιλία, μὴ ἔστω κοσμική· ἀνοίγων δέ σου τὸ στόμα λόγῳ Θεοῦ, θάρρει ϗ λέγε· „ Ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω· ὁ δὲ Ἡσύχιος λέγει ϗ ποῖα εἶναι τὰ ἀπὸ τῆς ἀρχῆς θαυμάσια, ἅπερ ἡμῶν χάριν ἐποίησεν

λ

γνὸν καὶ καθαρὸν, εἰς τὸν ὁποῖον νομίζεται ὅτι κατοικεῖ ὁ Θεός· ἢ τὸ Σινᾶ ὄρος, ὡς ἀφιερωμένον εἰς τὸν Θεὸν, ἐπάνω εἰς τὸ ὁποῖον κατέβη ὁ Θεός· ἢ ἅγιον ὀνομάζει τὸν ἐν Ἱερουσαλὴμ ναὸν, μέσα εἰς τὸν ὁποῖον κατοικῶν, ἐλάλει ἀπὸ ἐκεῖ μὲ τοὺς ἀξίους· ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ ἐν τῷ ἁγίῳ, ἐν ἁγιότητι ἐξέδωκε· καὶ μὲ αὐτὸ μᾶς ἔδωκε νὰ νοήσωμεν, ὅτι κάθε πρᾶξις τοῦ Θεοῦ, εἶναι ἁγία καὶ καθαρά· ἀγκαλὰ καὶ αἱ παρὰ τοῦ Θεοῦ συγχωρούμεναι παιδεῖαι, φαίνωνται εἰς ἡμᾶς φορτικαὶ, διότι προξενοῦσι πόνους εἰς τὸ σῶμα·

„ Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

Ἐπειδὴ ἀνωτέρω ὑπεσχέθη ὁ Δαβὶδ νὰ ἐνθυμηθῇ τὰ θαυμάσια τοῦ Θεοῦ, διὰ τοῦτο ἐδῶ προτίτερα ἀπὸ ὅλα ἀνυμνεῖ τὸν Θεὸν, καὶ λέγει· ποῖος Θεὸς τῶν ἄλλων Ἐθνῶν εἶναι τόσον μέγας: ἤτοι τόσον μεγαλοδύναμος καὶ μεγαλουργὸς, καθὼς εἶναι ὁ ἐδικός μας Θεός; βέβαια οὐδείς.

14: „ Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια.

Σὺ εἶσαι, λέγει, κυρίως καὶ μόνος Θεὸς, ὁποῦ κάμνεις ἔργα θαυμάσια. (1)

„ Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύνα-
„ μίν σου.

Λαοὺς ἐδῶ ὀνομάζει τὰ Ἔθνη: ἤτοι τοὺς Αἰγυπτίους, τοὺς Ἀμαληκίτας, καὶ ὅλους τοὺς ἄλλους, ὅσους κατὰ διαφόρους καιροὺς, καὶ τόπους, οἱ Ἑβραῖοι διὰ παραδόξων θαυμάτων ἐπολέμησαν καὶ ἐνίκησαν· αὐτοὶ γὰρ ὅλοι ἐγνώρισαν μὲ τὴν δοκιμὴν, ὅτι εἶναι μέγας ὁ Θεὸς, ὁποῦ βοηθεῖ εἰς τοὺς Ἑβραίους.

15: „ Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν
„ λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ
„ Ἰωσήφ.

Βραχίονα ὀνομάζει ἐδῶ ὁ Δαβὶδ, τὴν δύναμιν τοῦ Θεοῦ· τὸν λαὸν δὲ τῶν Ἑβραίων, υἱοὺς ὠνόμασε, τοῦ μὲν Ἰακὼβ, ὡς προγόνου τούτων καὶ Πατριάρχου· τοῦ δὲ Ἰωσὴφ, ὡς τροφέως τούτων καὶ εὐεργέτου, καὶ ὡς δόξαν προξενήσαντος.

ὁ Θεός: ἤτοι ὅτι χοῦν λαβὼν ζῶον ἔθετο λογικὸν, ϗ οἰκείαν εἰκόνα κατέστησεν· ὅτι Παράδεισον ἐφύτευσε ϗ πάλιν ἀπέκλεισε, ϗ κατακλυσμὸν ἐπήγαγε, δι' οὗ τιμωρεῖται ϗ σώζει· ὅτι δι' ἡμᾶς φαίνεται ἐπὶ τῷ φυσικῷ νόμῳ νόμον γραπτὸν εὑρὼν, ϗ ἐπὶ τούτῳ πάλιν τὴν προφητείαν· ἐπιτηδεύματα γὰρ ταῦτα τοῦ Θεοῦ, σῶσαι μηχανωμένου τὸ γένος τὸ ἡμέτερον· ἐν οἷς ὁ Προφήτης ἀδολεσχεῖ, ζητῶν τί σώζει τῶν εἰρημένων τὸν ἄνθρωπον· ἕτερον δὲ παρὰ ταῦτα εὑρὼν, εὐθέως τοῦτο ἐπήγαγεν· „ Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν Πατέρα εἰμὴ διὰ Χριστοῦ, ὃς ἐστι κατὰ ἀλήθειαν ἅγιος, ὡς Θεὸς κατὰ τὸν Ἀνώνυμον..

(1) Ὁ δὲ Δίδυμός φησι „ Μετὰ τοῦ ἄρθρου δὲ εἶπε· σὺ εἶ ὁ Θεὸς, ἵνα δειχθῇ ὁ Σωτὴρ ἕτερος ὢν ἐκείνων, πρὸς οὓς εἴρηται· „ Ἐγὼ εἶπα θεοί ἐστε· ὧν οὐδεὶς μετὰ τοῦ ἄρθρου, ὁ Θεὸς, εἴρηται· ὁ δὲ Ἡσύχιος λέγει· „ Οὐ συγκρίνων λέγει (σύγκρισιν γὰρ ὁ ἀπειρομεγέθης οὐκ ἐπιδέχεται·) ὑμνῶν δὲ ϗ θαυμάζων· ἐπειδὴ μέγας μὲν ὄντως ϗ τὴν ἰσχύν· μέγας δὲ ϗ τὴν συγκατάβασιν· μέγας διὰ δυναστείαν, μέγας διὰ φιλανθρωπίαν· μέγας δὲ οὗτος ὁ Θεὸς κατὰ τὸν Ἀνώνυμον, υἱὸς ὢν μεγάλου Θεοῦ· ὅθεν ϗ ὁ Ἡσαΐας περὶ τοῦ Χριστοῦ εἶπε· „ Προσκυνήσουσί σοι ϗ ἐν σοὶ προσεύξονται· ἐν σοὶ ὁ Θεός ἐστι, ϗ οὐκ ἔστι Θεὸς πλήν σου· σὺ γὰρ εἶ ὁ Θεὸς ϗ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ (Ἡσ. με'. 14.)· ὅπερ ἑρμηνεύων ὁ Δίδυμος λέγει· „ Πῶς γὰρ ὁ Θεὸς ἐν αὐτῷ ἐστι, ϗ οὐκ ἔστι Θεὸς πλὴν αὐτοῦ, ϗ αὐτὸς ὁ Θεός ἐστιν, εἰμὴ νοοῖμεν τὴν αὐτὴν Θεότητα Πατρὸς ϗ Υἱοῦ, ὡς ἕνα Θεὸν εἶναι Πατέρα ϗ Υἱόν· ᾧ ἀκόλουθον τό· „ Ἐγὼ ϗ ὁ Πατὴρ ἕν ἐσμεν· οὐ γὰρ εἶπεν· ἐγὼ ϗ ὁ Θεός· ἄλλος γὰρ τοῦ Υἱοῦ ὁ Πατὴρ, οὐκ ἄλλος δὲ Θεός· ἡ αὐτὴ γὰρ Θεότης, ἐν ἤματος ϗ Γεννήτορος. (ἐν τῇ ἐκδοθ. Σειρᾷ.)

τος εἰς αὐτοὺς, διὰ τὴν σοφίαν καὶ ἐξουσίαν, ὁποῦ ἔλαβεν εἰς τὴν Αἴγυπτον. (1)

16: „ Εἴδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν „ σε ὕδατα καὶ ἐφοβήθησαν.

Ὁ λόγος οὗτος εἶναι διὰ τὸ θαῦμα, ὁποῦ ἔγινεν εἰς τὴν ἐρυθρὰν θάλασσαν. σὲ εἶδον, λέγει, μὲ τρόπον ἄῤῥητον τὰ νερὰ τῆς ἐρυθρᾶς θαλάσσης, καὶ φοβηθέντα τὴν δύναμίν σου ἐδιηρέθησαν εἰς δύω· γέγραπται γὰρ, ὅτι ὁ Θεὸς ἐπορεύετο ἔμπροσθεν ἀπὸ τὸν λαὸν τῶν Ἑβραίων, μὲ στύλον πυρὸς καὶ νεφέλης· „ Ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης δεῖξαι αὐτοῖς τὴν ὁδὸν, τὴν δὲ νύκτα, ἐν στύλῳ πυρός. (Ἐξ. ιγ. 21.)

„ Ἐταράχθησαν ἄβυσσοι.

Ἀπὸ τὸν σφοδρὸν, λέγει, ἄνεμον, ὁποῦ ἔπεσε μέσα εἰς τὰ νερὰ τῆς ἐρυθρᾶς θαλάσσης, ἐταράχθησαν τὰ κατώτατα βάθη αὐτῆς.

17: „ Πλῆθος ἤχους ὑδάτων.

Ὅταν, λέγει, ἐταράχθησαν τὰ βάθη τῆς ἐρυθρᾶς θαλάσσης, τότε ἔγινε πλῆθος ἤχους: ἤγουν ἔγινε πολὺ ἦχος τῶν ὑδάτων αὐτῆς· λείπει γὰρ τὸ, ἐγένετο. (2)

„ Φωνὴν ἔδωκαν αἱ νεφέλαι· καὶ γὰρ „ τὰ βέλη σου διαπορεύονται.

Φωνὴ τῶν νεφελῶν εἶναι ἡ βροντὴ, λέγει δὲ ἡ ἱστορία ἡ περὶ τῆς ἐρυθρᾶς θαλάσσης, ὅτι ἔπνευσε νότος δυνατὸς καὶ βίαιος, καὶ ἔτζι ἐδιηρέθη ἡ θάλασσα· ὅθεν ἐπειδὴ ἔγινε τοιοῦτος σφοδρὸς ἀνεμοστρόβιλος, ἀκόλουθον εἶναι νὰ ἔπεσαν ἀπὸ τὰς νεφέλας καὶ βρονταὶ καὶ ἀστραπαὶ, εἰς φόβον καὶ ἔκπληξιν τῶν Αἰγυπτίων· καὶ λοιπὸν βέλη καὶ σαΐτας βέλεις νοήσεις τὰς ἀστραπὰς τὰς διαπορευομένας καὶ ἐρχομένας κατὰ τῶν Αἰγυπτίων· ὃν τρόπον καὶ ὁ Σολομῶν οὕτω τὰς ἀστραπὰς ὠνόμασε· „ Πορεύσονται εὔστολοι βολίδες ἀστραπῶν (Σοφ. ε. 21.) τὸ δὲ διαπορεύονται, εἶναι ἀντὶ, διεπορεύοντο κατὰ ἀντιχρονισμόν· τὸ δὲ γὰρ, εἶναι περιττόν· καθὼς

(1) Ἄλλος δέ φησιν „ Ἑτέρως δὲ, ἐν ἀμφοτέροις τοῖς λαοῖς τῷ τε ἐκ περιτομῆς καὶ τῷ ἐξ Ἐθνῶν ἐγνώρισεν ὁ Σωτὴρ τὴν ἑαυτοῦ δύναμιν· τῇ ἐνεργείᾳ γὰρ αὐτοῦ καὶ τῇ πράξει ἐλυτρώσατο τὸν ἴδιον λαὸν τὸν ἐκ τῶν δύω ἑνωθέντα, δοὺς τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· λαοὶ δὲ αὐτοῦ, οὓς ἥνωσεν εἰς ἕνα λαὸν, οἱ υἱοὶ Ἰακὼβ: ἤτοι οἱ ἐκ περιτομῆς πιστεύσαντες, καὶ οἱ υἱοὶ Ἰωσήφ: ἤτοι οἱ ἐξ Ἐθνῶν· Ἰωσὴφ γὰρ πρόσθεσις Κυρίου ἑρμηνεύεται· προσέθηκε γὰρ ὁ Θεὸς τοῖς σῳζομένοις ἐκ περιτομῆς, τοὺς ἐξ Ἐθνῶν πιστεύσαντας, καὶ ἐπληρώθη ἡ Προφητεία ἡ λέγουσα· „ Καὶ ὁ γειώρας προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ· (Ἡσ. ιδ΄. 1.) γειώρας γὰρ ὁ προσήλυτος λέγεται· ἐγνώρισεν οὖν ὁ Πατὴρ τὴν δύναμιν αὐτοῦ: ἤτοι τὸν Χριστὸν ἐν τοῖς λαοῖς, καὶ ἐν αὐτῷ τῷ Χριστῷ, ὅς ἐστι βραχίων αὐτοῦ, ἐλυτρώσατο πρῶτον τὸν ἐξ Ἰουδαίων λαόν· εἶτα καὶ τῶν ἐξ Ἐθνῶν.

(2) Ὁ δὲ Σευῆρος φησιν, ὅτι κατὰ προσωποποιΐαν λέγει τοῦτο ὁ Δαβίδ, αἴσθησιν καὶ ψυχὴν περιτιθεὶς τοῖς ἀναισθήτοις καὶ ἀψύχοις ὕδασι· καὶ ἐν μὲν τῇ παλαιᾷ ταῦτα οὕτω γέγονεν· ἐν δὲ τῇ καινῇ, ἰδόντα τὸν Κύριον ἐφοβήθη τὰ ὕδατα, ὅτε κατέβη πρὸς αὐτὰ βαπτισθησόμενος κατὰ τὸν Σευῆρον· ὅτε ἐπὶ τῶν ὑδάτων περιεπάτησε κατὰ τὸν Εὐσέβιον· ὅτε ἐπετίμησε τῇ θαλάσσῃ καὶ ἐφιμώθη, καὶ ἐγένετο γαλήνη μεγάλη κατὰ τὸν Ἀθανάσιον· κατὰ δὲ τὸν Κύριλλον „ Τὰ πλήθη τῶν ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ συγκροτουμένων λαῶν, ὕδασι παρωμοιωμένα, ἰδόντα τὸν εἰς ἀνθρώπους ἐπιδεδημηκότα Θεὸν, φόβον ἀνέλαβον σωτήριον, ὅς ἀρχή ἐστι σοφίας· αἱ δὲ ἄβυσσοι τὰ τάγματα τῶν ἀπίστων, ἐταράχθησαν ἐπανιστάμενα κατὰ τῆς Ἐκκλησίας· αἱ δὲ νεφέλαι, αἱ κελευσθεῖσαι μὴ βρέχειν ἐπὶ τὸν πρότερον ἀμπελῶνα τοῦ Ἰσραὴλ, οἱ τοῦ Σωτῆρος Μαθηταὶ, καθ' ὅλης τῆς οἰκουμένης τὸν οὐράνιον ὑετὸν διαδεδωκότες, φωνὴν ἔδωκαν· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· καὶ τὰ σωτήρια βέλη καὶ ἐκλεκτὰ τὰ τιτρώσκοντα τὰς τῶν σῳζομένων ψυχάς: ἤτοι αὐτοὶ πάλιν οἱ Ἀπόστολοι· ἢ τὰ πεπυρωμένα τοῦ Θεοῦ λόγια, καὶ αἱ τοῦ Πνεύματος ἐνέργειαι, πανταχοῦ ἐπορεύθησαν.

φώς εἶναι περιττὸν καὶ ἐν τῷ ξδ´. Ψαλμῷ: ἤγουν τό· „ Κεκράξονται καὶ γὰρ ὑμνήσουσιν„ ὡς εἴπομεν. (1)

ιη: „ Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ

Ἐν τῷ ιδ. κεφαλαίῳ τῆς Ἐξόδου γέγραπτε· „ Καὶ συνετάραξε Κύριος τὴν παρεμβολὴν τῶν Αἰγυπτίων· καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἤγαγεν αὐτοὺς μετὰ βίας· τοῦτο οὖν ἀναφέρων ἐδῶ ὁ Δαβὶδ λέγει, ὅτι ἡ φωνὴ τῆς βροντῆς σου ἔπεσεν εἰς κάθε καρότζαν κατὰ τὸν Θεοδώριτον. τροχὸν γὰρ τὴν καρότζαν ὀνομάζει, ἀπὸ μέρους τὸ ὅλον· διατὶ ἡ καρότζα ἐπάνω εἰς τροχὸν σύρνεται· ἀπὸ τὴν βροντὴν δὲ ταύτην μὲ τὸ νὰ εταράχθησαν τὰ ἄλογα, ὁποῦ ἐτράβιζαν τὰς καρότζας, ἐδέθησαν καὶ συνεπλέχθησαν ἕνα μὲ τὸ ἄλλο τὰ ἄξονια, εἰς τὰ ὁποῖα εἶναι περασμένοι οἱ τροχοί· νοεῖται δὲ τὸ ῥητὸν τοῦτο καὶ ἀναγωγικῶς· ὅτι ἡ φωνὴ τῆς θεολογίας, αὕτη εὑρίσκεται εἰς τὸν τροχόν: ἤγουν εἰς τὸν ἄνθρωπον ἐκεῖνον, ὁποῦ ὀλίγον ἐγγίζει εἰς τὴν γῆν· καθὼς καὶ ὁ τροχὸς ὀλίγον καὶ μὲ μίαν στιγμὴν ἐγγίζει εἰς τὴν γῆν: ἤτοι εἰς ἐκεῖνον τὸν ἄνθρωπον, ὁποῦ τόσον φροντίζει διὰ τὰ γήϊνα, ὅσον μόνον διὰ τὴν ἀναγκαίαν χρείαν τοῦ σώματός του· κατὰ δὲ τὰ ἄλλα πάντα, εἶναι ἀνώτερος ἀπὸ τὰ κάτω καὶ γήϊνα. (2)

„ Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκου„ μένῃ.

Αἱ λαμπρότητες, λέγει, τοῦ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ θαύματος, ἐφάνησαν εἰς ὅλην τὴν οἰκουμένην. (3)

„ Ἠ-

(1) Ὁ δὲ Ἀνώνυμος λέγει „ Νεφέλαι ἦσαν οἱ τοῦ Σωτῆρος ἡμῶν Μαθηταὶ ϗ Ἀπόστολοι ϗ Εὐαγγελισταὶ, οἵτινες φωνὴν ἔδωκαν· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· βέλη δὲ αὐτοῦ τὰ σωτήρια ϗ ἐκλεκτὰ τιτρώσκοντα τὰς τῶν σωζομένων ψυχὰς, κατὰ τὴν νύμφην Ἐκκλησίαν εἰποῦσαν· τετρωμένη ἀγάπης ἐγώ· ϗ αὐτὸς δὲ ὁ Σωτὴρ βέλος ὠνόμασται παρὰ τῷ Προφήτῃ φήσαντι· „ Ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, ϗ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με· (Ἠσ. μθ´. 2.) ἀλλὰ τοῦ μὲν Πατρὸς, βέλος ἐστὶν ὁ Υἱὸς ϗ Σωτὴρ ἡμῶν· τοῦ δὲ Σωτῆρος, οἱ Μαθηταὶ, ϗ τὰ πεπυρωμένα αὐτοῦ λόγια βέλη ὑπῆρχον· διὸ λέλεκται ἐν τῷ περὶ τοῦ ἀγαπητοῦ Ψαλμῷ· „ Τὰ βέλη σου ἠκονημένα δυνατὲ, λαοὶ ὑποκάτω σου πεσοῦνται.

(2) Ὁ δὲ θεῖος Βασίλειος λέγει „ Ὅτι δὲ τὸ Εὐαγγέλιον βροντή ἐστι, δηλοῦσιν οἱ παρὰ τοῦ Κυρίου μετονομασθέντες Μαθηταὶ, ϗ υἱοὶ βροντῆς χρηματίσαντες· διὰ τοῦτο οὐκ ἐν τῷ τυχόντι τῆς τοιαύτης βροντῆς ἡ φωνὴ, ἀλλ᾽ ἐάν τις ἄξιος ᾖ ὀνομάζεσθαι τροχός· φωνὴ γάρ σου φησὶν ἐν τῷ τροχῷ· ἐάν τις ᾖ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος, ὥσπερ ὁ τροχὸς ὀλίγῳ μέρει τῆς γῆς ἐφαπτόμενος· ὅθεν εἶπεν ὁ Ὠριγένης· „ Πᾶς ἅγιος οὐ γεγωνίωται, οὐδὲ ἔχει τι σκολιὸν, ἀλλὰ τροχός ἐστιν ὀλίγῳ μέρει τῆς γῆς ἐφαπτόμενος, ϗ ἡ φωνὴ τῆς σοφίας ἐν τῷ τοιούτῳ γίνεται μηδὲν ἔχοντι καμπύλων· ὁ δὲ ἁμαρτωλὸς, τάτε ἄλλα σκολιός ἐστι, κἂν εὔχηται, ἐν ταῖς γωνίαις εὔχεται· ὁ δὲ Ἀνώνυμος λέγει· „ Τροχὸν δέ φησι, τὸν σύμπαντα κόσμον· ϗ ἐν Ἰεζεκιὴλ δὲ, τροχὸς ἐν τροχῷ λέλεκται τῶν ἀνθρώπων ὁ βίος: ὁ μὲν γὰρ οὐρανὸς σφαιροειδὴς, ὁ δὲ ἥλιος στρόφον ἀκατάπαυστον ἔχει· ὅθεν ἐν τῷ Ἔσδρᾳ ὁ Ζοροβάβελ φησίν· „ Ὑψηλὸς ὁ οὐρανὸς ϗ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, ϗ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν ἡμέρᾳ μιᾷ (Γ´. Ἔσδρ. δ´. 34.) λέγει δὲ ϗ ὁ Ὀλυμπιόδωρος. „ Τροχὸς δὲ ὁ βίος καλεῖται διὰ τὸ κινεῖσθαι ϗ κυλίεσθαι· κατὰ τὸ, φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ· πρὶν οὖν, φησι, κυλιόμενος οὗτος ὁ τροχός: ἤτοι ὁ βίος, ἀποκυλίσῃ ἡμᾶς εἰς τὸν λάκκον, τῆς ἑαυτῶν σωτηρίας φροντίσωμεν· ϗ ὁ ἅγιος Νεῖλος· „ Γέλα μὲν τοῦ βίου τὸν τροχὸν ἀτάκτως κυλιόμενον· φυλάττου δὲ τὸν βόθρον, εἰς ὃν κυλίει τοὺς ἐν αὐτῷ νυστάζοντας· ϗ ὁ Θεολόγος Γρηγόριος δι᾽ Ἰάμβων φησι·

„ Τροχός ἐστιν ἀστάτως πεπηγμένος.
„ Ἄνω κινεῖται ϗ περισπᾶται κάτω.
„ Φεύγων κρατεῖται ϗ μένων ἀποτρέχει.
„ Ἕλκει καθέλκει τῇ κινήσει τὴν στάσιν.
„ Ἢ καπνὸν ἢ ὄνειρον ἢ ἄνθος χλόης.
„ Ὁ μικρὸς οὗτος ϗ πολύτροπος βίος.
„ Οὐχ᾽ ἵσταται γὰρ κἂν δοκῇ πεπηγέναι·
„ Σκιρτᾷ δὲ πολλὰ ϗ τὸ φεύγειν οὐκ ἔχει.
„ Ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφων.

(3) Ἄλλος δὲ λέγει „ Ἡμᾶς δὲ ϗ αἱ αἰσθηταὶ ἀστραπαὶ ϗ βρονταὶ ἐπιστρεφέτωσαν πρὸς τὸν βροντῶντα ϗ ἀστράπτον

„ Ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη
„ ἡ γῆ.

Ἡ γῆ, λέγει: ἤγουν ὅλοι οἱ ἐν τῇ γῇ ἄνθρωποι, ἐσαλεύθησαν καὶ ἐφοβήθησαν, ἀκούσαντες καὶ μαθόντες τὰ θαυμάσια, ὁποῦ ἐποίησας Κύριε, ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ διὰ τὸν λαόν σου Ἰσραήλ. (1)

19: „ Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ
„ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς,
„ καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

Τὸ ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, εἶναι ἕνα ἐπιφώνημα τοῦ θαύματος, ὁποῦ ἔγινεν εἰς τὴν ἐρυθρὰν: ἤγουν σὺ Κύριε, ὅταν θέλῃς περιπατῆς εἰς τὰ νερά· τὸ αὐτὸ δὲ λέγει καὶ μὲ τό· „ Αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, πρὸς περισσότερον τοῦ θαύματος ἔπαινον· τὸ δέ· „ Τὰ ἴχνη σου οὐ γνωσθήσονται δηλοῖ, ὅτι τὰ δύω μέρη τῆς θαλάσσης ὁποῦ ἐχωρίσθησαν, πάλιν ἐνώθησαν· ἔ. τζι ἡ θάλασσα ἀπεκατεστάθη εἰς τὸν πρότερον τόπον της, ὥστε ὁποῦ, οὔτε ἴχνος καὶ σημάδι ἐφαίνετο, ὅτι ἐχωρίσθη. (2)

20: „ Ὡδήγησας ὡς πρόβατον τὸν λαόν
„ σου, ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

Σύ, λέγει, Κύριε, ὡδήγησας τὸν Ἰσραηλιτικὸν λαόν, ὡσὰν πρόβατον· εἶπε δὲ τοῦτο, διὰ νὰ δείξῃ τὴν ἐπιμέλειαν, ὁποῦ ἔδειξεν ὁ Θεὸς εἰς τοὺς Ἑβραίους καὶ τὴν φύλαξιν· ὥστε ὁποῦ ἔφερεν αὐτούς, καθὼς καὶ ὁ ποιμὴν φέρει τὰ πρόβατα, εἰς βοσκὴν τρυφερὰν καὶ μάνδραν ἀσφαλῆ· διὰ τοῦτο γὰρ καὶ ποιμαίνων τὸν Ἰσραήλ, ἀλλαχοῦ ἀπὸ τὸν Δαβὶδ ὀνομάζεται· (3) αὕτη μὲν εἶναι ἡ ἑρμηνεία τοῦ Ψαλμοῦ.

Με.

πτοντα Θεόν· ἔχουσι γάρ τι θαυμαστὸν, τὸ τὰς αὐγὰς ἀθρόον φαινομένας, φαίνειν τῇ οἰκουμένῃ, ὥστε νυκτὸς λύεσθαι τὸ σκότος· οὐ μόνον γὰρ ἥλιος λύει τὸ σκότος, ἀλλὰ καὶ ἡ ἀστραπή· περὶ δὲ τῆς δυνάμεως τῶν βροντῶν λέγει ὁ Ἰώβ· „ Σθένος δὲ βροντῆς αὐτοῦ τίς οἶδεν, ὁπότε ποιήσει; (Ἰώβ. κϛʹ. 14.) ὁ δὲ Ἀνώνυμος ἀστραπὰς λέγει τὰ τοῦ ἁγίου Πνεύματος χαρίσματα, ἐξαστράπτοντα καθ' ὅλης τῆς οἰκουμένης· ὁ δὲ Ἀθανάσιος λέγει· „ Καὶ τίνες ἂν εἶεν αἱ ἀστραπαί; ἢ αἱ τὸ νοητὸν ἡμῖν ἀπαστράπτουσαι φῶς; οἱ ἅγιοι Ἀπόστολοι καὶ Εὐαγγελισταί· οἷς ἔλεγεν ὁ Σωτήρ· „ Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· ἐξάκουστον δὲ τοῖς ἀνὰ πᾶσαν τὴν γῆν γέγονε τὸ σωτήριον κήρυγμα: δι' οὗ καὶ φόβος ἁγνὸς πάντας ἔλαβε· κατὰ τό· „ Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

(1) Διὰ τοῦτο καὶ Ῥαὰβ ἡ πόρνη ἔλεγε πρὸς τοὺς κατασκόπους τοῦ Ἰησοῦ „ Ἐπιπέπτωκεν ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς· ἀκηκόαμεν γὰρ ὅτι κατεξήρανε Κύριος ὁ Θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπου ὑμῶν· (Ἰησ. βʹ. 9.) τοῦτο δὲ γέγονε καὶ κατὰ τὴν Χριστοῦ παρουσίαν· διὰ γὰρ τὴν φωνὴν τὴν παράδοξον αὐτοῦ, καὶ τὴν ἀστραπὴν τῶν ἔργων αὐτοῦ, καὶ τὴν λαμπρότητα τῶν θαυμάτων, ἐσαλεύθη ἡ γῆ: τουτέστιν ἐξάκουστον τοῖς ἀνὰ πᾶσαν τὴν γῆν γέγονε τὸ σωτήριον τοῦ Θεοῦ κήρυγμα.

(2) Ὁ δὲ Θεόδωρος λέγει „ Ἵνα εἴπῃ οὐ σωματικῶς ὤφθη σου ἡ ὁδὸς, ἀλλὰ διὰ τῶν θαυμάτων· τοῖς μὲν γὰρ ἀνοήτοις, τῶν ἰχνῶν σου ὁ κτύπος οὐ γινώσκεται· ἡμῖν δὲ γινώσκεται τοῖς εἰδόσιν, ὅτι οὐκ ἂν ἐτμήθη θάλασσα, μὴ τῶν σῶν ἰχνῶν διελόντων αὐτήν· ἀοράτῳ γάρ τινι πορείᾳ διαπορευόμενος, ἐνήργεις τὴν πάροδον, παρὼν μὲν καὶ ἐνεργῶν, μὴ θεωρούμενος δὲ, ἅτε ἀσώματον ἔχων τὴν φύσιν· ὁ δὲ Ἀθανάσιος λέγει· „ Θάλασσαν τὸν κόσμον καλεῖ· ὕδατα δὲ πολλὰ, τὰ ἐν αὐτῷ διάφορα τῶν ἀνθρώπων γένη· ἐπειδὴ δὲ ὁ Χριστὸς ἐνετείλατο τοῖς Ἀποστόλοις λέγων· „ Πορευθέντες μαθητεύσατε πάντα τὰ Ἔθνη· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι· διέδραμον δὲ τὴν ὑπουρανὸν, καὶ ἐκήρυξαν εἰς πάντα τὰ Ἔθνη συνόντος αὐτοῖς ἀοράτως τοῦ Κυρίου, κατὰ τὰς ἀψευδεῖς αὐτοῦ ἐπαγγελίας: τούτου χάριν ἐπήγαγε· „ Καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται, διὰ τὸ ἀόρατον τῆς μετ' αὐτῶν πορείας τοῦ Ἰησοῦ· μόνος γὰρ αὐτὸς ὡς Θεὸς ἐποιήσατο· ἐπὶ τῆς αἰσθητῆς θαλάσσης τὴν πορείαν, ὡς φησιν ὁ Εὐαγγελιστής· (Ματθ. ιδʹ. 25.)

(3) Ἄλλος δέ φησι „ Κάλλιστα δὲ εἴρηται τὸ, ὡς πρόβατα· οὐδεμίαν γὰρ οἰκείαν σύνεσιν ἔχει τὰ πρόβατα·

πρὸς

Μερικοὶ δὲ, ἀπὸ τοὺς ὁποίους εἶναι καὶ ὁ Θεολόγος Γρηγόριος, προσαρμόζουσι τὸν Ψαλμὸν τοῦτον καὶ εἰς τὰ τοῦ Δαβὶδ πράγματα καὶ περιςάσεις· ἀκόλουθον γὰρ εἶναι νὰ ἐςενοχωρεῖτο ὁ Δαβὶδ κατὰ τὴν ψυχὴν ἀπὸ θλίψεις καὶ συμφοράς· καὶ διὰ τοῦτο μετὰ τὴν ἐλευθερίαν τῶν θλίψεων, ἐσύνθεσε τὸν παρόντα Ψαλμὸν, καὶ ἐδιηγεῖτο μὲ αὐτὸν ὅσα ἔπαθε· ἐπερίπλεξε δὲ εἰς τὸν Ψαλμὸν τοῦτον καὶ προφητείας περὶ Χρισοῦ, διὰ τὰς ὁποίας νομίζω, ὅτι ὁ Ψαλμὸς οὗτος ἐπιγράφεται εἰς τὸ τέλος· ἐκέκραξα, λέγει, ὁ Δαβὶδ, ὅτε ἐςενοχωρούμην ἀπὸ τὰς θλίψεις· τὰ δὲ ἀκόλουθα ῥητὰ μὲ εὐκολίαν προσαρμόζονται εἰς αὐτὸν ἕως τοῦ· „ Διελογισάμην ἡμέρας ἀρχαίας· ἡμέραι δὲ ἀρχαῖαι, εἶναι αἱ ἡμέραι τῆς εὐτυχίας του, ὅταν εἶχε τὸν Θεὸν ὑπερασπιςήν του· ὁμοίως καὶ τὰ λοιπὰ εὐκόλως εἰς τὸν Δαβὶδ προσαρμόζονται ἕως τοῦ, συνετέλεσε ῥῆμα· τοῦτο δὲ περὶ τοῦ Δαβὶδ νοούμενον, δὲν λέγεται ἀπορρητικῶς, ἀλλὰ ἀποφαντικῶς· δηλαδὴ ὅτι ὁ Θεὸς ἐσυμπέρανε τὸ ῥῆμα: ἤγουν τὴν ἀπόφασιν, ὁποῦ ἐδιώρισε διὰ κάθε ἄνθρωπον· καὶ λοιπὸν θέλω πάθω καὶ ἐγὼ ἐκεῖνο, ὁποῦ ὁ Θεὸς ἐδιώρισε· τὸ δὲ ἀπὸ γενεᾶς εἰς γενεὰν, εἶναι ἀντὶ τοῦ, κατὰ διαδοχὴν κάθε γενεᾶς· τὸ δὲ αὕτη ἡ ἀλλοίωσις, προφητεύει περὶ τῆς Εὐαγγελικῆς πολιτείας· διότι ὁ Δαβὶδ προβλέπωντας μὲ τοὺς προνοητικούς του ὀφθαλμοὺς, ὅτι ἡ πολιτεία αὕτη θέλει εἶναι διαφορετικὴ ἀπὸ τὴν νομικὴν, διὰ τοῦτο λέγει, ὅτι αὐτὴ εἶναι ἔργον τοῦ Χρισοῦ· οὗτος γὰρ δεξιὰ καὶ βραχίων τοῦ Πατρὸς κατὰ τὴν θεότητα ὀνομάζεται, ὡς ποιητὴς τῶν ἁπάντων, καὶ ὡς δύναμις αὐτῶν· τὰ δὲ ἀκόλουθα ῥητὰ εἶναι φανερὰ, ἕως τοῦ, ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· ἅγιον δὲ ἐδῶ τὸν ἁγιώτατον Χρισὸν λέγομεν, ὅς τις ἁμαρτίαν οὐκ ἐποίησεν· ἐν τούτῳ, λέγει, ἐνεργεῖται ἡ βουλή σου Κύριε: ἡ περὶ τῆς ἐνανθρωπήσεως δηλαδὴ καὶ σωτηρίας τῶν ἀνθρώπων· ὁδὸς γὰρ ἐδῶ νοεῖται ἡ βουλή.

Εἶτα θαυμάσας ὁ Δαβὶδ τὸ τοιοῦτον Μυςήριον τῆς ἐνανθρωπήσεως, ὑμνεῖ καὶ μεγαλύνει τὸν Πατέρα· ἐγνώρισας, λέγει, εἰς τοὺς λαοὺς ὅλων τῶν Ἐθνῶν τὸν υἱόν σου· δύναμις γὰρ τοῦ Θεοῦ εἶναι ὁ υἱός· τοῦτον δὲ ὀνομάζει καὶ βραχίονα, διὰ μέσου τοῦ ὁποίου ἐλυτρώθη ὁ λαὸς τῶν Χρισιανῶν ἀπὸ τὴν σκλαβίαν τοῦ Διαβόλου· ὀνομαζόμεθα δὲ ἡμεῖς οἱ Χρισιανοὶ υἱοὶ Ἰακὼβ καὶ Ἰωσὴφ, ἐπειδὴ καὶ ἐγίναμεν υἱοὶ Θεοῦ ἀντὶ τοῦ παλαιοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ ἐκληρονομήσαμεν τὴν ἐκείνου κληρονομίαν καὶ τὸ ὄνομα· εἴπομεν δὲ καὶ περὶ τούτου εἰς τὸ τέλος τοῦ ιγ΄. Ψαλμοῦ, ἑρμηνεύοντες τὸ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. Εἴδοσάνσε δὲ ὕδατα καὶ ἐφοβήθησαν, ὅταν ἐβυθίζετο μὲν τὸ πλοῖον, ὁ δὲ Ἰησοῦς ἐξυπνήσας ἐπετίμησε τοὺς ἀνέμους καὶ τὴν θάλασσαν: ὅθεν καὶ ἐφοβήθησαν αὐτὰ καὶ ἡσύχασαν. τότε καὶ αἱ ἄβυσσοι τῆς θαλάσσης ἐταράχθησαν ἀπὸ τὸν φόβον τῆς Δεσποτικῆς ἐπιτιμήσεως· ἔτι δὲ καὶ τὸ πλῆθος τοῦ ἤχου τῆς θαλάσσης, φωνὴν δὲ ἔδωκαν αἱ νεφέλαι ἐπὶ τοῦ ὄρους τῆς μεταμορφώσεως, ὅταν ἦλθε φωνὴ ἐκ τῆς νεφέλης ἡ λέγουσα „ Οὗ-

---

πρὸς τὸ ὁρμῆσαι μὲν ἐπὶ τὰς τροφίμους νομὰς, αὐλισθῆναι δὲ ἐν τόποις ἀσφαλεςέροις, ἢ ποτὸν ἑαυτοῖς ἐκζητῆσαι ἐὰν μήτις ᾖ ὁ ποιμένων, ϗ ἐπὶ τούτων καθηγούμενος· τοιαύτην ἔμφασιν ἔχει ϗ τὸ, ὁ ποιμένων τὸν Ἰσραὴλ, ϗ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ· δείκνυσι γὰρ, ὅτι οὐκ ᾔδεισαν οἱ ἐξ Αἰγύπτου ἐξιόντες, ποῦ πορεύονται· ἀλλ᾽ ὅπου Θεὸς ἦγε διὰ τῆς νεφέλης αὐτοὺς ὁδηγῶν, ἐκεῖ ἐπορεύοντο· ὁ δὲ Ἡσύχιος λέγει· „ Οὐ μάτην ἐνταῦθα τῇ εἰκόνι τῶν προβάτων ἐχρήσατο· ἀλλ᾽ ἐπειδὴ ῥάβδῳ ταῦτα ὑπὸ τῶν ποιμένων εὐθύνεται· οὕτω ϗ ἡμεῖς τῷ ςαυρῷ παρὰ τοῦ Χρισοῦ ποιμαινόμεθα· ὅθεν ϗ τοῦ Μωϋσέως, ἔτι δὲ ϗ Ἀαρὼν ἐμνημόνευσεν· οἵτινες εἰς τύπον ςαυροῦ, ῥάβδον ἐκόμιζον τῶν ἐν Αἰγύπτῳ ϗ ἐρήμῳ ἐγκύμονα θαυμάτων· καθάπερ γὰρ ἐκεῖνοι τῇ ῥάβδῳ κατὰ τῶν ἐχθρῶν εἰς τὴν τοῦ Ἰσραὴλ εὐεργεσίαν ἐχρήσαντο οὕτω ϗ ὁ Χρισὸς τῷ ςαυρῷ κατὰ τῶν Δαιμόνων ἐπιςροφῆς ἕνεκα τῆς ἡμετέρας κέχρηται· ϗ κατὰ τὸν Ἀθανάσιον· „ Ὥσπερ πρόβατα οὐκ εἰδότα ὅποι τε ἄπεισι· ϗ ὅποι πορεύεται· οὕτως ἡμᾶς αὐτὸς διῆγες, ὑπηρέταις πρὸς τοῦτο τοῖς περὶ τὸν Μωσέα ϗ Ἀαρὼν κεχρημένος· τούτων, φησιν, ἐγὼ, ὑπομιμνησκόμενος, παρεκάλουν τὴν διάνοιαν ϗ εὐφραινόμην· ἐννοῶν γὰρ ὅσα τε ϗ οἷα ἡμῖν, ὑπῆρξε τῇ σῇ βοηθείᾳ, ἐπειθόμην, ὡς οὐκ ἄν ποτε τοσαῦτα πεποιηκὼς ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ, ϗ τῇ τῶν κατεχόντων τότε ἀπαλλαγῇ, νῦν ἀνάσχοιε πάντη περιϊδεῖν ἡμᾶς ἐν δουλείᾳ τε ὄντας ϗ αἰχμαλωσίᾳ ϗ συμφορᾷ.

„ Οὗτός ἐςιν ὁ υἱός μου ὁ ἀγαπητός ἐν ᾧ εὐδόκησα · δύνασαι δὲ νὰ εἰπῇς καὶ νεφέλας τοὺς Προφήτας · καθὼς ἐρμηνεύσαμεν ἐν τῷ ιζ. Ψαλμῷ · ὅπου θέλεις εὕρεις καὶ τὰ βέλη καὶ τὰς ἀςραπὰς τί δηλοῦσι · φωνὴ δὲ βροντῆς εἶναι ὁ λόγος τοῦ Εὐαγγελικοῦ κηρύγματος · ἐπειδὴ αὐτὸ ἦλθεν ἀπὸ τὸν οὐρανόν · καὶ ἐπειδὴ ἔγινε δυνατὸν καὶ ἐξάκουςον εἰς ὅλους τοὺς ἀνθρώπους · τροχὸς δὲ εἶναι ὁ κόσμος διὰ τὸ ἄςατον αὐτοῦ.

Ἐσαλεύθη δὲ ἡ γῆ καὶ ἔντρομος ἐγενήθη, καθὼς ἐν τῷ ιζ. Ψαλμῷ ἐρμηνεύσαμεν · ὅλος γὰρ οὗτος ὁ ςίχος εὑρίσκεται καὶ ἐκεῖ · ἐν τῇ θαλάσσῃ δὲ ἡ ὁδός σου, ὅταν ἐσὺ, λέγει, Κύριε, ἐπῆγες εἰς τοὺς Μαθητάς σου, περιπατῶν ἐπάνω εἰς τὴν θάλασσαν · τὸ ἴδιον δὲ τοῦτο δηλοῦται καὶ διὰ τοῦ ἀκολούθου ςίχου · ὕδατα γὰρ πολλὰ εἶναι τὸ βάθος τῶν ὑδάτων · τὰ ἴχνη σου δὲ ἐπάνω τῆς θαλάσσης οὐ γνωσθήσονται · καθότι ἐπάνω εἰς τὸ νερὸν ἀχνάρια δὲν συνιςῶνται. Μερικοὶ δὲ θάλασσαν ὀνομάζουσι τὴν ζωὴν ταύτην, διὰ τὴν ἅλμην τῶν θλίψεων, καὶ διὰ τὸ ἀβέβαιον καὶ ἀνώμαλον · εἰς τὴν ζωὴν δὲ ταύτην λέγουσιν, ἔγινεν ἡ ὁδὸς καὶ πολιτεία σου Κύριε, κατὰ τὴν ἐνανθρώπησιν · ὅμως τὰ ἴχνη σου: ἤγουν οἱ τρόποι τῆς ἐνανθρωπήσεώς σου, εἶναι ἀκατάληπτοι · λαὸς δὲ τοῦ Πατρὸς, εἶναι ὁ νέος τῶν Χριςιανῶν · χεὶρ δὲ εἶναι ἡ χειραγωγία καὶ ὁδήγησις τοῦ Χριςοῦ, ὅς τις εἶναι, Μωσῆς μὲν, καθὸ νομοθέτης τοῦ Εὐαγγελικοῦ νόμου · Ἀαρὼν δὲ, καθὸ μέγας Ἀρχιερεὺς, ὅς τις ἐθυσίασε τὸν ἑαυτόν του διὰ τὸν λαόν του.



ΨΑΛ-

ΨΑΛΜΟΣ ΟΖʹ. ΚΑΘΙΣΜΑ ΙΑʹ.

„ Συνέσεως τῷ Ἀσάφ.

Ὁ Ψαλμὸς οὗτος ἐπιγράφεται Συνέσεως· ἐπειδὴ εἶναι χρεία νὰ ἔχουν σύνεσιν οἱ τοῦτον ἀναγινώσκοντες, διὰ νὰ γνωρίσουν, ποῖος εἶναι ἐκεῖνος ὁποῦ λαλεῖ ἐδῶ, καὶ πρὸς ποίους λαλεῖ· καὶ ποῖος εἶναι ὁ νόμος ὁ ἐν αὐτῷ ἀναφερόμενος· ὁ μὲν γὰρ λαλῶν ἐν τῷ Ψαλμῷ τούτῳ, εἶναι ὁ Προφήτης Δαβὶδ, ὡς ἐκ προσώπου τοῦ Χριστοῦ· ἐκεῖνοι δὲ, πρὸς τοὺς ὁποίους λαλεῖ, εἶναι οἱ πιστεύοντες τῷ Χριστῷ Χριστιανοί· καὶ νόμος δὲ ὁ ἐν αὐτῷ ἀναφερόμενος, εἶναι ὁ τοῦ Εὐαγγελίου, κατὰ τὸν Ἀθανάσιον.

1: „ Προσέχετε λαός μου τῷ νόμῳ μου.

Λέγει ὁ Προφήτης Ζαχαρίας „ Καὶ καταφεύξονται Ἔθνη πολλὰ ἐπὶ Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν· (Ζα. β. 11.) Λαὸν λοιπὸν ἐδῶ ὀνομάζει ὁ Δαβὶδ τὸν Χριστιανικὸν· Νόμον δὲ τὸν Εὐαγγελικὸν κατὰ τὸν Ἀθανάσιον· περὶ τοῦ ὁποίου εἶπεν ὁ Ἡσαΐας „ Ἐκ Σιὼν ἐξελεύσεται Νόμος καὶ Λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀναμέσον τῶν Ἐθνῶν· (Ἡσ. β. 3.)

„ Κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα „ τοῦ στόματός μου.

Τὸ κλίνατε, ἢ νοεῖται ἀντὶ τοῦ ἁπλῶς ὑποβάλλετε· ἢ ἀντὶ τοῦ μεταθέσετε τὰ αὐτίασας ἀπὸ τὰ ἀνωφελῆ ἀκούσματα, εἰς τὰ κηρύγματα τοῦ Εὐαγγελίου, κατὰ τὸν Θεοδώριτον καὶ τὸν Εὐσέβιον. (1)

2: „ Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα „ μου. φθέγξομαι προβλήματα ἀπ' „ ἀρχῆς.

Τοῦτο τὸ ῥητὸν εἶναι προφητεία τῶν παραβολῶν, ὁποῦ εἶπεν ὁ Κύριος ἐν Εὐαγγελίοις κατὰ τὸν Ἀθανάσιον· φησὶ γὰρ ὁ Εὐαγγελιστὴς Ματθαῖος ἀναφέρων αὐτολεξεὶ τὸ ῥητὸν „ Ταῦτα πάντα ἐλάλησε (ὁ Ἰησοῦς) ἐν παραβολαῖς τοῖς Ὄχλοις. καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ Προφήτου λέγοντος ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς Κόσμου (Ματ. ιγ. 34.) προβλήματα δὲ ἐδῶ ὀνομάζει ὁ Δαβὶδ, τὰς ἰδίας πάλιν πα-

(1) Λέγει γὰρ οὕτως ὁ Εὐσέβιος „ Ἀπαιτεῖ τὸν ἴδιον λαὸν ὁ Σωτὴρ σύντονον ἀκοὴν, ὡς ἂν μὴ τοῖς αὐτοῖς περιπέσῃ τῷ προτέρῳ λαῷ, τῷ παρακούσαντι τοῦ Θεοῦ.

παραβολὸς· ὁ γὰρ Ματθαῖος, ἀντὶ νὰ εἰπῇ προβλήματα, εἶπε κεκρυμμένα, προσέχωντας εἰς τὸ Ἑβραϊκὸν κείμενον, τὸ ὁποῖον καὶ τοῦτο καὶ ἐκεῖνο δηλοῖ· ἐπειδὴ ὅλαι αἱ Εὐαγγελικαὶ παραβολαὶ, κεκρυμμένην εἶχον τὴν ἀλήθειαν· ὅθεν καὶ ὁ Ἀκύλας, αἰνίγματα ἐξέδωκεν· ἀλλὰ καὶ τὸ ἀπ' ἀρχῆς, ὁποῦ λέγει ἐδῶ ὁ Δαβὶδ, ἀπὸ καταβολῆς Κόσμου εἶπεν ὁ Ματθαῖος, προσέχωντας καὶ κατὰ τοῦτο εἰς τὸ κείμενον τοῦ Ἑβραϊκοῦ· τὸ δὲ, φθέγξομαι, ἐρεύξομαι εἶπεν ὁ Ματθαῖος. τὸ ὁποῖον εἶναι σχεδὸν ἕνα μὲ τὸ, φθέγξομαι, (1)

3: „Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά,

Τὸ ὅσα ἐδῶ, δὲν ἀναφέρεται εἰς τὰ προβλήματα, ἀλλὰ λαμβάνεται καθ' ἑαυτὸ θαυμαστικῶς ἀντὶ, ὢ πόσα ἠκούσαμεν· τόσον παρὰ τῶν Διδασκάλων, ὅσον καὶ παρὰ τῶν θείων Γραφῶν· θέλει γὰρ ὁ Δαβὶδ νὰ εἰπῇ, πόσον πολλὰς εὐεργεσίας ἐνήργησεν ὁ Θεὸς εἰς τοὺς παλαιοὺς Ἑβραίους, καὶ πόσον ἐξ ἐναντίας οἱ Ἑβραῖοι ἐπαρώργισαν καὶ ἐλύπησαν τὸν Θεόν· καὶ ἀκολούθως, ὅσα κακὰ ἔπαθον διὰ τὸν παροργισμόν τους αὐτόν· ἠκούσαμεν δὲ εἶπεν ἐκ προσώπου του ὁ Κύριος, διὰ τὸ πρόσλημμα τῆς ἀνθρωπότητος, κατὰ τὸν Θεόδωρον· ἐπειδὴ καὶ αὐτὸς ὡς ἄνθρωπος ἤκουσε ταῦτα, καθὼς καὶ ἡμεῖς. ἔγνωμεν δὲ αὐτὰ ἀντὶ τοῦ ἐβεβαιώθημεν περὶ αὐτῶν· (2) δὲν ἠκούσαμεν, λέγει, ἁπλῶς αὐτὰ ἀλλὰ καὶ τὰ ἐπληροφορήθημεν. (3)

„ Καὶ οἱ Πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.

Ἀφ' οὗ εἶπεν ἀνωτέρω ὅτι ἠκούσαμεν, προσθέττει ἐδῶ καὶ παρὰ τίνων, ὅτι ἀπὸ τοὺς Πατέρας ἡμῶν· πατέρας δὲ λέγει τώρα, ὄχι τοὺς κατὰ φύσιν· ἐπειδὴ δὲν ἠμποροῦμεν νὰ εἰποῦμεν ὅτι τοὺς ἐξ Ἐθνῶν πιστοὺς ἐδίδαξαν ταῦτα οἱ κατὰ φύσιν αὐτῶν γονεῖς· Ἕλληνες ὄντες καὶ χωρὶς νόμου· ἀλλὰ λέγει τοὺς κατὰ θέσιν Πατέρας, κατὰ τὸν Ὠριγένη· ὁποῖοι ἦτον ὁ Μωϋσῆς καὶ οἱ λοιποὶ Προφῆται καὶ Ἱεροὶ Συγγραφεῖς· καὶ πρὸς τούτοις οἱ τούτων ἐξηγηταὶ καὶ διδάσκαλοι τοῦ λαοῦ, καθὼς εἴπομεν· τῶν μὲν γὰρ παλαιῶν Πατέρων ἐκείνων καὶ Προφητῶν Υἱὸς, ἦτον ὁ Χριστὸς διὰ τῆς Μητρός του, καὶ οἱ τοῦ Χριστοῦ Ἀπόστολοι· τούτων δὲ,

(1) Κατὰ δὲ τὸν Ὠριγένη „ Εὐαγγελικὴ παραβολή ἐστι λόγος ὡς περὶ γενομένου· μὴ γενομένου μὲν κατὰ τὸ ῥητὸν, δυναμένου δὲ γενέσθαι τροπικῶς, δηλωτικὸς πραγμάτων ἐκ μεταλήψεως τῶν ἐν τῇ παραβολῇ λελεγμένων· οὐ γὰρ γέγονεν κατὰ τὸ ῥητὸν, τὸ, ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι καὶ τὰ λοιπά· προσθέττει δὲ ὁ Νικήτας λέγων· „ Οὐ νομίζω τὸν ὅρον τοῦτον τῆς παραβολῆς ἁρμόζειν τοῖς ἐπιφερομένοις τῷ, ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· γέγονε γὰρ τὸ, ἐναντίον τῶν Πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια ἐν γῇ Αἰγύπτῳ καὶ τὰ λοιπὰ τοῦ Ψαλμοῦ, κατὰ μὲν τὰ ῥητὰ, γεγενημένων πραγμάτων. κατὰ δὲ διάνοιαν, ἀναγομένων τρόπῳ διηγήσεως παραβολῶν, ἐπί τινα πνευματικὰ, ὧν σύμβολα ἦν τὰ γεγραμμένα καὶ γεγενημένα· ὁ μέν τοι μὴ βουλόμενος. ἕτερον μὲν εἶναι ὅρον τῆς Εὐαγγελικῆς παραβολῆς, ἄλλον δὲ τῆς ἐν τοῖς Ψαλμοῖς ἐνταῦθα ὀνομασθείσης, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, νοησάτω ἀναφέρεσθαι τὸ, ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, οὐκ ἐπὶ τὰ ἀπὸ τῆς Ἐξόδου θαυμάσια· ἀλλὰ ἐπὶ τὰς ἐν τῷ Εὐαγγελίῳ παραβολὰς τοῦ Χριστοῦ, λέγοντος ἐν τῷ Προφήτῃ· „ Προσέχετε λαός μου τῷ νόμῳ μου καὶ τὰ λοιπά.

(2) Ἄλλος δέ φησιν, ὅτι τάχα καὶ οἱ Μαθηταὶ ἀποκρίνονται καὶ φασίν· ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν· οὐ πάντων δέ ἐστι τὸ ἀκούειν καὶ τὸ γινώσκειν, ἀλλ' ἢ μόνων τῶν συνιέντων τοὺς λόγους· ὁ δὲ Ἀθανάσιος λέγει· „ Ὅσα παρὰ τῶν Πατέρων, φησὶ, δεδιδάγμεθα ἀκούσαντες, πάντα ταῦτα διὰ τῶν ἔργων καὶ τῆς αὐτοῦ τοῦ Χριστοῦ παρουσίας ἐγνώκαμεν· ὁ δὲ Δίδυμος λέγει· „ Οἱ Χριστοῦ νοῦν ἔχοντες ταῦτα συνῆκαν πνευματικῶς· διηγήσαντο γὰρ οἱ κατὰ σάρκα Πατέρες, καὶ αὐτοὶ δι' ἐπιστήμης ἑτέρους ἐγέννησαν· ὅπως κἀκεῖνοι τοῖς μετ' αὐτοὺς διηγήσωνται.

(3) Ὁ δὲ Ὠριγένης λέγει, ὅτι ἀνωτέρω μὲν ἑνικῶς ὁμιλεῖ ὁ Χριστός· ἐδῶ δὲ ὁμιλεῖ πληθυντικῶς ὑποκαταβὰς τῆς αὐτοῦ Θεότητος καὶ ἀνθρωπίνως φθεγγόμενος· συμπαραλαμβάνων καὶ τοὺς κατὰ σάρκα ὁμογενεῖς αὐτοῦ καὶ Μαθητάς· ὅτε μὲν γὰρ τὸν οἰκεῖον νόμον αὐτοῖς προὔβάλλετο, σὺν αὐθεντίᾳ βασιλικῇ ἐξ ἑνὸς προσώπου λαλεῖ· νῦν δὲ,

δὲ, τοῦ Χριστοῦ δηλαδὴ καὶ τῶν Ἀποστόλων υἱοί, εἶναι ὅλος ὁ Χριστιανικὸς λαός.

4: „ Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν „ εἰς γενεὰν ἑτέραν.

Οἱ μὲν γονεῖς ἐδιηγήθησαν τὰ διδάγματα ταῦτα ἀμέσως εἰς τὰ ἐδικάτων τέκνα· τὰ δὲ τέκνα των δὲν ἔκρυψαν ἐκεῖνα, ὁποῦ ἔμαθον ἀπὸ τὴν μεταγενεστέραν γενεάν· ἀλλ' ὁμοίως καὶ αὐτὰ ἐδιηγήθησαν εἰς τοὺς υἱούς των, ἐκεῖνα ὁποῦ ἔμαθον· καὶ ἔτζι πάλιν οἱ υἱοὶ ἐκείνων, τὰ ἐδιηγήθησαν εἰς τοὺς μετὰ ταῦτα· νόμος γὰρ ἦτον, ὁποῦ ἐπρόσταζεν εἰς αὐτοὺς ταῦτα· „ Πρόσεχε σεαυτῷ . . . μὴ ἐπιλάθῃ πάντας τοὺς λόγους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου· καὶ συμβιβάσεις τοὺς υἱούς σου καὶ τοὺς υἱοὺς τῶν υἱῶν σου. (Δευ. δ'. 9.)

„ Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυ- „ ρίου καὶ τὰς δυναστείας αὐτοῦ, καὶ „ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε.

Τὸ „ Καὶ οἱ Πατέρες ἡμῶν διηγήσαντο ἡμῖν, ὁποῦ εἶπεν ἀνωτέρω, ἑνόνεται μὲ τὸ, ἀπαγγέλοντες τοῦτο· τὸ δὲ: „ Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν, εἶναι διὰ μέσου κατὰ σχῆμα ὑπερβατόν· τὰ ἴδια δὲ ἔργα τοῦ Θεοῦ αἰνέσεις καὶ δυναστείας καὶ θαυμάσια ὀνομάζει· αἰνέσεις μὲν, ὡς αἰνετά· δυναστείας δὲ, ὡς τῆς θείας δυνάμεως δηλωτικά· καὶ θαυμάσια, ὡς θαυμαστά· ἢ δυναστείας μὲν ὀνομάζει τὰς κατὰ τῶν ἐχθρῶν δυνάμεις, ὁποῦ ἐποίησεν ὁ Θεός, θαυμάσια δὲ ὀνομάζει τὰ θαύματα, ὁποῦ ἐνήργησεν ὁ Θεὸς εἰς τὸν ἐδικόν του λαόν· τὰ ὁποῖα θέλει διηγηθῇ κατὰ μέρος. (1)

5: „ Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, „ καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.

Τοῦ ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ, εἶναι ἐξήγησις τὸ ἀκόλουθον: ἤγουν τὸ, νόμον ἔθετο ἐν Ἰσραήλ· διότι, τὸ μὲν ἀνέστησε σημαίνει τὸ ἴδιον· ὁποῦ δηλοῖ καὶ τὸ ἔθετο· μαρτύριον δὲ πάλιν καὶ ὁ νόμος ὀνομάζεται: καθὼς εἴπομεν εἰς τὸν ιη'. Ψαλμόν· ἀλλὰ καὶ ὁ Ἰακὼβ ὁ ἴδιος ὠνομάσθη καὶ Ἰσραήλ, ὅταν ἠξιώθη νὰ παλαίσῃ μὲ τὸν Θεόν· ποῖος δὲ εἶναι ὁ νόμος αὐτὸς; ἄκουσον. (2)

„ Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡ- „ μῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς „ αὐτῶν.

Τὸ τοῦ, ἐδῶ εἶναι περιττόν· ἐνομοθέτησε, λέγει, τοῦτο ὁ Θεὸς εἰς τοὺς Ἑβραίους· ἵνα, ἐκεῖνα ὁποῦ ἐπρόσταξεν αὐτὸς εἰς τοὺς πατέρας μας, ἐκεῖ-

---

δὲ, ὅτε τῶν παλαιῶν ἀναγνωσμάτων ἐπιτέμνεται τὴν διήγησιν, κοινοποιεῖται τὸν λόγον· καὶ ἠκούσαμεν, εἶπε, διὰ τὸ πρόσλημμα.

(1) Ὁ δὲ Ἀθανάσιος λέγει „ Οὐχ ἑτέρᾳ γενεᾷ, ἀλλὰ τοῖς τέκνοις αὐτῶν πάντα πέπρακται τὰ παρὰ τοῦ Σωτῆρος μεγαλουργήματα· διὸ οὐκ ἐπαύσαντο αὐτοῖς παραγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου, καὶ τὰς δυναστείας αὐτοῦ.

(2) Ὁ δὲ Θεοδώριτος λέγει „ Μαρτύριον καλεῖ τὴν ἐν τῇ ἐρήμῳ παγεῖσαν σκηνὴν, ὡς ἔχουσαν τὰς πλάκας τοῦ μαρτυρίου: ἤτοι τοῦ νόμου· τοῦτό, φησι, διὰ τῆς νομοθεσίας ἐκείνης παρεκελεύσατο, ὥστε καθάπερ τινα κλῆρον τὴν τῶν θαυμάτων διήγησιν παραπέμψαι τοὺς πατέρας εἰς τοὺς ἐκγόνους· τὸ αὐτὸ λέγει καὶ ὁ Ἡσύχιος καὶ ὁ Ἀθανάσιος· ὅτι Μαρτύριον ἦτον ἡ Σκηνὴ, ἔνθα ἡ Κιβωτὸς, ἐν ᾗ ὁ νόμος. τά τε Χερουβὶμ, καὶ τὸ ἱλαστήριον, καὶ ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων· προστίθησι δὲ ὁ Ἀθανάσιος· „ Νόμον, φησιν, ἔδωκε τοῖς πατράσιν αὐτῶν, παιδαγωγῶν αὐτοὺς εἰς τὸ γνῶναι διὰ τοῦ νόμου τὸν κατὰ καιροὺς ἐπιδημήσαντα Σωτῆρα τῷ γένει· ἐπεὶ δὲ παρέβησαν τὸ μαρτύριον καὶ τὸν νόμον, μαρτύριον ἕτερον ἑαυτῷ τὸ σῶμα κατηρτίσατο, ναὸν ὄντα τοῦ ἐνι-

ἐκεῖνοι πάλιν γνωρίσουν καὶ διηγηθοῦν αὐτὰ εἰς τοὺς ἐδικούς των υἱούς.

6: „Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ „τεχθησόμενοι. καὶ ἀναστήσονται, „καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς „αὐτῶν.

Ἐδῶ γράφει τὴν αἰτίαν, διὰ τὴν ὁποίαν οἱ Πατέρες ἐδιηγοῦντο εἰς τοὺς υἱούς των τὰ θαυμάσια τοῦ Θεοῦ: δηλαδὴ, διὰ νὰ ἠξεύρῃ ταῦτα ἡ μεταγενεςέρα γενεά· καὶ πάλιν εἰ υἱοὶ ἐκεῖνοι, ἐποῦ μέλλουν νὰ ἀναςηθοῦν: ἤγουν νὰ γεννηθοῦν ἀπὸ τὴν μεταγενεςέραν γενεὰν, αὐτοὶ, λέγω, νὰ διηγοῦνται ταῦτα εἰς τοὺς υἱούς των: ἤτοι οἱ υἱοὶ τῶν υἱῶν νὰ διηγοῦνται αὐτὰ εἰς τοὺς υἱούς των κατὰ διαδοχήν· καὶ οὕτω νὰ διαμένῃ ἡ μνήμη αὐτῶν ἀλησμόνητος. (1)

7: „Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα „αὐτῶν.

Ἵνα, λέγει, ἐκ τῆς διηγήσεως ταύτης μανθάνοντες οἱ μεταγενέςεροι, ὅσα ὑποσχέθη νὰ κάμνῃ ὁ Θεὸς εἰς τοὺς ἐλπίζοντας εἰς αὐτὸν, θέλωσιν ὅλην τὴν ἐλπίδα των εἰς τὸν Θεόν.

„Καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ „Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζη„τήσωσιν.

Ἵνα, λέγει, οἱ μεταγενέςεροι μελετῶντες τὰς τοιαύτας προγονικὰς διηγήσεις, μὴ ἀλησμονήσουν τὰ ἔργα τοῦ Θεοῦ, τὰ ὁποῖα ἀνωτέρω ὠνόμασε δυναςείας Θεοῦ καὶ θαυμάσια· καὶ ζητήσωσιν: ἤτοι ἀκολουθήσωσιν εἰς τὰς ἐντολάς του· διὰ τὶ ἐκεῖνος ἐποῦ ζητεῖ κανένα πρᾶγμα, αὐτὸς καὶ εἰς τὸ ἴχνος ἐκείνου ἀκολουθεῖ· γενεὰ δὲ ἑτέρα ἠμποροῦν νὰ εἶναι καὶ οἱ Χριςιανοὶ, οἵτινες ἠξεύρουν ὅλα τὰ ἐν τῇ Παλαιᾷ διηγήματα καὶ θαυμάσια τοῦ Θεοῦ.

8: „Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐ„τῶν γενεὰ σκολιὰ καὶ παραπικραί„νουσα.

Ἵνα μὴ, λέγει, ὡς ἡ παλαιὰ, οὕτω γένῃ καὶ ἡ μεταγενεςέρα γενεὰ, σκολιὰ μὲν, διὰ τὶ δὲν εἶχε πίςιν ὀρθὴν καὶ ςερεὰν εἰς τὰς ἐπαγγελίας τοῦ Θεοῦ· ἀλλὰ ἐν καιρῷ περιςάσεως ἀπιςοῦσεν εἰς αὐτάς· παραπικραίνουσα δὲ, διὰ τὶ ἐγόγγυζε κατὰ τοῦ Θεοῦ, ὅταν ἤθελεν ἀπαντήσῃ καμμίαν δυσκολίαν καὶ πειρασμόν· καὶ διὰ τὶ δὲν ὑπέφερεν, οὔτε ἀρέσκετο εἰς τὴν ἐξ Αἰγύπτου ἐλευθερίαν· ἀλλὰ ἐνόμιζε προτιμοτέραν τὴν ἐν Αἰγύπτῳ σκλαβίαν· καθὼς ταῦτα πάντα διηγῆται εἰς πολλὰ μέρη ἡ βίβλος τῶν Ἀριθμῶν. (2)

„Γενεὰ, ἥτις οὐ κατεύθυνε τὴν καρ„δίαν ἑαυτῆς, καὶ οὐκ ἐπιστώθη με„τὰ

ἐνοικοῦντος Θεοῦ λόγου· „ Λύσατε γάρ φησι τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· τὸ αὐτὸ λέγει καὶ ὁ Εὐσέβιος.

(1) Ὁ δὲ Ἀθανάσιος λέγει „ Σημαίνει διὰ τούτων τοὺς ἁγίους τοῦ Σωτῆρος Μαθητὰς, οἵτινες τὰ θαυμάσια, ἃ κατώρθωσεν ὁ Χριςὸς, τοῖς υἱοῖς αὐτῶν ἀπαγγελοῦσι: τουτέςι τοῖς προσελθοῦσι δι' αὐτῶν τῇ πίςει· καὶ ὁ Ἡσύχιός φησι· „ Θεωρεῖς ὅτι περὶ τῶν Ἐθνῶν λέγει; οὕτω γὰρ ταῦτα τεχθέντα ὑπῆρχεν εἰς εὐσέβειαν· ἔμελλε γὰρ διὰ τοῦ Βαπτίσματος τίκτεσθαι· ὅθεν υἱοὶ τεχθησόμενοι δικαίως ἐλέγοντο· τοῦτο δὲ γνῶσις ἀληθὰς Θεοῦ, τὸ μεταδοῦναι καὶ ἄλλοις τῆς γνώσεως, καὶ υἱοὺς τῇ μαθητείᾳ τῶν ἐντολῶν ἐργάσασθαι· ὅπερ σαφῶς πεποιήκασιν οἱ εἰς Χριςὸν πιςεύσαντες· οὐδενὶ γὰρ τῆς θεογνωσίας ἐβάσκηναν· οὐδὲ, ὡς οἱ προλαβόντες, ἐπίςευσαν ἀποκλεῖσαι τοῖς ἄλλοις τὴν εἴσοδον βουλόμενοι· ἀλλὰ παρεγγυῶσιν ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα ἔχειν.

(2) Ὁ δὲ Ἀθανάσιος ἀπαγγελοῦσι, φησι, τὰς αἰνέσεις τοῦ Θεοῦ τοῖς δι' αὐτῶν παιδαγωγουμένοις οἱ Ἀπόςολοι, ἵνα καὶ ἐκζητήσωσι τὰς τοῦ Θεοῦ ἐντολὰς, καὶ μὴ τὴν τῶν Πατέρων κακοδαιμονίαν μιμήσωνται·

„ τὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.

Διὰ νὰ μὴ γένῃ, λέγει, ἡ μεταγενεςέρα γενεὰ, ὡσὰν ἐκείνη ἡ παλαιὰ τῶν Ἑβραίων, ἡ ὁποία δὲν ὤρθωσε τὴν καρδίαν της, ὥςε ὁποῦ νὰ πιςεύῃ εἰς τὸν Θεὸν, μὲ ἁπλότητα καὶ βεβαιότητα· ἀλλ' ἐσκολίαζε διςάζουσα, καὶ ἀμφιβάλλουσα· οὐδὲ ἐφάνη πιςὴ εἰς τὸν Θεὸν, καὶ εἰς τὰ λόγια τοῦ Θεοῦ· πνεῦμα δὲ λέγει ἐδῶ τὴν ψυχήν. (1)

9: „ Υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλ-
„ λοντες τόξοις· ἐστράφησαν ἐν ἡμέ-
„ ρᾳ πολέμου.

Ἡ φυλὴ τοῦ Ἐφραὶμ υἱοῦ Ἰωσὴφ, ἦτον ἡ πλέον ἐπιτηδεία εἰς τὸ νὰ πολεμῇ μὲ τοξάρια, καὶ ἡ πλέον πολεμικὴ· ὅθεν ἀκολούθως ἐκ τούτου ἦτον καὶ ὀνομαςὴ· μάλιςα δὲ ἦτον ἔντιμος· διατὶ αὐτὴ πρώτη ἐδέχθη τὴν Κιβωτὸν, μέσα εἰς τὰ σύνορα τῆς ἐδικῆς της γῆς· ὁμοίως καὶ τὴν Σκηνὴν τοῦ Μαρτυρίου τὴν κατασκευασθεῖσαν ἀπὸ τὸν Μωϋσῆν· διότι ἡ Σηλὼμ, ὅπου ἦτον ἡ Κιβωτὸς καὶ ἡ Σκηνὴ, ἦτον μερὶς καὶ τόπος τῆς φυλῆς τοῦ Ἐφραὶμ· αὐτὴ λοιπὸν, λέγει, ἡ περιβόητος εἰς τοὺς πολέμους φυλὴ, ἐνικήθη διὰ τὴν εἰδωλολατρείαν της· ἢ καὶ ἄλλως νοεῖται, ὅτι διὰ μέσου τῆς φυλῆς τοῦ Ἐφραὶμ, ἥτις ἦτον τότε πρώτη, φανερόνει ὁ Δαβὶδ καὶ τὰς ἄλλας φυλὰς, ὅσαι ἐπαρεδόθησαν εἰς τοὺς ἐχθροὺς, μὲ τὸ νὰ εἰδωλολάτρησαν· καθὼς ἡ βίβλος τῶν Κριτῶν ἱςορεῖ· λέγει λοιπὸν ὁ Δαβὶδ, ὅτι οἱ υἱοὶ τοῦ Ἐφραὶμ οἱ τεντόνοντες τὰ τοξάρια των, καὶ κτυπῶντες μὲ τὰς σαΐτας· αὐτοὶ ἐςράφησαν: ἤγουν δειλιάσαντες ἔδωκαν νῶτα καὶ ἔφυγον ἀπὸ τὸν πόλεμον, μὲ τὸ νὰ ἐνικήθησαν κατὰ τὸν Θεόδωρον. Μερικοὶ δὲ λέγουν, ὡς ὁ Θεοδώριτος καὶ ὁ Εὐσέβιος, ὅτι ὁ λόγος οὗτος εἶναι προφητεία διὰ τὴν εἰδωλολατρείαν, εἰς τὴν ὁποίαν ἔπεσαν ὕςερον ἡ φυλὴ τοῦ Ἐφραὶμ· διότι, ἀφ' οὗ ἡ δέκα φυλαῖς ἐχωρίσθησαν ἀπὸ τὴν βασιλείαν τοῦ Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος καὶ ἐπῆγαν εἰς τὴν Σαμάρειαν, ἡ φυλὴ τοῦ Ἐφραὶμ, μὲ τὸ νὰ ἦτον πρωτεύουσα ἀνάμεσα εἰς τὰς δέκα, ἔπεισε τὰς ἄλλας φυλὰς νὰ ςήσουν τὰς χρυσᾶς δαμάλεις καὶ Εἴδωλα ἐν Σαμαρείᾳ, καὶ νὰ ἀποςατήσουν ἀπὸ τὸν ἀληθῆ Θεόν· διὰ τοῦτο καὶ παρεδόθη ὁμοίως μὲ τὰς ἄλλας εἰς τοὺς πολεμίους· καθὼς ἱςορεῖ ἡ τρίτη τῶν Βασιλειῶν· καὶ ἄλλοι δὲ Προφῆται κατηγοροῦσι τὴν φυλὴν τοῦ Ἐφραὶμ, διατὶ ἐςάθη εἰς τὸν λαὸν αἰτία τῆς εἰδωλολατρείας. (2)

10: „ Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ
„ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ
„ ἠβουλήθησαν πορεύεσθαι.

Μὲ τὰ λόγια ταῦτα φανερόνει ὁ Δαβὶδ, ποία ἐςάθη ἡ αἰτία, διὰ τὴν ὁποίαν ἐνικήθησαν ὅλαι αἱ φυλαὶ τοῦ Ἰσραήλ: ἤγουν διατὶ δὲν ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ· διαθήκην δὲ ὀνομάζει, τὰς συνθήκας καὶ ὑποσχέσεις ὁποῦ κατὰ διαφόρους καιροὺς ἐποίησεν ὁ Θεὸς μὲ τοὺς Ἑβραίους, ὅταν τοὺς ἔφερεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας· Νόμον δὲ λέγει, τὰς ἐντολὰς τοῦ Θεοῦ (3)

11: „ Καὶ

(1) Ὁ δὲ Ἀθανάσιος λέγει „ Ἐκείνη φησιν ἡ γενεὰ οὐκ ἔσχεν εὐθεῖαν τὴν καρδίαν πρὸς Θεὸν, οὐδὲ πίςιν ἔσχε τὸ πνεῦμα αὐτῆς μετὰ τοῦ Θεοῦ· πνεῦμα δὲ ὁ Θεόδωρος καὶ ὁ Εὐσέβιος νοοῦσι τὴν προαίρεσιν, τὴν γνώμην καὶ διάθεσιν· ὁ δὲ Ἡσύχιος λέγει· „ Γλώττῃ γὰρ πάντως μόνῃ τὴν πίςιν ἐπηγγείλαντο· οὐχὶ δὲ ὅλῃ καρδίᾳ καὶ καθαρῷ τῷ πνεύματι.

(2) Ὅθεν ὁ Ὠσηὲ εἶπε „ Μέτοχος Εἰδώλων Ἐφραίμ (Ὠσ. δʹ. 13.) καὶ πάλιν· „ Ἐπλήθυνεν Ἐφραὶμ θυσιαςήρια· (αὐτόθ. ηʹ. 11.) καὶ ὁ Ἱερεμίας· „ Καὶ ἀποῤῥίψω ὑμᾶς ἀπὸ προσώπου μου, καθὼς ἀπέῤῥιψα τοὺς ἀδελφοὺς ὑμῶν, πᾶν τὸ σπέρμα Ἐφραίμ. (Ἱερ. ζʹ. 15.)

(3) Κατὰ δὲ τὸν μέγαν Ἀθανάσιον „ Οἱ υἱοὶ Ἐφραὶμ: ἤτοι ἅπας ὁ Ἰσραὴλ, δεδιδαγμένοι τοῖς πονηροῖς μά„

11 : „ Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν „ αὐτοῦ, καὶ τῶν θαυμασίων αὐτοῦ, „ ὧν ἔδειξεν αὐτοῖς.

Εὐεργεσίαι μὲν εἶναι ἐκεῖναι ὁποῦ ἔκαμεν ὁ Θεὸς εἰς τοὺς Ἑβραίους: ἤγουν τὸ νὰ τοὺς ελευθερώσῃ ἀπὸ τὴν Αἴγυπτον τὸ νὰ τοὺς διαπεράσῃ ἀβρόχως ἀπὸ τὴν ἐρυθρὰν θάλασσα· καὶ ἄλλα ὅσα ἀριθμεῖ παρακάτω: θαυμάσια δὲ εἶναι, ἐθαυματούργησεν ὁ Θεὸς ἐναντίον τῶν Αἰγυπτίων, τὰ ὁποῖα ἔμπροθεν ὀνομάζει σημεῖα καὶ τέρατα: ἤτοι τὸ νὰ μεταβάλῃ τοὺς ποταμοὺς εἰς αἷμα· τὸ νὰ εὐγάλῃ τοὺς βατράχους· καὶ νὰ ἐνεργήσῃ παραδόξως τὰς ἄλλας πληγάς, τὰς ὁποίας καὶ αὐτὰς παρακάτω ἀριθμεῖ· ἔδειξε δὲ ὁ Θεὸς εἰς τοὺς μεταγενεστέρους Ἑβραίους ταῦτα διὰ μέσου τῆς διδασκαλίας καὶ διηγήσεως τῶν πατέρων του.

12 : „ Ἐναντίον τῶν Πατέρων αὐτῶν, ἃ ἐ- „ ποίησε.

Ταῦτα, λέγει, τὰ θαυμάσια ἔκαμεν ὁ Θεὸς ἔμπροσθεν εἰς τοὺς πατέρας καὶ προγόνους, τῶν μεταγενεστέρων Ἑβραίων· ἀκολούθως δὲ σημειοῖ καὶ τὸν τόπον, εἰς τὸν ὁποῖον ταῦτα ἐνήργησεν ὁ Θεός.

„ Ἐν γῇ Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως.

Ἡ τάνις ἦτον πόλις τῆς Αἰγύπτου, εἰς τὴν ὁποίαν ἦτον ἡ καθέδρα τῆς Βασιλείας τοῦ Φαραὼ κατὰ τὸν Θεοδώριτον, περὶ τῆς ὁποίας γράφει ὁ Ἡσαΐας „ ἐξέλιπον οἱ Ἄρχοντες Τάνεως (Ἡσ. ιθ. 13.) ὁ μὲν οὖν Μωϋσῆς ἐν τῷ Βιβλίῳ τῆς Ἐξόδου δὲν ἀναφέρει τὸ ὄνομα τῆς Τάνεως κατὰ τὸν Εὐσέβιον· ὁ δὲ Δαβὶδ Προφήτης ὤν, ἀκόλουθον εἶναι νὰ ἤξευρε τοῦτο ἀπὸ τὴν Βίβλον τῶν Ἀριθμῶν, ἐν ᾗ γράφεται „ Καὶ χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τανὶν Αἰγύπτου (Ἀριθ. ιγ. 23.) ἢ καὶ ἀπὸ ἄλλα βιβλία ἀπόκρυφα· ἴσως δὲ καὶ ἀπὸ Αἰγυπτιακά.

13 : „ Διέρρηξε θάλασσαν καὶ διήγαγεν „ αὐτούς· παρέστησεν ὕδατα ὡσεὶ „ ἀσκόν.

Ἔσχισε, λέγει, τὴν Ἐρυθρὰν θάλασσαν ὁ Θεός, καὶ διεπέρασε τοὺς Ἑβραίους παρέστησε δέ: ἤτοι ἀνέστησεν ἀπὸ τὸ ἕνα μέρος καὶ ἀπὸ τὸ ἄλλο τὰ σχισθέντα μέρη τῆς θαλάσσης, τὰ ὁποῖα ἐφούσκοναν ὡσὰν ἀσκός. „ τὸ ὕδωρ γάρ φησιν, αὐτῆς τεῖχος ἐκδεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων (Ἐξ. ιδ. 22.) (1) συντόμως δὲ διηγεῖται τοῦτο τὸ θαῦμα ἐδῶ ὁ Δαβίδ· καὶ οὔτε ὅλα τὰ θαύματα διηγεῖται, οὔτε κατὰ τὴν τάξιν, κατὰ τὴν ὁποίαν ἔγιναν· ἀλλὰ ἀπαρατηρήτως τὰ ἱστορεῖ, καθὼς ἦλθον εἰς τὸν νοῦν του· ἐπειδὴ δὲν εἶχε σκοπὸν διὰ νὰ διηγηθῇ ταῦτα καθὼς ἔγιναν. ἀλλὰ μόνον διὰ ἵνα ἐλέγξῃ τὴν ἀχαριστίαν τῶν Ἰουδαίων. πρῶτον δὲ θαῦμα ἔβαλε τὸ τῆς ἐρυθρᾶς θαλάσσης, ὡς παραδοξότερον ἀπὸ τὰ ἄλλα. (2)

τῆς

μάχεσθαι Δαίμοσι, ϗ εἰς τοῦτο ὥσπερ τόξον κατασκευασθέντες, παρ' αὐτὸν τὸν τοῦ πολέμου καιρὸν μετεβλήθησαν· πῶς γὰρ οὐ μετεβλήθησαν, τὸν μὲν Δεσπότην ϗ Θεὸν ἀρνησάμενοι, προσκλίναντες δὲ ἑαυτοὺς τῷ Βαραββᾷ: τουτέστι τῷ Σατανᾷ; εἶτα αἰτίας παράθεσις· διότι φησι, τὴν καινὴν τοῦ Εὐαγγελίου παράδοσιν οὐκ ἐφύλαξαν· ἥτις ἐστὶ διαθήκη ϗ νόμος . . . ϗ πολλὰ εὐεργετούμενοι, πάντα τῆς μνήμης ἀπέρριψαν· ϗ τούτου ἀπόδειξις τὸ παραδοῦναι αὐτὸν τῷ Πιλάτῳ· οὐ γὰρ ἐπίστευον αὐτῷ λέγοντι· „ Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον ϗ ἥκω.

(1) Ὁ δὲ Θεοδώριτος λέγει „ Τὴν ἐπὶ τὸ πρανὲς χωρεῖν πεφυκυῖαν τῶν ὑδάτων φύσιν, ἔστησεν ἑκατέρωθεν ὁ τῶν ὅλων Θεός, καθάπερ ἐν ἀσκῷ τινι καθείρξας τῷ λόγῳ· ἐπειδὴ ἡ τῶν ἀσκῶν κατασκευὴ συνέχειν ἀκριβῶς τὴν ὑγρὰν δύναται φύσιν· τὸ αὐτὸ λέγει ϗ ὁ Δίδυμος.

(2) Λέγει δὲ ὁ θεῖος Κύριλλος „ Σέσωκε δὲ ἡμᾶς κατὰ τὸν ἴσον τρόπον ὁ Κύριος· διεβίβασε γὰρ ἡμᾶς ὡς εἰς θάλασσαν, τοῦ παρόντος βίου τὸν κλύδωνα, τὰς ἐπαναστάσεις, τοὺς πειρασμούς, τὰ κύματα· κεκρατήκαμεν δὲ δι' αὐτοῦ ϗ τῶν ἀνθεστηκότων Δαιμόνων, ϗ εἰς τὴν ἀληθινὴν γῆν τῆς ἐπαγγελίας εἰσήχθημεν.

14. „ Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡ-
„ μέρας. καὶ ὅλην τὴν νύκτα ἐν φω-
„ τισμῷ πυρός.

Λέγει ὁ Μωϋσῆς ἐν τῇ Ἐξόδῳ „ Ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν, ἐν ςύλῳ νεφέλης δεῖξαι αὐτοῖς τὴν ὁδὸν, τὴν δὲ νύκτα ἐν ςύλῳ πυρὸς (Ἐξ. ιγ. 21.) ὁ ἴδιος λοιπὸν ςύλος τῆς νεφέλης, τὴν ἡμέραν μὲν ὡδήγει καὶ ἐσκέπαζε τοὺς Ἑβραίους ἀπὸ τὸ καῦμα τοῦ ἡλίου, τὴν νύκτα δὲ ὡδήγει καὶ ἐφώτιζε καὶ ἐθέρμαινεν αὐτούς· διὰ τὶ ἡ νύκτα μὲ τὸ νὰ ἦναι ὑγρὰ, ἐψύχραινεν αὐτούς. (1)

15. „ Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ καὶ ἐπό-
„ τισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.

Ἐκτύπησε, λέγει ὁ Θεὸς, διὰ τῆς ῥάβδου τοῦ Μωϋσέως τὴν πέτραν εἰς τὴν ἔρημον τοῦ ὄρους Χωρὴβ, καὶ ἐπότισε τοὺς Ἑβραίους, καθὼς διδάσκει ἡ Βίβλος τῆς Ἐξόδου μὲ τὸ ὄνομα δὲ τῆς ἀβύσσου, ἐφανέρωσε τὸ πλῆθος τῶν ὑδάτων, ὁποῦ ἐκ τῆς πέτρας ἀνέβλυσε κατὰ τὸν Ἡσύχιον.

16. „ Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ
„ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.

Τοῦτο ὁποῦ λέγει ἐδῶ ὁ Δαβὶδ εἶναι ἄλλο θαῦμα, τὸ ὁποῖον ἔγινεν ἐν τῇ ἐρήμῳ Κάδδης, καθὼς ἱςορεῖ ἡ Βίβλος τῶν Ἀριθμῶν κατὰ τὸν Ἡσύχιον. δύω φοραῖς γὰρ ἀνέβλυσεν ὁ Θεὸς νερὸν εἰς τοὺς Ἑβραίους, κατὰ διαφόρους καιροὺς καὶ τόπους· πρῶτον μὲν γὰρ ἀνέβλυσεν ὕδωρ ἐν τῷ ὄρει Χωρὴβ, ὅπου ὁ τόπος ὠνομάσθη πειρασμὸς καὶ λοιδόρησις· (Ἐξ. ιζ. 7.) διὰ τὶ ἐπείραζον οἱ Ἑβραῖοι τὸν Θεὸν, δοκιμάζοντες τὴν δύναμίν του, καὶ μὴ πιςεύοντες εἰς τὰ τόσα θαύματα, ὁποῦ εἶδον πρότερον· ὅθεν καὶ ἐλοιδόρουν κατηγοροῦντες τὸν Μωϋσῆν, διὰ τὶ τοὺς εὔγαλεν ἀπὸ τὴν Αἴγυπτον εἰς τὰς ἐρήμους· δεύτερον δὲ ἀνέβλυσεν ὕδωρ ἐν Κάδδης, ὅπου ὁ τόπος ὠνομάσθη ὕδωρ ἀντιλογίας (Ἀριθ. κ. 13.) διὰ τὶ οἱ Ἑβραῖοι ἀντέλεγον εἰς τὸν Θεὸν γογγύζοντες· ὁ μὲν γὰρ Θεὸς ἐπρόςαξεν αὐτοὺς διὰ τοῦ Μωϋσέως νὰ πείθωνται, εἰς τὰ προςάγματά του, καὶ νὰ θαῤῥοῦν εἰς αὐτόν· οἱ δὲ σκληροκάρδιοι Ἑβραῖοι δὲν επροθυμοῦντο νὰ πεισθοῦν εἰς τὰ λογιά του, καὶ νὰ θαῤῥεύσουν εἰς αὐτόν· τὸ σχίσιμον ὅμως τῆς ἐρυθρᾶς θαλάσσης καὶ τῶν πετρῶν, ὁ Θεὸς οὐκ ἀμέσως, ἀλλὰ διὰ τοῦ Μωϋσέως, ἐτέλεσεν. (2)

17. „ Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν
„ αὐτῷ.

Τὸ τοῦ ἐδῶ, εἶναι περιττόν· ἐπειδὴ αἱ ἁμαρτίαι, ὁποῦ ἔκαμαν οἱ Ἑβραῖοι εἰς τὴν ἔρημον, ἦτον ἐγνωσμέναι ἀπὸ τὰ βιβλία τοῦ Μωϋσέως, διὰ τοῦτο ὁ Θεὸς Δαβὶδ δὲν τὰς ἀριθμεῖ· ἀλλ' ἀπαρατηρήτως εἶπεν, ὅτι ἀκόμη ἥμαρτον· ποῖα δὲ ἀκόμη ἥμαρτον; ἄκουσον.

„ Παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύ-
„ δρῳ.

Οἱ

(1) Ὁ δὲ Νύσσης φησὶ „ Καὶ ἡμεῖς δὲ ὥσπερ τινὶ βυθῷ τῷ σωτηρίῳ Βαπτίσματι, πᾶν Αἰγύπτιον πρόσωπον, τουτέςι πᾶν ἁμαρτίας εἶδος καταπνίξαντες, διὰ τοῦ Πνεύματος ὡς διὰ νεφέλης ὁδηγησόμεθα, ϗ ἐν φωτὶ πορευσόμεθα· ϗ ὑπὸ τοῦ καύσωνος τῶν παθῶν οὐκ ἀηδές τι πεισόμεθα.

(2) Λέγει δὲ ὁ Νύσσης Γρηγόριος „ Ὥσπερ οὖν τότε ἡ φύσις τῆς πέτρας ἡ ἀντιτυπὴς ϗ ςεῤῥέμνιος, ποτὸν τοῖς διψῶσιν ἐγένετο, εἰς ὕδατος μαλακότητα τῆς ἀντιτυπίας ἀναλυθείσης· οὕτω ϗ ὁ Χριςὸς ἡ πέτρα κατὰ τὸν Ἀπόςολον, ἀνικμός τις ϗ ἀντιτυπής ἐςι τοῖς ἀπίςοις εἰδέ τις προσάγοι τὴν ῥάβδον τῆς πίςεως, ποτὸν τοῖς διψῶσι γίνεται, ϗ ἐντὸς τῶν εἰσδεχομένων αὐτὸν εἰσῤῥέει· „ Ἐγὼ γάρ φησι, ϗ ὁ Πατὴρ ἐλευσόμεθα, ϗ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Οἱ Ἑβραῖοι, λέγει παρεπίκραναν τὸν Θεὸν, γογγύζοντες καὶ μὴ ἀρεσκόμενοι εἰς τὴν ἐξ Αἰγύπτου ἐλευθερίαν, ὡς εἶπε καὶ ἀνωτέρω· „ Γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· ποῦ δὲ παρεπίκραναν αὐτόν; ἐν τόπῳ; ἢ ἐν γῇ, ἀνύδρῳ καὶ ξηρᾷ.

18: „ Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς „ καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώμα„ τα ταῖς ψυχαῖς αὐτῶν.

Ταῦτα καὶ τὰ ἀκόλουθα λόγια ἕως τοῦ: „ Καὶ πῦρ ἀνήφθη, ὁ μὲν Μωϋσῆς καθαρῶς δὲν ἱστόρησεν, ὁ δὲ Δαβὶδ ἔγραψεν, ὡς καὶ ἄλλα πολλὰ τοιαῦτα, εἴτε διὰ τὶ ἐρανίσθη αὐτὰ ἀπὸ βιβλία Ἀπόκρυφα Ἑβραϊκὰ, ὡς προείπομεν· εἴτε καὶ διὰ τὶ ἔμαθε ταῦτα, ἐξ ἀγράφων παραδόσεων τῶν παλαιοτέρων· εἴτε καὶ διὰ τὶ ἐδιδάχθη ταῦτα, ἐκ τῆς ἀποκαλύψεως τοῦ ἁγίου Πνεύματος· λέγει δὲ, ὅτι ἐξεπείρασαν οἱ Ἑβραῖοι τὸν Θεὸν μὲ τὰς διανοίας των: ἤγουν ἐδοκίμασαν, ἀνίσως ἔχῃ δύναμιν ὁ Θεὸς νὰ δώσῃ εἰς αὐτοὺς ἐκεῖνα τὰ φαγητὰ, ὁποῦ τοῦ ζητοῦσι· (1) τὸ δὲ ταῖς ψυχαῖς αὐτῶν, εἶναι ἀντὶ τοῦ ἑαυτοῖς: ἤτοι νὰ δώσῃ βρώματα εἰς τὸν ἑαυτόν τους κατὰ περίφρασιν·

19: „ Καὶ κατελάλησαν τοῦ Θεοῦ καὶ εἶ„ πον· μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμά„ σαι τράπεζαν ἐν ἐρήμῳ;

Κατελάλησαν, λέγει: ἤτοι ἐγόγγυσαν ἐναντίον τοῦ Θεοῦ, λέγοντες: ὅτι ἔχει νὰ τοὺς θανατώσῃ ὁ Θεὸς ἀπὸ τὴν πεῖναν καὶ στέρησιν τῶν ἡδονικῶν φαγητῶν; καὶ ὅτι, ἆρά γε ἔχει δύναμιν ὁ Θεὸς νὰ μᾶς ἑτοιμάσῃ τράπεζαν τῶν φαγητῶν, ὁποῦ ἐπιθυμοῦμεν εἰς τὴν ἔρημον;.

20: „ Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύη„ σαν ὕδατα, καὶ χείμαῤῥοι κατε„ κλύσθησαν, μὴ καὶ ἄρτον δύναται „ δοῦναι; ἢ ἑτοιμάσαι τράπεζαν τῷ „ λαῷ αὐτοῦ;

Ἐπειδὴ λέγει, ὁ Θεὸς ἀνέβλυσε νερὸν ἀπὸ τὴν πέτραν καὶ ἐπότισεν, ἆρά γε δύναται καὶ νὰ μᾶς δώσῃ ψωμί; καὶ νὰ μᾶς ἑτοιμάσῃ τράπεζαν; κρεάτων δηλαδή; ὢ τῆς ἀνοησίας τῶν ταῦτα λεγόντων Ἑβραίων! διὰ τί, ἂν τὸ πρῶτον ἐδυνήθη νὰ κάμῃ, πῶς δὲν δύναται νὰ κάμῃ καὶ τὸ δεύτερον; κατεκλύσθησαν δὲ εἶπε χείμαῤῥοι ἀντὶ τοῦ δυνατὰ ἔτρεξαν· στοχάσου δὲ ἀγαπητὲ, πῶς ὁ Δαβὶδ ἐδῶ εἶπεν, ὅτι τὸ νερὸν εὐγῆκεν ἀπὸ τὴν πέτραν, πρὸ τοῦ θαύματος τοῦ ἄρτου: ἤτοι τοῦ Μάννα, καὶ τῶν κρεάτων: ἤτοι τῆς ὀρτυγομήτρας. εἰς καιρὸν ὁποῦ ὁ Μωϋσῆς λέγει ἐν τῇ Ἐξόδῳ ὅλον τὸ ἐναντίον· ἐκεῖ γὰρ θέλεις εὕρεις ἐν κεφ. 16. ὅτι πρῶτον ἔδωκεν ὁ Θεὸς εἰς τοὺς Ἑβραίους τὸ κρέας τῆς ὀρτυγομήτρας τὸ ἑσπέρας, καὶ τὸν ἄρτον: ἤτοι τὸ Μάννα ἔδωκε τὸ πρωΐ· καὶ ἔπειτα ἐν κεφ. ιζ. εὑρίσκεις, ὅτι ἀνέβλυσεν ἡ πέτρα τὸ νερόν· ἄλλην δὲ λύσιν τῆς ἀπορίας ταύτης δὲν ἔχει τινὰς νὰ εἰπῇ, πάρεξ ὅτι δὲν λέγει ἐδῶ ὁ Δαβὶδ διὰ τὸν ἄρτον τοῦ Μάνα, καὶ διὰ τὸ κρέας τῆς ὀρτυγομήτρας, ὁποῦ γράφει ὁ Μωϋσῆς εἰς τὴν Ἔξοδον· ἀλλὰ διὰ τὸν ἄρτον καὶ τὴν ὀρτυγομήτραν, ὁποῦ γράφει ὁ αὐτὸς εἰς τοὺς Ἀριθμούς· ἐπειδὴ καὶ δύω φοραῖς ἔδωκεν ὁ Θεὸς εἰς τοὺς Ἑβραίους τὸν ἄρτον: ἤτοι

(1) Περὶ μὲν γὰρ τοῦ ὕδατος γέγραπται „ Καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου (ὁ Μωϋσῆς) Πειρασμὸς καὶ λοιδόρησις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραὴλ, καὶ διὰ τὸ πειράζειν Κύριον, λέγοντας· εἰ ἔστι Κύριος ἐν ἡμῖν, ἢ οὔ· (Ἐξ. ιζ΄. 7.) οὐχὶ δὲ καὶ περὶ βρώσεως τοιοῦτόν τι γέγραπται· εἶπε δὲ ὁ Θεοδώριτος· ἡ Τροφῆς δεηθέντες οὐ λαβεῖν τὴν χρείαν ἐζήτησαν, ἀλλ᾽ ὡς ἀδυνάτου τοῦ Θεοῦ κατηγόρησαν.

ἤτοι τὸ Μάννα καὶ τὴν ὀρτυγομήτραν (1) ὥςε πέτραν ἐδῶ ὀνομάζει ὁ Δαβὶδ, τὴν ἐν τῷ ὄρει Χωρὴβ κτυπηθεῖσαν, καὶ ὄχι τὴν ἐν Κάδδης, ἐπειδὴ αὐτὴ ἡ ἐν Κάδδης ἀκόμη δὲν εἶχε κτυπηθῇ. (2) ἀνίσως δέ τινας εἴπῃ, ὅτι εἰς τοὺς Ἀριθμοὺς κρέας ἐζήτησαν οἱ Ἑβραῖοι καὶ ὄχι ἄρτον, οὗτος ἂς ἀκούσῃ ὅτι ἄρτον μὲν, τὸ φαγητὸν τοῦ κρέατος ὀνομάζει· ἐπειδὴ καὶ ἔτζι εἶπον „ Τίς ἡμᾶς ψωμιεῖ κρέα; (Ἀριθ. ια. 4.) ὁ δὲ Δαβὶδ εἰπὼν „ Μὴ καὶ ἄρτον δύναται δοῦναι, ἐξήγησε τὸν λόγον του μὲ τὰ ἀκόλουθα· εἶπε γὰρ ἑπομένως „ Ἢ ἑτοιμάσαι τράπεζαν τῷ Λαῷ αὐτοῦ; ὥςε ὁ ἢ, δὲν εἶναι διαζευκτικὸς, ἀλλὰ σαφηνιστικὸς· ἀντὶ τοῦ δηλαδὴ, ἢ τουτέςι λαμβανόμενος.

ὡς, ὡσὰν νὰ ἤθελαν τὰ εἰποῦν καὶ μὲ τὸν προφορικὸν λόγον· τὸ δὲ ἀνεβάλετο, ἐχολώθη ἐξέδωκεν ὁ Σύμμαχος: ἤτοι ἐθυμώθη· ἐπειδὴ ἐκεῖνοι ὁποῦ χολοῦνται καὶ θυμόνουνται, συνειθίζουν νὰ ἀναβάλλουν: ἤγουν να σύρουν ἐπάνω τὰ φορέματά των. ταυτὸν εἰπεῖν νὰ ἀνασκομβόνωνται καὶ νὰ ἑτοιμάζωνται εἰς τὸ νὰ κάμουν ἐκδίκησιν· ὅθεν καὶ ὁ Μωϋσῆς λέγει „ Καὶ ἐθυμώθη ὀργῇ Κύριος, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε μέρος τῆς παρεμβολῆς (Ἀριθ. ια. 1.) Ἰακὼβ δὲ καὶ Ἰσραὴλ, τὸν λαὸν τῶν Ἑβραίων ὀνομάζει· τὸν ἐκ τοῦ Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ ὀνομαζομένου καταγόμενον. (3)

21: „ Διὰ τοῦτο ἤκουσε Κύριος καὶ ἀνεβάλετο· καὶ πῦρ ἀνήφθη ἐν Ἰακὼβ, „ καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.

22: „ Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, „ οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐ„ τοῦ.

Ἀγκαλὰ καὶ τὰ ἀνωτέρω λόγια εἶπον οἱ Ἑβραῖοι μὲ τὴν διάνοιάν τους, καὶ μὲ αὐτὰ ἐπείρασαν τὸν Θεὸν, ὅμως ἤκουσεν αὐτοὺς ὁ καρδιογνώςης Θε-

Διὰ τοῦτο, λέγει, ὀργὴ τοῦ Θεοῦ ἀνέβη εἰς τὸν λαὸν, διὰ τὶ δὲν ἐπίςευσαν εἰς τὴν δύναμιν τοῦ Θεοῦ, καὶ μ' ὅλον ὁποῦ εἶδον πρὸ τοῦ, τόσα

Ἐσὺ, λέγει, ἄνθρωπε, ὁποῦ κατοικεῖς εἰς τὴν βοήθειαν τοῦ Θεοῦ, δὲν θέλεις φοβηθῆς ἀπὸ τὸν φόβον τὸν ἐν τῇ νυκτὶ ἀκολουθοῦντα, εἴτε ἐκ Δαιμόνων, εἴτε ἐξ ἀνθρώπων· οὔτε θέλεις φοβηθῆς ἀπὸ τὰς σαΐτας, εἴτε τὰς αἰσθητὰς, ὁποῦ ῥίπτονται ἀπὸ τοὺς ἀνθρώπους κατὰ τὴν ἡμέραν, εἴτε ἀπὸ τὰς νοητὰς, ὁποῦ ῥίπτονται ἀπὸ τοὺς Δαίμονας καὶ τὰ πάθη.

6: „Ἀπὸ πράγματος ἐν σκότει διαπο-
„ρευομένου, ἀπὸ συμπτώματος καὶ
„Δαιμονίου μεσημβρινοῦ.

Ἐσὺ

(1) Ἄλλος δὲ λέγει· „ Μετάφρενα δὲ, καθάπερ ἐγ᾽ ὦμαι, τὰ ὑπαυχένια μέρη, καὶ τὰ ὡς ἐν ὤμοις ὑποδηλοῖ, οὐχὶ δὲ πάντως τὰ νῶτα. Καὶ ἄλλος· „ Τὰ μετάφρενα ὁ τόπος ἐστὶν, ἐν ᾧ αἱ πτέρυγες κραταιοῦνται μεταξὺ τῶν ὤμων· ὁ δὲ Θεοδώρητός φησι· „ Πρόμαχός σου γενήσεται, καὶ καλύψει σε πολεμούμενον· τέθεικε δὲ τοῦτο ἐκ μεταφορᾶς τῶν πρώτων ἐν πολέμοις ἑστώτων, καὶ τοῖς μεταφρένοις καλυπτόντων τοὺς ὄπισθεν· πτέρυγας δὲ καλεῖ τῆς προνοίας τὰς ἐνεργείας, τῇ τῶν ὀρνίθων εἰκόνι χρησάμενος· καὶ γὰρ ἐκεῖνοι τοῖς πτεροῖς τοὺς νεοττοὺς ὑπὸ φιλοστοργίας ἐμφύτου συγκαλύπτουσιν, ὡς εἷς σαφέστερον ἔλεγε· καλύψει σε ὑπὸ τὴν σκιὰν τῶν πτερύγων αὐτοῦ δίκην νεοσσοῦ· ὅμοιον δὲ τοῦτό ἐστι τῷ λεγομένῳ ἐν τῷ Δευτερονομίῳ· „ Ὡς ἀετὸς (ὁ Θεὸς δηλαδὴ) σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε· διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ· τοῦτο καὶ ὁ Δεσπότης πρὸς τὴν Ἱερουσαλὴμ ἔφη· „ Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς καὶ οὐκ ἠθελήσατε· ὁ δὲ Νύσσης λέγει· „ Τὸ ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, ἴσον ἐστὶ τοῦ κατόπιν αὐτὸν τοῦ Θεοῦ εἶναι· ἐν γὰρ τοῖς ὀπισθιδίοις ἐστὶ τὸ μετάφρενον· ὁ δὲ κατόπιν ἑπόμενος τοῦ Θεοῦ, τῆς εὐθείας οὐκ ἐκτραπήσεται, εἰ τὰ ὀπίσω ἀεὶ τοῦ ἡγουμένου βλέπει· ὁ γὰρ ἐπὶ τὰ πλάγια τῇ κινήσει περιφερόμενος, ἢ ἀντιπρόσωπον φέρων τῷ ὁδηγοῦντι τὸ βλέμμα, ἄλλην ἑαυτῷ καινοτομεῖ πορείαν· διὸ Μωϋσῆς οὐκ ἀντιβλέπει Θεῷ, ἀλλὰ τὰ ὀπίσω αὐτοῦ βλέπει.

(2) Εἶπε γὰρ ὁ ῥηθεὶς Ἀθανάσιος· „ Ὅπλον τοῦ Χριστοῦ ὁ Σταυρὸς, ἐφ᾽ οὗ κυκλούμενοι πάντα πόλεμον θαρροῦμεν, πάντα ἐχθρὸν τροπούμεθα.

Ἐσὺ, λέγει, ἄνθρωπε ὁποῦ κατοικεῖς εἰς τὴν βοήθειαν τοῦ Θεοῦ, δὲν θέλεις φοβηθῇς ἀπὸ κάθε πρᾶγμα, ὁποῦ περιπατεῖ εἰς τὸ σκότος· τοιοῦτον δὲ σκοτεινὸν πρᾶγμα εἶναι ὁ κλέπτης, ὁ ἐπίβουλος ὁ ζητῶν νὰ καύσῃ ὀσπήτια: τοιοῦτον σκοτεινὸν πρᾶγμα εἶναι ἡ πορνεία, ἡ μοιχεία, ὁ Δαίμων, τὰ πάθη καὶ κάθε ἄλλο τοιοῦτον· Σύμπτωμα δὲ εἶναι κάθε πρᾶγμα, ὁποῦ δὲν θέλει τινὰς, τὸ ὁποῖον ἀκολουθεῖ αἰφνιδίως. Δαιμόνιον δὲ μεσημβρινὸν, ἄλλοι μὲν εἶπον ὡς ὁ Εὐσέβιος, πῶς εἶναι δαίμων τῆς ἀκηδίας καὶ ἀμελείας, ὅστις ἐν τῷ καιρῷ μάλιστα τοῦ μεσημερίου πλακόνει τοὺς ἀνθρώπους· ἄλλοι δὲ εἶπον, πῶς εἶναι ὁ Δαίμων τῶν αἰσχρῶν καὶ σαρκικῶν λογισμῶν· καὶ ἄλλοι εἶπον, πῶς εἶναι ὁ Δαίμων τῆς ἀκολασίας καὶ ἀσελγείας. (1) Ἐπειδὴ ὅλοι οὗτοι οἱ Δαίμονες πολεμοῦσι τοὺς ἀνθρώπους κατὰ τὸν καιρὸν τοῦ μεσημερίου, ὅταν χορτάσῃ καὶ βαρύνῃ ἡ κοιλία ἀπὸ τὰ φαγητά. (2)

7: „ Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, „ καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ „ δὲ οὐκ ἐγγιεῖ.

Κλίτος λέγεται τὸ μέρος ἁπλῶς· ἐδῶ δὲ τὸ ἀριστερὸν μέρος δηλοῖ ὁ Δαβὶδ, λέγων, ὅτι εἰς τὸ μὲν τὸ ἀριστερὸν μέρος τοῦ κατοικοῦντος ἐν τῇ βοηθείᾳ τοῦ ὑψίστου, θέλουν πέσουν χίλιαις σαΐταις· ἀπὸ δὲ τὸ δεξιόν του, θέλουν πέσουν δέκα χιλιάδες σαΐταις, καὶ εἰς αὐτὸν δὲν θέλουν ἐγγίσουν: ἤτοι δὲν θέλουν βλάψουν αὐτόν· μυριὰς γὰρ εἶναι δέκα χιλιάδες· κατὰ δὲ ὑψηλοτέραν θεωρίαν λέγει ὁ ψαλμὸς, ὅτι ἐσὺ ἄνθρωπε, ὁποῦ κατοικεῖς ἐν τῇ τοῦ Θεοῦ βοηθείᾳ, θέλεις μὲν σαϊτευθῇς μὲ πολλὰς σαΐτας ἀπὸ τὰ ἀριστερὰ, μὲ περισσοτέρας δὲ θέλεις σαϊτευθῇς ἀπὸ τὰ δεξιά· ἀριστερὰ δὲ νοοῦνται, ὅταν τινὰς σαϊτεύεται ἀπὸ τὰ ἄλογα πάθη, θυμὸν καὶ ἐπιθυμίαν· τὰ ὁποῖα φανερῶς καὶ ὁμολογουμένως εἶναι κακά· δεξιὰ δὲ εἶναι, ὅταν τινὰς σαϊτεύεται ἀπὸ αἴτια, τὰ ὁποῖα φαίνονται μὲν, ὅτι εἶναι δεξιὰ καὶ καλὰ, δὲν εἶναι ὅμως τοιαῦτα, διότι ὁ ἐχθρὸς Διάβολος, ἠξεύροντας, ὅτι οἱ πολλοὶ ἄνθρωποι δὲν δέχονται τὴν προσβολὴν τῶν γυμνῶν καὶ φανερῶν ἁμαρτιῶν· διὰ τοῦτο ἀρχίζει μὲν καὶ τοὺς πολεμεῖ ἀπὸ κάποια αἴτια φαινόμενα καλὰ, τελευταῖον δὲ, ἀπὸ ἐκεῖνα τοὺς κρημνίζει καὶ εἰς τὰ φανερῶς κακά. (3)

8: „ Πλὴν

(1) Κατὰ δὲ τὸν Θεοδώριτον, δύω τρόποι εἰσὶν ἐπιβουλῆς· ἢ γὰρ ἀφανῶς ϗ λεληθότως ϗ ὡς ἐν νυκτὶ ϗ σκότῳ λανθάνοντες ἀρτύουσί τινες, οἷς ἂν βούλωνται, παγίδας· ἢ ἐναργῶς ϗ ὡς ἐν ἡμέρᾳ ϗ ἐμφανῶς· φόβον οὖν ὀνομάζει νυκτερινὸν, τὸν λανθάνοντα κίνδυνον· βέλος δὲ ἐν ἡμέρᾳ πετόμενον, τὴν ἐναργῆ ἐπιβουλήν· κατὰ δὲ τὸν Δίδυμον· „ Φόβος νυκτερινὸς ὁ τῶν ἡδονῶν τῆς σαρκός· ἐν σκότῳ γὰρ ἐπιτίθεται μάλιστα· βέλος ἐν ἡμέρᾳ πετόμενον ἡ πλεονεξία· οὗτος γὰρ αὐτῆς ὁ καιρός· πρᾶγμα ἐν σκότει διαπορευόμενον, πᾶσα ἁμαρτία ϗ ἄγνοια ϗ τὰ ἐνεργοῦντα αὐτὴν πονηρὰ πνεύματα τῆς πλάνης· κατὰ δὲ τὸν Εὐσέβιον· „ Σύμπτωμα πάσχουσί τινες, ὅταν ὁ νοῦς ὀκλάσῃ πρὸς φιληδονίας, ὅταν ἀκηδιάσῃ πρὸς τὰ τῆς εὐσεβείας ἔργα, ϗ ὀλιγωρήσῃ πρὸς τοὺς ὑπὲρ ἀρετῆς πόνους· ὁ δὲ Θεοδώριτος λέγει· „ Δαιμόνιον δὲ μεσημβρινὸν, κατὰ τὴν παρὰ τοῖς πολλοῖς κατέχουσαν τέθεικε δόξαν· εἰκὸς δὲ ϗ τοὺς τῶν ἀνθρώπων ἐπιβούλους, μετὰ τροφὴν ϗ τὸν κόρον, ὡς ἐφ' ἕτοιμον θήραμα τρέχειν, ϗ τοὺς ἐρήμους τῆς ἄνωθεν κηδεμονίας καταδουλοῦσθαι ῥᾳδίως.

(2) Ὁ δὲ Θεολόγος Γρηγόριος λέγει· „ Ὁ μέντοι ἐπὶ τῷ Κυρίῳ πεποιθὼς, οὐδὲ τὸν μετασχηματιζόμενον εἰς Ἄγγελον φωτὸς Διάβολον φοβηθήσεται, κἂν ἀκμαῖον φέγγος ἐπαγγέλληται, κἂν μεσημβρία δοκῇ τοῖς διεφθαρμένοις· ὁ δὲ Κύριλλος λέγει· „ Τάχα δὲ πρᾶγμα διαπορευόμενον ἐν σκότει, τὸ ἀγνοηθὲν ἁμάρτημά φησιν· οὐ γὰρ ἴσμεν ἐσθ' ὅτε πρᾶγμα κρύφιον, εἶτα ποιοῦντες αὐτὸ σφαλλόμεθα, ϗ εἰς τὸ τῆς ἀπωλείας πίπτομεν λίνον· περὶ τῶν τοιούτων ὁ αὐτὸς Δαβὶδ προσηύχετο λέγων· „ Ἐκ τῶν κρυφίων μου καθάρισόν με· ἄλλος δὲ λέγει· „ Ὅτι ἁπλῶς, πρᾶγμα, μὲν ἐν σκότει διαπορευόμενον ἐστιν, ἐπιβουλὴ ἀναφύουσα, ὅθεν τις οὐ προσδοκᾷ, ϗ πᾶσα ἁμαρτία ϗ ἄγνοια· σύμπτωμα δὲ μεσημβρινὸν, βλάβη ἔκδηλος ϗ φανερά. Σημείωσαι, ὅτι Δαιμόνιον μεσημβρινὸν ἐνώχλησε τὸν Δαβὶδ, ὅταν μετὰ τὸν ὕπνον τοῦ μεσημερίου, ἔπεσεν εἰς τὴν μοιχείαν τῆς Βηρσαβεέ.

(3) Ὅθεν συμφώνως ϗ ὁ Ὠριγένης εἶπεν· „ Ὑψηλότερον δὲ, εἰκότως τῷ ἀριστερῷ τὰς χιλιάδας ἐπιβουλεύειν φησὶ, τοῖς γε μὴν δεξιοῖς τὰς μυριάδας· τὰ γὰρ ἐπιδέξια τῶν πραγμάτων ἡμῶν ϗ τῶν ἀρετῶν, ὡς ἰσχυρά, καὶ θαυμαστότερα, αἱ πονηραὶ δυνάμεις παραλύειν ἐπιχειροῦσι· καί γε πλείους εἰσὶν, οἱ διὰ τῶν δοκούντων εἶναι δεξιῶν πίπτοντες, ἤπερ οἱ προφανῶς ἁμαρτάνοντες· δικαιώματα γάρ τινα προβαλλόμενοι, περιπείρονται ἁμαρτίαις τῶν ἀνθρώπων οἱ πλείους· ἔφη δὲ ϗ ὁ Ἡσύχιος· „ Αἱ μυριάδες, ὡς ἂν κραταιοτέροις τοῖς δεξιοῖς ἐπιβουλεύουσιν

8 : „ Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοή-
„ σεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν
„ ὄψει.

Δὲν θέλουν, λέγει, ἐγγίσουν εἰς ἐσένα τὸν ἐν τῇ βοηθείᾳ τοῦ Θεοῦ κατοικοῦντα, ἡ σαΐταις τῶν ἐχθρῶν. ἐὰν ὅμως ἐσὺ ἴδῃς μὲ τοὺς νοσρούς ὀφθαλμούς σου, θέλεις μάθεις, ὅτι τοῦτο εἶναι ἀληθινόν· καὶ θέλεις ἴδῃς τὴν τιμωρίαν, ὁποῦ θέλουν λάβουν παρὰ Θεοῦ, οἱ ἁμαρτωλοὶ δαίμονες καὶ ἄνθρωποι, οἵτινές σε πολεμοῦν.

9 : „ Ὅτι σὺ Κύριε ἡ ἐλπίς μου.

Ἀκούσας ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου τὰς ὑποσχέσεις, ὁποῦ ἔδωκεν εἰς αὐτὸν ὁ Δαβὶδ ἀνωτέρω, φωνάζει κατὰ τὸν Διόδωρον, ἀπὸ τὴν ἠδονήν του πρὸς τὸν Θεὸν καὶ λέγει. Σὺ Κύριε εἶσαι ἡ ἐλπίς μου. (1)

„ Τὸν ὕψιστον ἔθου καταφυγήν σου;
10 : „ Οὐ προσελεύσεται πρὸς σὲ κακά.

Ἐδῶ ἀποκρίνεται ὁ Δαβὶδ πρὸς τὸν κατοικοῦντα ἐν τῇ τοῦ Θεοῦ βοηθείᾳ, καὶ λέγει· ἐσὺ εἶπες, ὅτι ὁ Κύριος εἶναι ἐλπίς σου; καὶ ἐσὺ ἔθου τὸν Ὕψιστον καταφυγήν σου; ἤξευρε, ὅτι δὲν θέλει πλησιάσει εἰς ἐσένα κανένας πειρασμός· ἐρωτηματικῶς γὰρ πρέπει νὰ ἀναγινώσκεται τὸ, τὸν Ὕψιστον ἔθου καταφυγήν σου; τὸ δὲ οὐ προσελεύσεται πρὸς σὲ κακὰ, ἀποφαντικῶς ἀναγινώσκεται, διατὶ εἶναι ὡς πρὸς ἐκεῖνο ἀπόκρισις (2) ὅτι δὲ εἰς τὸν ἔχοντα τὸν Θεὸν καταφυγὴν, δὲν πλησιάζει πειρασμὸς, μάρτυς εἶναι αὐτὸς ὁ Διάβολος, βοῶν πρὸς τὸν Θεὸν περὶ τοῦ Ἰὼβ „ οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ, (Ἰώβ: α: 10) ὅταν δὲ παραχωρήσῃ ὁ Θεὸς, ἐγγίζουν εἰς τὸν τοιοῦτον ἄνθρωπον τὰ κακά: ἤγουν αἱ περιστάσεις καὶ οἱ κίνδυνοι καὶ πειρασμοί.

„ Καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκη-
„ νώματί σου.

Ὄχι μόνον, λέγει, εἰς ἐσένα δὲν θέλει πλησιάσει κανένα κακὸν, ἀλλ' οὐδὲ εἰς τὸ ὁσπήτιόν σου· περιττὴ δὲ εἶναι ἡ ἐν πρόθεσις· καὶ ἄλλως δὲ μάστιξ ἠμπορεῖ νὰ ἦναι κάθε ἀσθένεια· σκήνωμα δὲ τῆς ψυχῆς εἶναι τὸ σῶμα· λέγει λοιπὸν, ὅτι οὔτε εἰς τὸ σῶμά σου θέλει ἐγγίσει ἀσθένεια· ἐπειδὴ καὶ ἔχαμες τὸν Θεὸν καταφυγήν σου· τὸ δὲ γλαφυρώτερον τοῦτο εἶ-

σιν· ἀλλὰ ϗ πλείους εἰσὶν οἱ διὰ τῶν δοκούντων εἶναι δεξιῶν πίπτοντες, ἤπερ οἱ προφανῶς ἁμαρτάνοντες· καὶ ὁ Θεοδώριτος· „ Κἂν ἐκ δεξιῶν σου, φησὶ, κἂν ἐξ εὐωνύμων σου πλῆθος ἄπειρον ἐπέλθῃ, σοὶ μὲν οὐδεμία προσγίνεται βλάβη, ὄψει δὲ ἐκείνους θείᾳ καταβαλλομένους πληγῇ· τοῦτο ϗ ἐπὶ Ἐζεκίου γεγένηται· ὀκτωκαίδεκα γὰρ μυριάδες ϗ πέντε χιλιάδες τῶν Ἀσσυρίων κατηκοντίσθησαν πολεμικῶν ὀργάνων χωρίς· οὕτως ἐπὶ Γεδεών· οὕτως ἐπὶ τοῦ Ἰωνάθαν· ϗ μέντοι ϗ ἐπὶ τοῦ Ἰωσαφὰτ, ϗ ἐπὶ τοῦ Προφήτου Ἐλισσαίου αὐτὸ τοῦτο γεγένηται· συμφώνως λέγει ϗ ὁ Ἀθανάσιος, φέρων εἰς παράδειγμα τὸ ἐπὶ τοῦ Ἰωσαφὰτ συμβεβηκός· ὅς τις ἐνίκησεν οὐχὶ πολεμῶν, ἀλλὰ ψάλλων μόνον ϗ αἰνῶν τὸν Θεὸν ϗ λέγων· „ Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ (ὅς τις εἶναι ὁ Ψαλμὸς ὁ καλούμενος πολυέλεος) „ Καὶ Ἰούδας ἦλθεν ἐπὶ τὴν σκοπιὰν τῆς ἐρήμου, ϗ ἐπέβλεψε ϗ εἶδε τὸ πλῆθος· ϗ ἰδοὺ πάντες νεκροὶ πεπτωκότες ἐπὶ τῆς γῆς, οὐκ ἦν σωζόμενος (Β' Παρ. κ'. 24.) ὅθεν ϗ γέγραπται κατὰ τὸν Δίδυμον· „ Ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς (Ἔξοδ. ιζ'. 16.) οὐ γὰρ παύσεται Κύριος σώζων τοὺς ἀγαπῶντας αὐτόν.

(1) Ἄλλος δὲ λέγει, ὅτι ἐλλείπει ἐδῶ τὸ εἶπας: ἤτοι, ὅτι εἶπας σὺ Κύριε ἡ ἐλπίς μου.

(2) Ὁ δὲ Ἀθανάσιος ἑρμηνεύων τοῦτο τὸ, οὐ προσελεύσεται πρὸς σὲ κακά· „ Ἡ τῆς κακίας φύσις φησὶν ἔξωθεν ἐπέρχεται, τῆς ἀρετῆς οἴκοθεν τὴν πρόφασιν ἐχούσης· εὐθῆ γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον ἐποίησε κατὰ τὸ Ἐκκλησιαστήν· ὃς ζητήσας λογισμοὺς πολλοὺς, ἔξωθεν ἐπεσπάσατο τὴν κακίαν· „ Πλὴν ἴδε τοῦτο εὗρον, ὃ ἐποίησεν ὁ Θεὸς σὺν τὸν ἄνθρωπον εὐθῆ· ϗ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς (Ἐκκ. ζ'. 29.)

εἶναι κατὰ τὸν Χρυσόστομον, ὅτι εἰς μὲν τὸν ἄνθρωπον τοῦ Θεοῦ, ἐὰν ἀκολουθήσουν ἀσθένειαι καὶ μάστιγες, καὶ ἄλλοι τοιοῦτοι πειρασμοὶ, γίνονται εἰς αὐτὸν ἀγὼν καὶ δοκίμιον, καὶ πρόξενοι στεφάνων περισσοτέρων· εἰς δὲ τὸν ἁμαρτωλὸν γίνονται ταῦτα μάστιγες ἀληθῶς. „ Πολλαὶ γάρ φησιν ὁ ἴδιος Δαβὶδ, αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, (Ψαλ: λγ: 19:).

11: „ Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε „ ἐν πάσαις ταῖς ὁδοῖς σου.

Τοῦτο τὸ ῥητὸν εἶναι ὅμοιον μὲ ἐκεῖνο, ὁποῦ λέγει ὁ ἴδιος Δαβὶδ εἰς τὸν λγ· Ψαλμόν· „ Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλω τῶν φοβουμένων αὐτὸν „ καὶ ῥύσεται αὐτούς. καὶ ὁ Ἀβραὰμ δὲ τὸν ἄνθρωπον τοῦ ἐσπητίου του παραθαῤῥύνων, ὅταν ἔπεμψεν αὐτὸν εἰς τὴν Μεσοποταμίαν, εἶπε· „ Κύριος ὁ Θεὸς ἀποστελεῖ τὸν Ἄγγελον αὐτοῦ ἔμπροσθέν σου (Γέν: κδ: 7) καὶ ὁ Ἰακὼβ δὲ εἶπεν· „ ὁ Ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. (Γέν: μη: 16:) ἐξ ὧν μανθάνομεν, ὅτι ὁ Θεὸς διὰ Ἀγγέλων φυλάττει τοὺς ἐλπίζοντας εἰς αὐτόν· ὁδοὺς δὲ καὶ στράτας, λέγει τὰς πράξεις τοῦ ἀνθρώπου· περιττὸν δὲ εἶναι τὸ τοῦ. (1)

12: „ Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψης „ πρὸς λίθον τὸν πόδα σου.

Χεῖρες Ἀγγέλων, εἶναι αἱ φρουρητικαὶ δυνάμεις αὐτῶν· ἀροῦσι δὲ ἀντὶ τοῦ, θέλουν σὲ βαστάσουν εἰς τοὺς πειρασμοὺς καὶ δυσκολίας· ὥστε ὁποῦ οὐδὲ νὰ σκοντάψῃ εἰς πέτραν τὸ ποδάρισου· πέτρα δὲ ἠμπορεῖ νὰ νοηθῇ κάθε ἁμαρτία, καὶ κάθε ἐμπόδιον τῆς ἀρετῆς· ποδάρι δὲ εἶναι, ἡ πολιτεία τοῦ ἀνθρώπου, διὰ μέσου τῆς ὁποίας περνοῦμεν τὴν παροῦσαν ζωήν. (2)

13: „ Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβή„ σῃ.

(1) Σημείωσαι, ὅτι κατὰ τὸν ἅγιον Κύριλλον· οἱ Ἀρειανοὶ ἀκούοντες τὸν Διάβολον νὰ λέγῃ τούτους τοὺς στίχους εἰς τὸν Χριστὸν, ὅταν ἐπείραζεν αὐτὸν ἐπὶ τοῦ ὄρους· προσαρμόζουσι καὶ τὸ ἀνωτέρω ῥητόν· ἤγουν τό· „ Τὸν ὕψιστον ἔθου καταφυγήν σου· εἰς τὸν Χριστόν· κακῶς δὲ τοῦτο προσαρμόζουσιν ἀκολουθοῦντες τῷ πατρὶ τοῦ ψεύδους Σατανᾷ, διὰ νὰ δείξουν, πῶς ὁ Υἱὸς δὲν εἶναι κατὰ πάντα ἴσος τῷ Πατρί· εἰ γάρ ἐστιν ἀληθὲς κατ' αὐτοὺς τὸ τοιοῦτον, ἐλπίδα μὲν ἡμεῖς τὸν Χριστὸν πεποιήμεθα, αὐτὸς δὲ καταφυγὴν ἔχει τὸν Πατέρα, οὐκοῦν βοηθουμένῳ προσπεφεύγαμεν· καὶ Σωτῆρα καλοῦμεν τὸν παρ' ἑτέρου σωζόμενον· ἀλλ' οὐκ ἔστι ταῦτα· μὴ γένοιτο! ὕψιστος γάρ ἐστι καὶ ὁ Υἱὸς, καθὰ καὶ ὁ Πατήρ· καὶ αὐτός ἐστιν ἡ πάντων καταφυγὴ, καὶ πάντων ἐλπίς· ὁ γὰρ Σατανᾶς, ὡς ἐπὶ κοινοῦ ἀνθρώπου, τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ τοῖς στίχοις τούτοις ἐχρήσατο· καὶ σκότος ὢν, οὐ συνῆκε τῶν εἰρημένων τὴν δύναμιν, ὅτι ὁ Ψαλμὸς ἐκ προσώπου παντὸς δικαίου εἴρηται, βοηθουμένου ὑπὸ τοῦ ὑψίστου Θεοῦ· νοεῖται δὲ τοῦτο λέγεσθαι ἐφ' ἑκάστου τῶν δικαίων παρὰ τοῦ Πνεύματος· ὅτι τὸν ὕψιστον ἔθου καταφυγήν σου καὶ οὐ προσελεύσεται πρὸς σὲ κακὰ, ὁμοίως καὶ τὰ λοιπά.

(2) Ὁ δὲ θεῖος Κύριλλος λέγει· „ Κελεύει δὲ δυνάμεις ἀγαθὰς συνασπίζειν τοῖς ἀδικουμένοις, καὶ ἀφιστᾶν τοὺς ἀλιτηρίους, οὐ τὸ ἄναλκι παθὼν εἰς τὸ σώζειν αὐτούς· πῶς γάρ; ἢ πόθεν; ἀλλ' οἷόν τις βασιλεὺς γνησίοις ὑπασπισταῖς ἐφιεὶς, βαρβαρικαῖς ἐφόδοις ἀντανίστασθαι, καὶ τῶν ὑπὸ σκῆπτρα κειμένων ἀποσοβεῖν τὰς πλεονεξίας. ὁ δὲ Διόδωρος λέγει· „ Ὥσπερ γὰρ οἱ κατὰ σάρκα πατέρες, ὅταν ἴδωσιν ὁδὸν τραχεῖαν καὶ δύσβατον, ἀρπάζουσιν εἰς χεῖρας τὰ βρέφη, μὴ ἄρα πως ἀδικηθῇ τρυφερὸν ἔχοντα τὸν πόδα, καὶ οὔπω διὰ σκληρᾶς ὁδοῦ βῆναι δυνάμενα· οὕτω καὶ αἱ λογικαὶ δυνάμεις, τοὺς οὔπω πονεῖν ἰσχύοντας, νηπιοπρεπῆ δέ πως τὴν διάνοιαν ἔχοντας, οὐκ ἐῶσι πονεῖν ὑπὲρ δύναμιν, ἀλλὰ παντὸς ἐξέλκουσι πειρασμοῦ, μὴ ἄρά πως ὀλιγωρήσαντες, ὑπὸ πόδας γένωνται τοῦ Σατανᾶ, καὶ ἀπαγορεύσωσι τὸ βούλεσθαι δουλεύειν Θεῷ· τοῦτο τὸ ῥητὸν κακῶς νενοηκότι τῷ Διαβόλῳ, καὶ πρὸς τὸν Χριστὸν εἰπόντι, ἀπεκρίθη ἐλέγξας ὁ Κύριος· γέγραπται· οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου· κινδυνεύοντι γὰρ, οὐκ ἐκπειράζοντι Θεὸς ἐπηγγείλατο τὴν βοήθειαν· ἐν χρείᾳ καθεστῶτι, οὐκ ἐπιδεικνυμένῳ καὶ κενὴν θηρῶντι δόξαν· οὔπω γὰρ, λέγων, ὅτι οὐ περὶ ἐμοῦ, οὐ καὶ Ἄγγελοι χρῄζουσιν, ἀλλὰ περὶ δικαίου ἀνδρὸς εἴρηται τῷ μελῳδῷ τὸ ῥηθέν.

„ σῃ καὶ καταπατήσεις λέοντα καὶ „ δράκοντα.

Δὲν θέλει ἐγγίσει, λέγει, εἰς ἐσένα, ἄνθρωπε, ὁποῦ ἔχεις καταφυγὴν τὸν Θεὸν, κἀνένα θηρίον φαρμακερὸν, ἢ σαρκοφάγον· καθὼς τοῦτο ἐφάνη ἀληθὲς εἰς πολλοὺς ἁγίους, ὡς διδάσκουσιν οἱ τούτων βίοι καὶ ἱστορίαι· ἀναγωγικῶς δὲ διὰ τῆς ἐπιβάσεως καὶ καταπατήσεως τῶν φαρμακερῶν καὶ σαρκοφάγων θηρίων, ἐφανέρωσεν ὁ Δαβὶδ τὴν νίκην καὶ κατακυρίευσιν, κάθε κακίας καὶ βλάβης· δύναται δὲ νὰ νοηθῇ, ἀσπίδα μὲν, ἡ διαβολή· διατὶ καθὼς ἡ ἀσπίδα, ἔτζι καὶ ἡ διαβολὴ καὶ συκοφαντία φαρμάκι ξερνᾷ εἰς τὰ αὐτία τῶν ἀνθρώπων κατὰ τοῦ διαβαλλομένου· βασιλίσκος δὲ, εἶναι ὁ φθόνος καὶ ἡ βασκανία· διατὶ καθὼς ὁ βασιλίσκος εἰς τοὺς ὀφθαλμοὺς ἔχει τὴν βλάβην: ἔτζι καὶ ὁ φθόνος καὶ ἡ βασκανία, καὶ μὲ τὰ ἐμμάτια μένα βλάπτει τοὺς βασκαινομένους· λεοντάρι δὲ εἶναι, ἡ ὠμότης καὶ ἀπανθρωπία· δράκων εἶναι ὁ θυμὸς, διὰ τὸ θερμὸν καὶ ὀξὺ καὶ ἐνεργητικόν· τὰ ὁποῖα ὅλα αὐτὰ πάθη, θέλει καταπατήσει ὁ δίκαιος ἄνθρωπος· καὶ ἀπὸ αὐτὰ δὲν θέλει βλαβῇ παντελῶς· λέγεται δὲ καὶ ὁ Δαίμων ἀσπὶς καὶ βασιλίσκος καὶ λέων καὶ δράκων· διατὶ ὅλας τὰς βλάβας, ὁποῦ προξενοῦσι τὰ θηρία ταῦτα, τὰς ἔχει καὶ αὐτὸς εἰς τὸν ἑαυτόν του· (1)

14: „ Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι „ αὐτόν.

Ἐπειδὴ μεγάλα καὶ ἀπίστευτα ὑποσχέθη ὁ προφήτης εἰς τὸν ἄνθρωπον, ὁποῦ ἔχει τὸν Θεὸν καταφυγήν του: δηλαδὴ, τὸ νὰ καταπατῇ τὰ ἀγριώτατα καὶ φαρμακερώτατα θηρία, καὶ νὰ μὴ βλάπτεται ἀπὸ αὐτά· διὰ τοῦτο τώρα ἐδῶ φέρει τὸν Θεὸν βεβαιοῦντα τὰ ἄνω εἰρημένα κατὰ τὸν Ἀθανάσιον, καὶ διδάσκοντα, ποῖος εἶναι ὁ μισθὸς καὶ καρπὸς τῆς εἰς τὸν Θεὸν ἐλπίδος· λέγει γάρ· ἐπειδὴ ὁ τοιοῦτος ἄνθρωπος ἤλπισεν εἰς ἐμένα· διὰ τοῦτο λοιπὸν καὶ ἐγὼ θέλω ἐλευθερώσω αὐτὸν ἀπὸ κάθε κίνδυνον.

„ Σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνο„ μά μου.

Βλέπε, ὦ ἀναγνῶστα, πῶς ὁ Θεὸς εἶπεν, ὅτι ἐγνώρισε τὸ ὄνομά μου· ἐπειδὴ τὴν φύσιν τοῦ Θεοῦ κἀνένας δὲν δύναται νὰ γνωρίσῃ· γνωρίζει δὲ τὸ ὄνομα τοῦ Θεοῦ, ὄχι ἐκεῖνος, ὁποῦ γνωρίζει ἁπλῶς, ὅτι οὗτος εἶναι Θεός· ἀλλ' ἐκεῖνος, ὁποῦ προσφέρεται εἰς τὸν Θεὸν ἀξίως τοῦ Θεοῦ: ἤτοι καθὼς πρέπει νὰ προσφέρεταί τινας εἰς τοιοῦτον μέγαν καὶ φοβερὸν Θεόν: ὡς δοῦλος δηλαδὴ, καὶ ὡς ὑπήκοος εἰς τὰς θείας του καὶ Δεσποτικὰς ἐντολάς. (2)

15: „ Κε-

(1) Ἀλλὰ καὶ κατὰ τὸν μέγαν Ἀθανάσιον καὶ Κύριλλον καὶ Δίδυμον, λέων καὶ δράκων ἀσπὶς καὶ βασιλίσκος νοηθεῖεν ἂν αὐτὸς ὁ Σατανᾶς, καὶ οἱ συναποστάντες αὐτῷ πονηροὶ Ἄγγελοι, οἱ τὴν ἑαυτῶν ἀρχὴν μὴ τηρήσαντες, καὶ οἱ τοῖς ἐκείνου θελήμασιν ὑπηρετεῖν εἰωθότες· καὶ εἰ βούλει, νόει ὄφεις τε καὶ βασιλίσκους, τοὺς τῶν ἀνοσίων αἱρέσεων εὑρετάς· τέσσαρα δὲ εἴδη εἰσὶ τῶν ἀντικειμένων δυνάμεων, ἀρχαὶ, ἐξουσίαι, κοσμοκράτορες, καὶ πνευματικὰ τῆς πονηρίας, διὰ τεσσάρων ζώων δηλούμενα· λέοντος, δράκοντος, ἀσπίδος, καὶ βασιλίσκου, κατὰ τὸν Εὐσέβιον· λέγει δὲ ὁ μέγας Βασίλειος, ὅτι ὁ βασιλίσκος εἶναι ὄφεως παγχάλεπον κύημα, καὶ ἐξ αὐτοῦ τοῦ βλέμματος θανατοποιὸν, ὡς λόγος· φασὶ γὰρ αὐτὸν καὶ ἐκ μόνης ὄψεως διαφθείρειν τοὺς θεαθέντας, ἰόν τινα φθαρτικὸν ἐξαποστέλλοντα τοῖς ὄμμασιν· ὁ δὲ Νύσσης λέγει· „ Ὁ μὲν πατῶν θυμὸν, λέοντα πατεῖ· θυμικὸν γὰρ τὸ ζῶον· ὁ δὲ τὰς ἡδονὰς πατῶν καὶ τὴν ἄλλην κακίαν, ἀσπίδα καὶ βασιλίσκον καταπατεῖ καὶ δράκοντα· ἡ γὰρ ἡδονὴ τῆς σαρκὸς καὶ πᾶσα ἡ κατὰ τὸν βίον πονηρία, ἀναγκαίως τοῖς ἑρπετοῖς τοῖς συρομένοις εἰς γῆν παρεικάζεται· τάχα δὲ καὶ βασιλίσκον κυρίως πατεῖ ὁ τὸν φθόνον πατῶν, ὡς ἐν κακίᾳ βασιλεύοντα· καὶ τὸ ζῶον γὰρ ὁ βασιλίσκος ἐν ὀφθαλμῷ τὸν ἰὸν ἔχει, ὥσπερ δὴ καὶ οἱ βάσκανοι λέγονται ἐν ὀφθαλμοῖς τὴν βλάβην ἔχειν.

(2) Ἐρωτᾷ δὲ ὁ Εὐσέβιος· „ Τίς ἄρα ἐστὶν ὁ γινώσκων τὸ ὄνομα αὐτοῦ; καὶ ἀποκρίνεται, ὅτι ἐστὶν ὁ αὐτῷ καὶ μόνῳ λατρεύων, καὶ μόνῳ προσκυνῶν αὐτῷ, καὶ πλὴν αὐτοῦ Θεὸν ἕτερον οὐκ εἰδώς· ὁ ὑποτιθεὶς εὐήνιον αὐτῷ τὸν τῆς διανοίας αὐχένα· ὁ τοῖς αὐτοῦ δουλεύων θελήμασιν· οὗτος οἶδε τὸ θέλημα αὐτοῦ· ὄνομα δὲ ὅταν ἀκούσῃς, τὴν δόξαν νόει· γέγραπται γάρ, ὅτι κρεῖττον ὄνομα καλὸν, ἢ πλοῦτος πολύς. (Παρ.: κβ'. 1.)

15: „ Κεκράξεται πρός με, καί ἐπακούσο-
„ μαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλί-
„ ψει· ἐξελοῦμαι αὐτόν, καί δοξάσω
„ αὐτόν.

Θέλει φωνάζει, λέγει, ὁ εἰς ἐμὲ ἐλπίζων, καὶ ἐγὼ θέλω τοῦ ἀκούσω· διατὶ δὲν θέλει ζητήσει κανένα ἀνάξιον ἐμοῦ τοῦ Θεοῦ, ἢ τοῦ ἑαυτοῦτου· καὶ εἰς καθε πειρασμὸν καὶ θλίψιν ἐγὼ θέλω εἶμαι μαζίτου βοηθός, καθὼς ἤμην μὲ τοὺς τρεῖς παῖδας πρότερον ἐν τῇ καμίνῳ, καὶ μὲ τοὺς Μάρτυρας ὕστερον ἐν ταῖς βασάνοις. Καὶ ἀπὸ καθε ἀνάγκην θέλω λυτρώσω αὐτόν, καθὼς εἴπομεν καὶ εἰς τὸν λς: Ψαλμόν, ἑρμηνεύοντες τό· „ Οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον· καὶ τό, „ Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ· καὶ ὄχι μόνον θέλω λυτρώσω αὐτόν, ἀλλὰ καὶ θέλω τὸν κάμω ἔνδοξον καὶ περιφανῆ διὰ τὴν οἰκειότητα ὁποῦ ἔχω νὰ δείξω εἰς αὐτόν. (1)

16: „ Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν,
„ καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Ἄν, λέγει, ζητήσῃ καὶ μακροχρόνιον ζωὴν ὁ εἰς ἐμὲ ἐλπίζων, θέλω τὴν χαρίσω εἰς αὐτόν· ἢ μακρότητα ἡμερῶν λέγει, τὴν αἰώνιον ζωήν· ἐπειδὴ μία ἡμέρα εἶναι ἡ αἰώνιος ζωὴ ἐκείνη, ὀνομαζομένη μακρότης ἡμερῶν, διὰ τὸ ἀτελεύτητον καὶ ἀδιάδοχον· ἀδιάφορος δὲ εἶναι ἡ σύνταξις τοῦ ἐμπλήσω· ἀντὶ γὰρ νὰ εἰπῇ· μακρότητος ἡμερῶν ἐμπλήσω αὐτὸν μὲ γενικήν, εἶπε μακρότητα ἡμερῶν μὲ αἰτιατικήν· θέλω δείξω δὲ εἰς αὐτὸν τὴν παρ' ἐμοῦ σωτηρίαν, ὅτι δύναμαι νὰ σώσω ἐκεῖνον, ὁποῦ ἐλπίζει εἰς ἐμένα. (2)

ΨΑΛ-

(1) Ἔφη δὲ ὁ Ἀθανάσιος· „ Ὁ κεκραγὼς τῇ τῆς ψυχῆς μεγαλοφωνίᾳ πρὸς ἐμὲ, ἐπακούοντά με ϗ ἐπινεύοντα
αὐτῷ εὑρήσει· ἀεὶ γὰρ αὐτῷ πάρειμι, κἂν ἐν περιστάσει τυγχάνῃ. Ἔφη δὲ ϗ ὁ Διόδωρος· „ Τί τούτου μακα-
ριώτερον, Θεὸν ἔχειν εἰς βοήθειαν ἕτοιμον, ϗ παρεσκευασμένον τοῖς ἐχθροῖς ἀντιτάττεσθαι; μάλιστα γὰρ τότε
συνεῖναι αὐτῷ χρεία, ὅταν ἡ θλιβερὰ ϗ περιστατικὰ περὶ ἡμᾶς· οὐ μόνον δὲ αὐτὸν ἐλευθερώσω τῶν λυπηρῶν, φη-
σιν, ἀλλὰ ϗ περίβλεπτον ἀπεργάσομαι· οὐκοῦν ἡ θλίψις οὐκέτι θλίψις· ἀλλὰ χαρὰ ϗ δόξα γίνεται, διὰ τὸν συ-
νόντα ϗ κοινωνοῦντα τοῖς θλιβομένοις Θεόν.
(2) Μερικοὶ δὲ λέγουσιν, ὡς ὁ Θεοδώριτος, ὅτι ἁρμόζει τὰ ἐν τῷ Ψαλμῷ τούτῳ ἰδίως τῷ βασιλεῖ Ἐζεκίᾳ, καὶ
μάλιστα τὸ ἀκροτελεύτιον, προσθήκην ζωῆς δεξαμένῳ, ϗ πολλὴν περιφάνειαν ἐκ τῆς τῶν Ἀσσυρίων βασιλείας κτη-
σαμένῳ· προσθέττει δὲ ὁ Θεοδώριτος ϗ ταῦτα· „ Ἀλλὰ ϗ ἅπαντες οἱ εἰς τὸν Θεὸν ἠλπικότες, παντοδαπῶν
ἀπολαύσουσιν ἀγαθῶν· ὡς ϗ αἱ παλαιαὶ διδάσκουσιν ἱστορίαι, ϗ τὰ νῦν ὁρώμενα μαρτυρεῖ (τὰ ἀκόλουθα γρά-
φονται ἐν ἄλλῳ Κώδικι τῶν τοῦ Θεοδωρίτου·) αἱ γὰρ ψυχαὶ τῶν γενναίων, ἐν χειρὶ Κυρίου· τὰ μέντοι σώμα-
τα αὐτῶν ἐν θήκαις κείμενα, διὰ τῶν νῦν γινομένων θεοσημειῶν τῆς δόξης τὸ σωτήριον δηλοῦσι· διὰ δὲ τὸν ὅρον
τὸν Δεσποτικὸν τῇ γῇ παραθέμενοι, πηγάζουσι τὰς ἰάσεις, σωτῆρες ἄλλοι μετὰ τὸν Σωτῆρα, ϗ ἰατροὶ παντο-
δαπῶν παθῶν γινόμενοι· τρόπαιά τε τὰ παμμακαριώτατα αὐτῶν λείψανα, μετὰ τὸ τρόπαιον τοῦ Σταυροῦ, κατὰ
Δαιμόνων ἀνέστησαν.

ΨΑΛΜΟΣ ϞΑ΄. ΚΑΘΙΣΜΑ . ΙΓ

„ Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ Σαββάτου.

Τὶ μὲν εἶναι Ψαλμὸς ᾠδῆς, εἴπομεν ἐν τῷ Προιμίῳ· εἶναι δὲ ὁ Ψαλμὸς οὗτος ἀνώνυμος μὲν, ἔχει ὅμως καὶ ἀνεπίγραφος· ὄνομα δὲ, οὔτε τοῦ Δαβὶδ ἔχει, οὔτε τινος ἄλλου ψαλτῳδοῦ· ἐπειδὴ καὶ ἀπὸ ὅλους κοινῶς τοὺς τότε ψάλτας ἐμελῳδεῖτο· ἐπιγράφεται δὲ εἰς τὴν ἡμέραν τοῦ σαββάτου, καθὼς μὲν τινες λέγουν· διατὶ ὁ Δαβὶδ ἀφιέρωσε νὰ ψάλλεται ὁ ψαλμὸς οὗτος εἰς μόνον τὸ σάββατον, εὐχαριστήριος εἰς τὸν Θεόν· καὶ διατὶ τῷ σαββάτῳ ἔπρεπε νὰ συναχθοῦν ὅλοι οἱ ψάλται διὰ νὰ ψάλλουν αὐτόν· καθὼς δὲ λέγουν οἱ τὸν ψαλμὸν τοῦτον θεωρήσαντες (ὡς ὁ Θεοδώριτος) ὑψηλότερον, εἰς τὴν ἡμέραν τοῦ μέλλοντος αἰῶνος ὁ ψαλμὸς οὗτος ἀποβλέπει, καὶ τὰ ἐν τῷ μέλλοντι αἰῶνι διδάσκει: ἤτοι τὴν κόλασιν τῶν ἁμαρτωλῶν, καὶ τιμὴν καὶ ἀπόλαυσιν τῶν δικαίων· καθὼς γὰρ τὸ παλαιὸν σάββατον κατάπαυσις ἑρμηνευόμενον, ἀργίαν εἶχε κάθε βιωτικοῦ ἔργου: ἔτζι καὶ ἡ ἡμέρα ἐκείνη, μὲ τὸ νὰ ἦναι κατάπαυσις τῆς παρούσης ζωῆς, διὰ τοῦτο εἶναι ἐλευθέρα ἀπὸ κάθε φροντίδα βιωτικὴν, καὶ σάββατον ὀνομάζεται, κατὰ τὸν Θεοδώριτον. (1)

---

(1) Ὁ δὲ θεῖος Κύριλλος λέγει· „ Ὁ παρὼν Ψαλμὸς διδάσκει, ὅτι ἐπὶ τούτῳ δεῖν τὴν τοῦ Σαββάτου σχολὴν ποιεῖσθαι, ἐπὶ τῷ κατὰ ταυτὸν συνερχομένους, ἐργάζεσθαι τὰ διὰ τοῦ Ψαλμοῦ δηλούμενα: τὸ ἐξομολογεῖσθαι δηλαδὴ, τὸ ψάλλειν, τὸ ἀναγγέλλειν τὸ ἔλεος καὶ τὴν ἀλήθειαν· ὁ δὲ μέγας Βασίλειος προςίθησι· „ Τοῖς γεμὴν πλησμονῇ γαςρὸς καὶ πάσῃ ἀκοσμίᾳ κατὰ τὸ Σάββατον (καὶ πᾶσαν ἑορτὴν) ἑαυτοὺς ἐκδιδοῦσιν, ἐπαιατείνεται ὁ Θεὸς λέγων· „ Οὐαὶ οἱ ἐφαπτόμενοι Σαββάτων ψευδῶν (Ἀμ. ς΄. 3.) Σάββατα γὰρ ἀληθῆ, ἡ ἀποκειμένη ἀνάπαυσις τῷ λαῷ τοῦ Θεοῦ, ἐφ᾽ ἃ φθάνει, παρ᾽ ᾧ ὁ κόσμος ἐςαύρωται· καὶ πάλιν· „ Τὰς νουμηνίας ὑμῶν καὶ τὰ Σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· (Ἡσ. α΄. 14.) διὸ δὴ παρῃτημένων ἐκείνων, ὁ τῆς καινῆς Διαθήκης λόγος μετήγαγε τὴν τοῦ Σαββάτου ἑορτὴν ἐπὶ τὴν σωτήριον Κυριακὴν, τὴν πρώτην τοῦ φωτὸς ἡμέραν· ἐν ᾗ καὶ τὰ ἐν τῷ μετὰ χεῖρας Ψαλμῷ φιλοτίμως ἐκτελεῖν σπουδάζομεν· τοῦ τε νόμου λέγοντος· „ Μὴ δεῖν ἐν Σαββάτῳ βάςαγμα αἴρειν· μὴ ἐξέρχεσθαι ἀπὸ τοῦ αὐτοῦ τόπου· μὴ καίειν πῦρ· ἐπειδὴ ἀδύνατον ταῦτα τηρῆσαι σωματικῶς, νοοῦμεν τὸ μὴ καίειν πῦρ, τὸ ὑπὸ τῶν παθῶν τῆς σαρκὸς μὴ ἀναφλέγεσθαι, μηδὲ ἀνάπτειν τὸ πῦρ ἐν τῇ αἰωνίᾳ κατοικήσει· τὸ δὲ μὴ ἐπαίρειν βάςαγμα, τὸ μὴ τῷ βάρει τῆς ἁμαρτίας καταφορτίζεσθαι, μηδὲ ὕλην ἐπικομίζεσθαι πῦρ ἀνάπτουσαν· τὸ δὲ μὴ κινεῖσθαι ἀπὸ τοῦ τόπου, τὸ τῆς ἐν Θεῷ διαμονῆς μὴ μεθίςασθαι· ἀλλὰ τὸ ἀμετακίνητον τηρεῖν ἐν τῇ πίςει· λέγει δὲ καὶ ὁ Διόδωρος· „ Ἔςι δὲ τῆς ᾠδῆς ὅλος ὁ σκοπὸς εἰς τὴν ἡμέραν τοῦ Σαββάτου· εἰκὼν δὲ ὥσπερ ἐςὶ τὸ Σάββατον τῆς ἐν Χριςῷ ζωῆς καὶ τῆς Εὐαγγελικῆς πολιτείας, ἣν αὐτὸς ἡμῖν κεκαινοτόμηκεν ὁ Σωτὴρ, μεταβαλὼν τὰς τοῦ νόμου σκιὰς εἰς τὴν πνευματικὴν λατρείαν.

1 : „ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ „ Κυρίῳ· καὶ ψάλλειν τῷ ὀνόματί „ σου ὕψιστε.

Οὕτως, λέγει, ἀγαθὸν πρᾶγμα εἶναι τὸ νὰ εὐχαριστῆ τινας ἐσένα τὸν Θεὸν, καὶ νὰ ψάλλη εἰς τὸ ὄνομά σου εὐχαριστήρια ᾄσματα. Μερικοὶ δὲ ὡς ὁ Εὐσέβιος, ἔτζι ἡρμήνευσαν· ὅτι ἀγαθὸν εἶναι νὰ ἐξαγορεύη πρῶτον τινὰς εἰς τὸν Θεὸν τὰς ἁμαρτίας του, καὶ δεύτερον νὰ ψάλλη εἰς αὐτὸν, διὰ νὰ γένη καθαρὰ ἡ πρὸς τὸν Θεὸν ψαλμῳδία του. (1)

2 : „ Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός „ σου, καὶ τὴν ἀλήθειάν σου κατὰ „ νύκτα.

Ἀφ' οὗ εἶπε καθολικῶς ἀνωτέρω ὁ Δαβὶδ, ὅτι εἶναι ἀγαθὸν τὸ ἐξομολογεῖσθαι καὶ τὸ ψάλλειν τῷ Κυρίῳ, τώρα ἐδῶ ἀφιερόνει εἰς τὸ ἀγαθὸν τοῦτο ἔργον τῆς θείας εὐχαριστίας, καὶ τοὺς ἁρμοδίους καιροὺς καὶ λέγει, ὅτι εἶναι ἀγαθὸν τὸ ἐξομολογεῖσθαι καὶ ψάλλειν, ἵνα διὰ τούτων ἀναγγέλλωμεν ἤγουν διηγούμεθα καὶ ἐκφωνοῦμεν, τὸ πρωῒ μὲν τῆς ἡμέρας, τὸ ἔλεος τοῦ Θεοῦ: ἤγουν διατὶ μᾶς ἠλέησεν ὁ Θεὸς καὶ δὲν μᾶς κατέχωσε μὲ σεισμὸν, οὔτε μᾶς ἔκαυσε μὲ πῦρ, οὔτε μᾶς ἔπνιξε μὲ τὸ νερὸν, οὔτε παρεχώρησε νὰ παραδοθῶμεν εἰς θηρία, καὶ πολεμίους, καὶ φονεῖς, καὶ κλέπτας, καὶ ἄλλους παρανόμους ἀνθρώπους· τὰ ὁποῖα ταῦτα κακὰ συνειθίζουν ὡς ἐπιτοπλεῖστον νὰ γίνωνται εἰς τὸν καιρὸν τῆς νυκτός· καὶ τὸ μεγαλίτερον ἀπὸ ὅλα διατὶ δὲν μᾶς ἄφησεν ὁ Θεὸς νὰ ἐπιβουλευθῶμεν παρὰ τῶν δαιμόνων. Πρὸς τούτοις δὲ εἶναι ἀγαθὸν νὰ ψάλλωμεν εἰς τὸν Θεὸν, ἵνα ἀναγγέλλωμεν κατὰ τὴν νύκτα τὴν ἀλήθειαν αὐτοῦ· ἀλήθειαν δὲ τοῦ Θεοῦ νόησον ἐδῶ, τὸ ἀλάνθαστον τοῦ Θεοῦ· τοῦτο γὰρ τὸ τοῦ Θεοῦ ἀλάνθαστον, πρέπει νὰ ἀναγγέλλωμεν, κατὰ τὸν καιρὸν τῆς νυκτός· τότε γὰρ μάλιστα κινούμεθα πρὸς τὰς ἡδονὰς τῆς σαρκὸς καὶ εἰς τὰς κακοβουλίας· ἵνα συστελλώμεθα ἀπὸ τὰ τοιαῦτα κινήματα, ἐνθυμίζοντες τὸν ἑαυτόν μας, πῶς δὲν λανθάνομεν τὸν ἀλάνθαστον Θεὸν, ἀνίσως πράξωμεν, ἢ συλλογισθῶμεν κανένα ἄτοπον· ἠμποροῦμεν δὲ νὰ εἰποῦμεν, ὅτι μὲ τὸ πρωῒ, ἐφανέρωσεν ὁ Δαβὶδ ὅλην τὴν ἡμέραν, ὡς ἀπὸ μέρους τὸ ὅλον. (2)

3 : „ Ἐν

(1) Ὁ μέγας Βασίλειος ὅμως λέγει, ὅτι ἀπὸ δοξολογίας πρέπει νὰ ἀρχίζωμεν τὴν προσευχήν· δεύτερον πρέπει νὰ εὐχαριστοῦμεν· τρίτον νὰ ἐξομολογούμεθα· καὶ τέταρτον νὰ ζητοῦμεν τὰ συμφέροντα· λέγει δὲ ὁ Ἀθανάσιος· „ Ἡ ἐξομολόγησις ὕμνος ἐστὶ μετ' εὐχαριστίας εἰς δόξαν Θεοῦ συγκείμενος· ὀφείλομεν δὲ τῷ Πατρὶ τῶν ἡμῶν Σωτῆρι Χριστῷ τὰς ὑπὲρ ὧν εὖ πεπόνθαμεν εὐχαριστίας· εὐηργετήθημεν γὰρ παρ' αὐτοῦ πολυτρόπως. Θεὸς γὰρ ὢν ὁ Κύριος, ἐπέφανεν ἡμῖν δόξῃ θεοπρεπεῖ περιαστράπτων τὰ πέρατα, καὶ τὴν τῆς ἀληθοῦς θεογνωσίας ἀκτῖνα δωρούμενος· ἔφη δὲ καὶ ὁ Νύσσης Γρηγόριος τὰ ἀξιοσημείωτα ταῦτα· „ Ἓν τοῦτο πρὸς ἀντίδοσιν, ὧν εἰλήφαμεν, τὸ διὰ προσευχῆς καὶ εὐχαριστίας τὸν εὐεργέτην ἀμείβεσθαι· λογίζομαι τοίνυν, ὅτι κἂν πάσῃ τῇ ζωῇ τὴν πρὸς τὸν Θεὸν ὁμιλίαν συμπαρατείνωμεν εὐχαριστοῦντες καὶ προσευχόμενοι, τοσοῦτον τῆς κατὰ τὴν ἀντίδοσιν ἀξίας ἀπολειπόμεθα, ὅσον, εἰ μηδὲ τὴν ἀρχὴν ἀντιδοῦναι τῷ εὐεργέτῃ προεθυμήθημεν (λόγ. α'. εἰς τὸ, Πάτερ ἡμῶν.)

(2) Ὁ δὲ Κύριλλος λέγει, ὅτι ὑπερβατὸν σχῆμα εἶναι εἰς τὸ ῥητὸν τοῦτο, ὅπερ οὕτως ἐξομαλίζεται· „ Τοῦ ἀναγγέλλειν τὸ πρωῒ καὶ κατὰ νύκτα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου· οὕτω γάρ φησι· „ Σὺ δὲ μὴ ὑπολάβῃς, ὅτι διΐστησιν ἐν τούτοις ὁ ψάλλων τὴν τῆς ᾠδῆς δύναμιν, ὡς χρῆναι πρωῒ μὲν τὸ ἔλεος ἀναγγεῖλαι, τὴν δὲ ἀλήθειαν κατὰ νύκτα· οὐ τοῦτό φησιν· ἀναγνωσόμεθα δὲ οὕτω τὸν στίχον· „ Τοῦ ἀναγγέλλειν τὸ πρωῒ καὶ κατὰ νύκτα: τουτέστιν ἐν ἡμέρᾳ καὶ νυκτὶ, τὸ ἔλεος καὶ τὴν ἀλήθειάν σου· τὸ δὲ ἀναγγέλλειν τὸ ἀνακηρύττειν ἐστίν· ὅ ἐστι δοξολογεῖν· καὶ τὸ ἀναγγελλόμενον τὸ ἔλεος καὶ ἀλήθεια τοῦ Πατρός: τουτέστιν ὁ Χριστός· ἠλέησε γὰρ ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ, ἐδίδαξέ τε ἡμᾶς δι' αὐτοῦ τὴν ἀλήθειαν· τουτέστι τὴν ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν καὶ λατρείαν· ὁ δὲ Εὐσέβιος λέγει, ὅτι καὶ ἐπὶ τοῦ ψάλλειν, καὶ ἐπὶ τοῦ ἀναγγέλλειν, κατὰ κοινοῦ λέγεται τὸ ἀγαθόν: ἤγουν· „ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ ἀγαθὸν τὸ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε· ἀγαθὸν τὸ ἀναγ-

3 : „ Ἐν δεκαχόρδῳ Ψαλτηρίῳ μετ' ᾠ-
„ δῆς ἐν κιθάρᾳ.

Ὅταν ἡμεῖς κάμωμεν συμφώνους τὰς πέντε αἰσθήσεις τοῦ σώματος, καὶ τὰς πέντε δυνάμεις τῆς ψυχῆς, καὶ μὲ ὅλας αὐτὰς ᾄδωμεν εἰς τὸν Κύριον, τότε τελειόνομεν τὸ ῥητὸν τοῦτο τοῦ Δαβίδ· ὅρα δὲ καὶ τὴν ἐξήγησιν τοῦ· „ Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν Ψαλτηρίῳ δεκαχόρδῳ, ψάλατε αὐτῷ. (Ψαλ: λβ: 2:) σύμφωνος γὰρ εἶναι ἡ ἐξήγησις ἐκείνη καὶ καὶ ἁρμοδία εἰ τὸ ῥητὸν τοῦτο· (1)

4 : „ Ὅτι εὔφρανάς με Κύριε ἐν τῷ ποιή-
„ ματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν
„ χειρῶν σου ἀγαλλιάσομαι.

Ποίημα μὲν τοῦ Θεοῦ εἶπαν Μερικοί, καθολικῶς ὅλην τὴν αἰσθητὴν Κτίσιν· ἔργα δὲ χειρῶν τοῦ Θεοῦ, τὰ κατὰ μέρος ποιήματα τῆς αἰσθητῆς Κτίσεως· τῶν ὁποίων ἡμεῖς βλέποντες τὸ μέγεθος, τὸ κάλλος, τὴν ποικιλίαν, τὴν εὐαρμοσίαν, τὴν χρησιμότητα, καὶ ὅ,τι ἄλλο τοιοῦτον, ὅλοι ὁμοῦ, καὶ κάθε ἕνας χωρισά, εὐφραινόμεθα καὶ ἀγαλλιώμεθα· ἄλλοι δὲ ποίημα καὶ ἔργα χειρῶν εἶπον, πῶς εἶναι διπλασιασμὸς λόγου καὶ νοήματος. (2)

5 : „ Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε.

Τὸ ὡς ἐδῶ εἶναι ἐπιτατικὸν, κατὰ τὸν Θεοδώριτον· πολλὰ, λέγει, μεγάλα εἶναι τὰ ἔργα σου Κύριε, ὄχι μόνον ὅσα ἐν τῇ αἰσθητῇ Κτίσει εὑρίσκονται, ἀλλὰ καὶ ὅσα θεωροῦνται ἐν Προνοίαις, ἐν οἰκονο-

---

ναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου· ὥςε ὀρθότερον εἶναι νὰ λέγεται, τὸ ἀναγγέλλειν, παρὰ νὰ λέγεται, τοῦ ἀναγγέλλειν· προςίθησι δὲ ὁ αὐτὸς Εὐσέβιος. „ Ὅτι πρῶτον ἦν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ· δεύτερον, τὸ ψάλλειν διὰ τῶν μουσικῶν ὀργάνων τῷ ὀνόματι αὐτοῦ· τρίτον, τὸ ἀναγγέλλειν κατὰ τὰς ἑωθινὰς ὥρας τὸ ἔλεος αὐτοῦ· τέταρτον, τὸ διηγεῖσθαι τὴν ἀλήθειαν αὐτοῦ κατὰ τοὺς νυκτερινοὺς καιρούς· ϗ ταῦτα πράττειν μὴ μόνον χείλεσι ϗ φωνῇ, ἀλλὰ ϗ διὰ τῆς τῶν μουσικῶν ὀργάνων ἀνακρούσεως· ἐν δεκαχόρδῳ γάρ φησι Ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ· ἔλεος δὲ ϗ ἀλήθειαν νῦν, αὐτὸν ἐκεῖνον προσηγόρευσε τὸν Υἱὸν, εἰςηγούμενος ϗ ἡμᾶς ἐν τῷ ἐξομολογεῖσθαι ϗ ψάλλειν τῷ Θεῷ, ἀναγγέλλειν: ἤγουν ἀνακηρύττειν τὸν λυτρωτὴν τοῦ κόσμου Χριςόν· ἐν αὐτῷ γὰρ ἠλεήθημεν, ϗ δι' αὐτοῦ τὴν πρὸς τὸν μόνον ἀληθινὸν Θεὸν ἐπίγνωσιν ἔχομεν.

(1) Ἔφη δὲ ϗ ὁ Εὐσέβιος· „ Γίνεται δεκάχορδον Ψαλτήριον ψυχὴ θεοφιλὴς, ὅταν ταῖς ἰδίαις πέντε δυνάμεσι συνάψῃ ϗ συναρμόσῃ τὰς τοῦ σώματος αἰσθήσεις, ϗ μίαν συμφωνίαν ἐργάσηται, τῆς πρὸς τὸν Θεὸν ϗ τὰ θεῖα φαντασίας μηδετέρωθεν παρεκτρεπομένης· εἶπε ϗ ὁ Ἱλάριος· „ Χρὴ τοίνυν ἐξομολογουμένους τῷ Κυρίῳ ψάλλειν, ϗ τὸ ἔλεος αὐτοῦ ϗ τὴν ἀλήθειαν ἀγγέλλειν, οὐχὶ μετά τινος ἀπροσεξίας ϗ τῆς πρὸς ἕτερόν τι τῶν ὑλικῶν διενθυμήσεως ἢ φαντασίας, ἀλλὰ μετὰ προσοχῆς ϗ νηφαλιότητος ἁπασῶν δυνάμεων τῆς ψυχῆς· ἔτι δὲ ϗ συμφωνίας ὁλικωτάτης πάντων τῶν αἰσθητηρίων τοῦ σώματος.

(2) Ὁ δὲ Ἀθανάσιος λέγει· „ Ποίημα τὸ κάλλιςον: ἤτοι κατόρθωμα τῆς βουλῆς τοῦ Θεοῦ ϗ Πατρὸς, ϗ οἷον ἔργον τῆς αὐτοῦ χειρὸς, τῆς ἐφ' ἡμῖν οἰκονομίας ἡ δύναμις· ὁ δὲ Ἱλάριος, ποίημα ἐνόησε τὴν ἀνθρωπίνην οὐσίαν ϗ φύσιν: ἤτοι τὴν παράδοξον ἕνωσιν τῆς ψυχῆς ὁμοῦ ϗ τοῦ σώματος· ἐπληροῦτο γὰρ εὐφροσύνης ὁ Δαβὶδ, διὰ τὸ μίαν κατασκευάσαι φύσιν δι' ἑκατέρων τὸν Ποιητὴν, ϗ διὰ τὴν πρὸς Θεὸν εὐαρέςησιν τούτων ϗ συμφωνίαν καὶ σύμπνοιαν· ὁ δὲ Εὐσέβιος· „ Ποίημα μὲν ἑνικῶς λέγει ϗ αὐτὸς τὴν σύγκρασιν τῆς ψυχῆς ϗ τοῦ σώματος, ϗ τὴν ἐπ' ἀγαθῷ συμφωνίαν αὐτῶν· ἔργα δὲ χειρῶν πληθυντικῶς, αὐτὰ πάλιν τὰ ἴδια ὀνομάζει· τὴν ψυχὴν δηλαδὴ ϗ τὸ σῶμα, ξεχωριςὰ θεωρούμενα τὸ καθ' ἕνα· χεῖρας δὲ καλεῖ, τὰς ποιητικὰς δυνάμεις τοῦ Θεοῦ, ὑφ' ὧν τὸ μὲν σῶμα ἐκ τοῦ χοὸς, ἡ δὲ ψυχὴ ἐξ οὐκ ὄντος παρήχθη· ὅθεν ϗ θαυμάσας τὴν τούτων κατασκευὴν ἐπήγαγεν· „ Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· ὁ δὲ Χρυσόςομος ἐν τῇ ἑρμηνείᾳ τοῦ μα'. Ψαλμοῦ λέγει, ὅτι τὸν ςίχον τοῦτον πρέπει νὰ λέγωμεν μετὰ τὴν τράπεζαν· ἔτζι γὰρ λέγει· „ Οὕτω δὲ ϗ ἡμεῖς ποιῶμεν ἀντὶ βαλσάμου τὸ ςόμα ἐμπλήσαντες μελῳδίας πνευματικῆς, ϗ λέγωμεν κοινῇ ςάντες· „ Εὔφρανας ἡμᾶς Κύριε ἐν τῷ ποιήματί σου ϗ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἠγαλλιασάμεθα· καθὼς ϗ ἐν τῷ ὡρολογίῳ ὁ ςίχος οὕτως γέγραπται, ἵνα λέγωσιν αὐτὸν πάντες οἱ Χριςιανοὶ μετὰ τὸν δεῖπνον.

νομίαις, ἐν τερατουργίαις, καὶ ἐν ταῖς τοιαύταις ἄλλαις ἐνεργείαις τοῦ Θεοῦ· περὶ δὲ τῶν ἔργων τοῦ Θεοῦ εἴπομεν καὶ ἐν τῷ πε: Ψαλμῷ ἑρμηνεύοντες τό, „ καὶ οὐκ „ ἔστι κατὰ τὰ ἔργα σου.

„ Σφόδρα ἐβαθύνθησαν οἱ διαλογι-
„ σμοί σου.

Τὸ ἐβαθύνθησαν θέλει νὰ εἰπῇ, ὅτι βαθεῖς καὶ ἄφθαστοι ἐφάνησαν· διαλογισμοὺς δὲ λέγει, τὰς βουλὰς τοῦ Θεοῦ· ὅμοιον μὲ τὸ ῥητὸν τοῦτο εἶναι καὶ ἐκεῖνο, ὁποῦ λέγει ὁ Παῦλος· „ ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! (Ῥωμ: ια: 33:) (1).

6: „ Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύ-
„ νετος οὐ συνήσει ταῦτα.

Ἄφρονα ἐδῶ ὀνομάζει ὁ Δαβὶδ ἐκεῖνον, ὁποῦ δὲν ἔχει τὴν θεϊκὴν φρόνησιν, κἂν καὶ ἔχῃ τὴν φυσικὴν καὶ ἀνθρωπίνην, τὴν ἐκ τῆς ἐξωτερικῆς φιλοσοφίας ἀποκτωμένην· διατὶ ὁ τοιοῦτος ἄνθρωπος, λέγει, δὲν θέλει γνωρίσει, ὅτι εἶναι μεγάλα τὰ ἔργα τοῦ Κυρίου, καὶ ὅτι εἶναι βαθεῖς οἱ διαλογισμοί του· ἀλλὰ θαρρήσας εἰς τὸν ἑαυτόν του, θέλει κρημνισθῇ εἰς ἄτοπα καὶ βλασφημίας· τὸ αὐτὸ δὲ νόημα ἀνεδίπλωσεν, εἰπών, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.

7: „ Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ
„ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐρ-
„ γαζόμενοι τὴν ἀνομίαν.

Τὸ καὶ ἐδῶ εἶναι περιττόν· διέκυψαν δὲ νοεῖται, ἀντὶ τοῦ κατεχάμφθησαν, ἐταπεινώθησαν· τὸ δὲ νόημα εἶναι τοιοῦτον· ὅτι, οἱ ἁμαρτωλοί, ἀνέτειλαν μέν: ἤτοι ἐβλάστησαν προσκαίρως ὡσὰν χόρτον καὶ εὐτύχησαν, δὲν ἐφύλαξαν ὅμως εἰς πολὺν καιρὸν τὴν ἀκμήν τους καὶ εὐτυχίαν· ἀλλὰ διέκυψαν: ἤτοι ἔκυψαν εἰς τὴν γῆν καὶ ἐταπεινώθησαν· τοὺς ἰδίους δὲ ἁμαρτωλούς, λέγει καὶ ἐργαζομένους τὴν ἀνομίαν (2).

„ Ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν
„ αἰῶνα τοῦ αἰῶνος.

Διέκυψαν, οἱ ἁμαρτωλοὶ καὶ ἔχασαν τὴν εὐτυχίαν, ὁποῦ εἶχον, διὰ νὰ κολασθοῦν εἰς τὸν μέλλοντα αἰῶνα· ἐξολόθρευσιν γὰρ καὶ ἀπώλειαν ἐπὶ τοῦ ἀτελευτήτου ἐκείνου αἰῶνος, συνειθίζει νὰ ὀνομάζῃ ὁ Δαβὶδ τὴν ἀπαρηγόρητον κόλασιν· λέγει λοιπόν, ὅτι οἱ ἁμαρτωλοὶ τὴν ἔκπτωσιν τῆς ἐδῶ εὐδαιμονίας ἔλαβον, ὡσὰν ἀρραβῶνα τῆς ἐκεῖ τιμωρίας καὶ κολάσεως· ἀπὸ ἐδῶ δὲ ἐμβαίνει ὁ Δαβὶδ εἰς τὴν ἡμέραν ἐκείνην τοῦ μέλλοντος αἰῶνος, ὡς εἴπομεν ἐν τῇ ἐπιγραφῇ τοῦ Ψαλμοῦ. (3)

8: „ Σὺ

(1) Ὅθεν καὶ ὁ Θεοδώρητος· „ Ποῖος γάρ, εἶπεν, ἱκανὸς ἐξετάσαι τῆς σῆς προνοίας τοὺς λόγους; ἀλλ' ἡμεῖς μὲν ταῦτα, καὶ τοὺς ἀγνοοῦντας διδάσκομεν· οἱ δὲ φρενῶν ἐστερημένοι, καὶ τὸ λογικὸν ἀπολέσαντες, οὔτε συνιδεῖν ἐθέλουσιν, οὔτε μαθεῖν παρ' ἑτέρων ἀνέχονται· ταῦτα γὰρ ἐπιφέρει ὁ Ψαλμός.

(2) Κατὰ δὲ τὸν Κύριλλον καὶ Ἀθανάσιον· „ Οἱ μὴ συνέντες τὸ μυστήριον τοῦ Χριστοῦ, δίκην χόρτου ἔσονται, μὴ ἔχοντες βάθος δηλαδή· διὸ καὶ ταχέως πεσοῦνται καὶ ξηρανθήσονται· ὁ δὲ Θεοδώρητος λέγει· „ Οὐκ ἠβουλήθησαν συνιέναι οἱ ἄφρονες, ὅτι οἱ τῆς ἀνομίας ἐργάται, ὁμοίως χόρτῳ ἤνθησαν, καὶ χλόῃ παραπλησίως ἀπὸ τῆς γῆς διέκυψαν· ἀλλὰ τὸν αἰώνιον ὄλεθρον μετὰ τὴν παροῦσαν εὐημερίαν καρπώσονται.

(3) Κατὰ δὲ τὸν ὅσιον Δωρόθεον· „ Ἁμαρτωλοὶ ἀνατέλλοντες ὡσεὶ χόρτον, εἰσὶν οἱ ἐμπαθεῖς λογισμοί· ἀσθενὴς δὲ ὁ χόρτος καὶ μὴ ἔχων δύναμιν· οὗτοι ποτὲ μὲν κρύπτονται ἔνδον παρ' ἡμῖν, ποτὲ δὲ διακύπτουσι, κατεπεί-

γου-

8 : „ Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα Κύ-
„ ριε.

Σὺ Κύριε, λέγει. εἶσαι ἄφθαρτος καὶ ἀκατάληπτος, καὶ τὰ κρίματά σου εἶναι ἀνεξερεύνητα. (1)

9 : „ Ὅτι ἰδοὺ οἱ ἐχθροί σου Κύριε· ὅτι
„ ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται. καὶ
„ διασκορπισθήσονται πάντες οἱ ἐργα-
„ ζόμενοι τὴν ἀνομίαν.

Ἐχθροὶ τοῦ Θεοῦ δὲν εἶναι μόνον οἱ ἄπιστοι, ἀλλὰ καὶ οἱ πιστοὶ μὲν, ἁμαρτωλοὶ δὲ ὄντες· ἐπειδὴ καὶ ὑπακούουν εἰς τὸν ἐχθρὸν τοῦ Θεοῦ Διάβολον· ἀπώλειαν δὲ τῶν ἐχθρῶν τοῦ Θεοῦ λέγει, τὴν ἐν τῷ μέλλοντι αἰῶνι κόλασιν· οἱ αὐτοὶ δὲ θέλουν διασκορπισθοῦν εἰς διαφόρους κολάσεις καὶ τιμωρίας.

10 : „ Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος
„ τὸ κέρας μου.

Κέρας ἐδικόν του ὠνόμασεν ὁ Δαβὶδ τὸν Χριστόν· ἐπειδὴ ἐκ τοῦ σπέρματός του ἐβλάστησεν ὁ Χριστὸς κατὰ σάρκα· καθὼς εἴπομεν περὶ τούτου πλατύτερον εἰς τὸν πη: Ψαλμὸν, ἑρμηνεύοντες τό· „ Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ·. ὑψωθήσεται δὲ ἀντὶ τοῦ μεγαλυνθήσεται: ἐν τῷ καιρῷ δηλαδὴ τῆς μελλούσης κρίσεως· ἐπειδὴ καὶ τότε ἔχουν νὰ ταπεινωθοῦν ὅλοι οἱ ἐχθροί του· θέλει δὲ ὑψωθῇ ὡς τὸ κέρατον τοῦ μονοκέρου: ἤτοι πολλὰ καὶ μὲ ὑπερβολήν. (2)

„ Καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι.

Διὰ μέσου τοῦ ἐλαίου ἐφανέρωσεν ὁ Δαβὶδ τὴν ἱλαρότητα·„ Τοῦ ἱλαρῦναι γὰρ φησὶ, πρόσωπον ἐν ἐλαίῳ· (Ψαλ: ργ: 13:) λέγει λοιπὸν, ὅτι ἐπειδὴ ἐγὼ ἐγνώρισα, ὅτι μέλλει νὰ ὑψωθῇ τὸ κέρας μου, συμπεραίνω, ὅτι καὶ τὸ γηρατεῖόν μου θέλει γένῃ μὲ πολλὴν ἱλαρότητα: ἤτοι χωρὶς λύπην, καὶ μὲ χαρὰν ἔχω νὰ διαπεράσω αὐτὸ, παρηγορούμενος μὲ ταῖς εἰς τὸ μέλλον ἐλπίδας μου. (3)

11 : „ Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς
„ ἐχθροῖς μου.

Ἀν-

γοντες ἡμᾶς εἰς τὴν δι᾽ ἔργων ἁμαρτίαν· ὅταν οὖν ἀνατείλωσιν ἐν τῇ ψυχῇ, τότε διακύπτουσι: τουτέστιν ἀναφαίνονται οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οἵτινές εἰσι τὰ πάθη, ὅπως ἂν ἐξολοθρευθῶσιν· ὅταν γὰρ ἀναφανῶσι τοῖς ἀγωνιζομένοις τὰ πάθη, τότε ἐξολοθρεύονται ὑπ᾽ αὐτῶν· νοήσατε τὴν ἀκολουθίαν τοῦ λόγου· πρῶτον ἀνατέλλουσιν οἱ ἐμπαθεῖς λογισμοί· ἔπειτα ἀνακύπτουσι τὰ πάθη· εἶθ᾽ οὕτως ἐξολοθρεύονται· ταῦτα πάντα τῶν ἀγωνιζομένων εἰσίν· ἡμεῖς δὲ ποιοῦντες τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν, ϗ ἀεὶ ἐπεκδικοῦντες τὰ πάθη, οὔτε οἴδαμεν, πότε ἀνατέλλουσιν οἱ ἐμπαθεῖς λογισμοὶ. οὔτε πότε ἀνακύπτουσι τὰ πάθη. ἵνα ἀγωνισώμεθα πρὸς αὐτά· εἶπε δὲ ϗ ὁ Τιμόθεος· „ Ἅμα τῷ ἀνατεῖλαι: τουτέστιν ἐξανθῆσαι ϗ φανῆναι καθάπερ χόρτος, ἐκ τῆς κεχερσωμένης καρδίας τοὺς ἁμαρτωλούς (ἤτοι τοὺς πονηροὺς λογισμούς) ϗ διέκυψαν ἐκ τῶν ἀφανῶν φωλεῶν, ϗ γεγόνασι φανεροί, ϗ συμφωνήσαντες πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐνδικωτάτην ἀποίσονται καθ᾽ ἑκάτερον βίων τὴν ἐξολόθρευσιν.

(1) Ὁ δὲ Εὐσέβιός φησιν· „ Ὅταν οὖν κατάλυσις τῆς ἁμαρτίας γένηται, ὡς ἀπολέσθαι διὰ τὸ ἁμαρτάνειν τοὺς ἐχθροὺς γεγενημένους Θεῷ· τότε δὴ ὁ Θεὸς, ὕψιστος εἰς τὸν αἰῶνα εὑρεθήσεται.

(2) Ὁ δὲ Διόδωρος κέρας τοῦ Δαβὶδ λέγει τὸν νέον λαὸν τῶν Χριστιανῶν τὸν διὰ πίστεως σωθέντα· ὁ δὲ Ἀνώνυμος, κέρας ἐννοεῖ τὸν Σταυρὸν τοῦ Χριστοῦ ϗ τὴν εἰς Χριστὸν πίστιν· ἥτις ἀνάλογον τῷ Δεσποτικῷ κέρατι: δηλαδὴ τῷ Σταυρῷ, τὸ ὕψος ἔχει· καθάπερ γὰρ ὁ Σταυρὸς διὰ παθημάτων ἐδοξάσθη, οὕτως ἡ τῶν εὐσεβούντων πίστις διὰ διωγμῶν ὑψοῦται, ϗ διὰ παθημάτων δοξάζεται.

(3) Ὁ δὲ Ἀνώνυμος λέγει· „ Ἀλλὰ μὴν ϗ τὸ γῆράς μου: τουτέστι τὰ ἔσχατα ἐν ἐλαίῳ πίονι ὑψοῦται· ἐν ἐσχά-

Αντὶ του, ἐπειδὲν, ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων ἐξέδωκεν, ἐπόψεται· οἱ δὲ Ἑβδομήκοντα ἐρμήνευσαν τὰ μέλλοντα ὡς περασμένα, κατὰ τὸν Εὐσέβιον καὶ Θεοδώριτον· (1) ἐχθροὺς δὲ λέγει τοὺς Δαίμονας καὶ τοὺς ἀπίςους· εἰς τοὺς ὁποίους τότε ἐν τῇ μελούσῃ κρίσει, θέλει ἰδῇ τὴν ἐκδίκησιν· τοῦτο γὰρ λείπει, καὶ πρέπει νὰ ὑπακούεται: ἤτοι· „ Καὶ ἐπειδὲν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου ἐκδίκησιν.

„ Καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ, „ πονηρευομένοις, ἀκούσεται τὸ οὖς „ μου.

Καὶ εἰς τοῦτο τὸ ῥητὸν εἶναι ἔλλειψις· λείπει γὰρ ἔξωθεν· „ Τὴν κατ' αὐτῶν ἀπόφασιν τοῦ Δεσπότου: ἤτοι τὸ αὐτί μου, λέγει, θέλει ἀκούσει τὴν ἀπόφασιν, ὁποῦ θέλει κάμῃ ὁ δεσπότης Θεὸς ἐναντίον ἐκείνων, ὁποῦ σηκόνονται κατ' ἐπάνω μου καὶ πονηρεύονται· τοὺς αὐτοὺς γὰρ ὀνομάζει καὶ ἐπανιςαμένους καὶ πονηρευομένους ἀσυνδέτως. (2)

12: „ Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Ἀφ' οὗ εἶπεν ἀνωτέρω ὁ Δαβὶδ περὶ τῶν ἁμαρτωλῶν, ὅτι θέλουν ἀνθήσουν ὡσὰν τὸ ὀλιγοχρόνιον χορτάρι, τώρα λέγει ἐδῶ καὶ περὶ τοῦ δικαίου, ὅτι θέλει ἀνθήσει ὡσὰν ὁ πολυχρόνιος φοίνιξ· τοῦ φοίνικος γὰρ οὔτε τὸ ἄνθος πίπτει, ἀλλ' εἰς καρπὸν τελειόνει γλυκύτατον· οὔτε ὁ νέος κλάδος του μαραίνεται, ἀλλὰ μένει ἀειθαλής. (3)

„ Καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ „ πληθυνθήσεται.

Ὁ κέδρος εἶναι πεπληθυσμένος καὶ γεμάτος ἀπὸ φύλλα, κατὰ τὴν κορυφήν· ἔχει δὲ καὶ ἄλλας ὁμοιότητας ὁ δίκαιος, τόσον μὲ τὸν φοίνικα, ὅσον καὶ μὲ τὸν κέδρον· ἔχει ὁμοιότητα ὁ δίκαιος μὲ τὸν φοίνικα, διατὶ καθὼς ὁ φοίνιξ, ἔχει μὲν τὸ ὀλιγώτερον μέρος του ῥιζόμενον εἰς τὴν γῆν, ὅλον δὲ τὸ ἄλλο ἐξέχει ἐπάνω ἀπὸ τὴν γῆν: ἔτζι καὶ ὁ δίκαιος, ὀλίγον μὲν φροντίζει διὰ τὴν γῆν, ὅλην δὲ τὴν φροντίδα του ἔχει εἰς τὸν οὐρανόν· καὶ καθὼς ὁ καρπὸς τοῦ φοίνικος δὲν κλέπτεται ἀπὸ τὰ ζῶα καὶ πετεινὰ, διὰ τὸ ὑψηλὸν καὶ ἀκανθῶδες καὶ δυσκολοανάβατον: ἔτζι καὶ ὁ καρπὸς τοῦ δικαίου: ἤτοι ἡ ἀρετή του, δὲν κλέπτεται ἀπὸ τοὺς Δαίμονας, μὲ τὸ νὰ ἦναι σκεπασμένη μὲ τὴν ὑψοποιὸν ταπείνωσιν· καὶ καθὼς ὁ φοίνιξ χρειάζεται χρόνους πολλοὺς διὰ νὰ γένῃ τέλειον δένδρον: ἔτζι καὶ ὁ δίκαιος χρειάζεται πολυκαιρίαν, διὰ νὰ γένῃ κατὰ τὴν ἀρετὴν τέλειος· ἔχει δὲ ὁ δίκαιος καὶ ὁμοιότητα

μὲ

ἐσχάτοις γὰρ καιροῖς ὁ δαψιλῶς ἡμᾶς ἐλεῶν καὶ φιλότιμος Χριςὸς ἐλήλυθεν, ὥςε ἁμαρτωλοὺς καὶ τελώνας εἰς τὴν αὐτοῦ βασιλείαν προτρέπεσθαι· ὁ δὲ Θεοδώριτος λέγει, ὅτι ὁ Σύμμαχος εἶπεν· „ Ἡ παλαίωσίς μου ὡς ἐλαία εὐθαλής· ἀνθήσω γὰρ καὶ τὸ γῆρας ἀποθήσομαι, καὶ ἐλαίαν τεθηλυῖαν μιμήσομαι· ἢ κατὰ τοὺς Ἑβδομήκοντα· „ Οἷόν τινι ἐλαίῳ πιανθήσομαι τῇ θυμηδίᾳ.

(1) Ὥσπερ γὰρ ἀδύνατον (λέγει ὁ Θεοδώριτος) τὰ γεγενημένα μὴ γεγενῆσθαι: οὕτως ἀδύνατον τὴν τοῦ Πνεύματος πρόῤῥησιν ἀπέραντον διαμεῖναι· τὸ αὐτὸ λέγει καὶ ὁ Εὐσέβιος παρὰ τῇ ἐκδεδ. Σειρᾷ.

(2) Ὁ δὲ Θεοδώριτος λέγει ὅτι, τὸ ἀκούσεται τὸ οὖς μου πρέπει νὰ ἀναγινώσκεται χωριςά: ἤτοι τῶν παρανομίᾳ συζώντων, καὶ μυρία μοι τυρευόντων κακὰ τὸν ὄλεθρον πολλῶν διηγουμένων, ἀκούσομαι.

(3) Ὁ δὲ Διόδωρος, καὶ Εὐσέβιος, καὶ Ἀνώνυμος λέγουσιν· „ Ὁ δίκαιος μιμήσεται τοῦ φοίνικος τὸ ὑψίκομον· τὸ ἀειθαλὲς, τὸ κάρπιμον· τὸ μικρὸν μὲν αὐτοῦ μέρος ἐμπεπῆχθαι τῇ γῇ· τὸ πᾶν δὲ ὑπὲρ γῆν ἀνέχειν· τὸ τὴν καρδίαν τετάσθαι πρὸς οὐρανόν· τὸ τὸν καρπὸν αὐτοῦ ἀνάλωτον εἶναι θηρίοις διὰ τὸ ὑψηλὸν καὶ δύσβατον· καὶ τὸ πολλοῦ χρόνου δεῖσθαι πρὸς τελείωσιν· τοιαύτη καὶ ἡ τῆς ἀρετῆς φυτουργία, πόνῳ πολλῷ καὶ χρόνῳ φυομένη, ἀλλ' εἰς ὕψος αἰρομένη, ὡριμόν τε καὶ ἥδιςον φέρουσα καρπὸν, καὶ σκέπην ἱκανὴν τῷ κεκτημένῳ παρέχουσα.

μὲ τὸν κέδρον· διατὶ καθὼς ὁ κέδρος εἶναι εὐώδης, ἄσηπτος, πολύκλαδος καὶ κατάσκιος: ἔτζι καὶ ὁ δίκαιος εἶναι εὐώδης ἀπὸ τὰς ἀρετὰς, καὶ ἄσηπτος μὲ τὸ νὰ ἐκαθαρίσθη ἀπὸ καθε σῆψιν καὶ φθορὰν τῶν παθῶν· καὶ πολύκλαδος, διατὶ γεννᾷ πολλοὺς υἱοὺς διὰ τῆς χάριτος τοῦ πνεύματος· καὶ κατάσκιος, διατὶ γίνεται εἰς πολλοὺς σκέπη καὶ ἀναψυχή. (1)

13: „ Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, „ ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι.

Οἱ δίκαιοι, λέγει, εἶναι πεφυτευμένοι εἰς τὴν κάτω Ἐκκλησίαν, μέσα εἰς τὴν ὁποίαν κατοικεῖ ἡ τοῦ Χριστοῦ χάρις, καὶ εἶναι ῥιζωμένοι εἰς τὴν πίστιν· ὅθεν καὶ θέλουν ἐξανθήσουν εἰς τὰς οὐρανίους αὐλάς: ἤγουν θέλουν φανοῦν στολισμένοι μὲ τὰ ἄνθη τῶν ἀρετῶν· νοεῖται δὲ καὶ ἄλλως τὸ ῥητὸν τοῦτο κατὰ τὸν θεῖον Μάξιμον· οἶκος μὲν Κυρίου εἶναι, ἡ γνῶσις τῶν θείων Γραφῶν, μέσα εἰς τὴν ὁποίαν εὑρίσκομεν τὸν Κύριον· αὐλαὶ δὲ εἶναι, αἱ ἐντολαὶ τοῦ Κυρίου. (2)

14: „ Ἔτι πληθυνθήσονται ἐν γήρει „ πίονι.

Παχὺ γηρατεῖον εἶναι, τὸ βαθύτατον καὶ πολυχρονιώτατον· οἱ τοιοῦτοι, λέγει, Δίκαιοι, ἀγκαλὰ καὶ θέλουν γηράσουν πολλὰ, ὅμως δὲν θέλουν ἀτονήσουν εἰς τὸ νὰ προκόπτουν ἐν ταῖς ἀρεταῖς. ἀλλὰ ἀκόμη περισσότερον ἔχουν νὰ αὐξάνουν εἰς τὴν ἀρετὴν, καὶ ἐν τοιαύτῃ ἡλικίᾳ εὑρισκόμενοι. (3)

„ Καὶ εὐπαθοῦντες ἔσονται.

Οἱ Δίκαιοι, λέγει, θέλουν γένουν εὐπαθοῦντες ἐν τῷ μέλλοντι αἰῶνι· ἤτοι θέλουν τρυφήσουν καὶ χα-

(1) Ἄλλος δὲ λέγει· „ Καὶ συντόμως εἰπεῖν, ὁ δίκαιος, ὡς μὲν φοίνιξ, εὑρεθήσεται καθαρὸς τὴν καρδίαν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· (ὁ γὰρ φοίνιξ λευκὴν ἔχει τὴν καρδίαν) ὡς δὲ κέδρος, ἄφθαρτος διαμένει· εἶπε δὲ καὶ ὁ Τιμόθεος· „ Φοίνικι μὲν ἕκαστον ἀπεικάζει τῶν περὶ πολλοῦ ποιουμένων τὴν θείαν δικαιοσύνην, καὶ διὰ τοῦτο παρωνύμως ὠνομασμένων δικαίων, κἀντεῦθεν τῷ φοίνικι παραπλησίας ἀειθαλεῖς ἐχόντων τοὺς κλάδους τῶν ἀρετῶν, καὶ προβαλλομένων καρποὺς γλυκεῖς, ἀγάπην, χαρὰν, εἰρήνην, ἐλεημοσύνην, ἐγκράτειαν καὶ τὰ παραπλήσια· γλυκαίνουσι γὰρ ταῦτα πάντα ἀνθρώπου βλέποντος ἢ ἀκούοντος, τὰ αἰσθητήρια τῆς ψυχῆς· παρεικάζει δὲ καὶ τῇ κέδρῳ τοὺς δικαίους, διὰ τὸ εὐῶδες αὐτῆς καὶ ἄσηπτον καὶ ὑψίκομον καὶ πυκασικόν· ἔφη δὲ τὸν δίκαιον πληθύνεσθαι καθάπερ κέδρον: δηλονότι τῷ πολλοὺς ἐξ ἑνὸς ὁμοιοτρόπους ἀποτελεῖν δικαίους ταῖς μεταδοτικαῖς τῶν κατορθωμάτων αὐτοῦ χάρισι καὶ κατασποραῖς· ἐγὼ γάρ φησιν, ἐφύτευσα· Ἀπολλὼς ἐπότισεν· ὁ δὲ Ἀνώνυμος εἶπεν, ὅτι ὁ δίκαιος τῷ φοίνικι ἀπεικάζεται· ἐπειδὴ νίκης τοῖς ἀθλοῦσιν ἢ τρέχουσι σύμβολον τὰ βαΐα τῶν φοινίκων δίδοται· ὥστε οὐκ ἄλλως στεφανωθῆναι κατὰ τὸ μέλλον, ἀλλὰ διὰ τῆς δικαιοσύνης δυνάμεθα.

(2) Ὁ δὲ Τιμόθεος λέγει· „ Ἀνωτέρω τὴν κέδρον τῷ Δικαίῳ, τὸν δὲ λίβανον τῷ χωρητικῷ τῶν δικαίων τόπῳ: ἤτοι τῇ Ἐκκλησίᾳ ἀφωμοίωσε διὰ τὸ ἀμφιλαφὲς αὐτῆς καὶ ποικίλον, καὶ παντοδαπὸν τῶν φυτῶν· οἶκος τοίνυν νοητὸς τοῦ Κυρίου, τὸ πᾶν σύστημα τῆς καθολικῆς Ἐκκλησίας· αὐλαὶ δὲ τοῦ Θεοῦ, αἱ καθ' ἕκαστα τῶν πιστῶν Ἐκκλησίαι· οἱ τοίνυν πεφυτευμένοι ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ καὶ καρποφοροῦντες, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι: τουτέστιν ἐν ταῖς καθ' ἕκαστα καὶ ἀνὰ μέρος τοπικαῖς Ἐκκλησίαις καὶ συναθροίσεσι, τῶν πεπιστευκότων Ἐθνῶν· λέγει δὲ ὁ μέγας Βασίλειος· „ Δυνατὸν δὲ αὐλὴν ἔτι ἐπαναβεβηκότως νοῆσαι τὴν ἐπουράνιον διαγωγήν· διὰ τοῦτο οἱ πεφυτευμένοι ἐνταῦθα ἐν τῷ οἴκῳ Κυρίου, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, ἐκεῖ ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν· (ἑρμην· εἰς τὸν κη'. Ψαλμ·) αὐλαὶ δέ εἰσιν αἱ ἐπουράνιαι μοναὶ, κατὰ τὸν Ἀνώνυμον· εἴγε πολλαὶ μοναὶ ἐν τῇ οἰκίᾳ τοῦ Πατρός.

(3) Ὁ δὲ Θεοδώρητος λέγει· „ Γῆρας μέντοι τὴν τελειότητα κέκληκε· τέλειον γὰρ ἡμεῖς τὸν γεγηρακότα καλοῦμεν, ἀτελῆ δὲ τὸν νέον· διὰ τοῦ γήρως τοίνυν τὴν μέλλουσαν παρεδήλωσε τελειότητα, ἐν ᾗ φανήσεται πολλαπλάσιος ὁ τῆς δικαιοσύνης καρπὸς, καὶ τοῦ Θεοῦ τὸ δίκαιον δῆλον πᾶσι γενήσεται.



χαροῦν αἰωνίως.

„ Τοῦ ἀναγγεῖλαι.
15 : „ Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ
„ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Διὰ τοῦτο, λέγει, οἱ Δίκαιοι θέλουν καλοπαθήσουν, ἵνα χαίροντες κηρύξωσιν ἕνας εἰς τὸν ἄλλον· τί δὲ νὰ κηρύξωσιν, ὅτι εἶναι δίκαιος ὁ Κύριος ἐπειδὴ ἀντὶ τῶν ἐν τῇ ζωῇ ταύτῃ κόπων καὶ ἀγώνων τῶν Δικαίων, ἐχάρισεν εἰς αὐτοὺς ἀνάπαυσιν· τὸ δὲ, „ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ, εἶναι ἐξήγησις τοῦ προτέρου, καὶ ἕνας ἀναδιπλασιασμὸς τῆς εὐθύτητος καὶ δικαιοσύνης τοῦ Θεοῦ. (1)

ΨΑΛΜΟΣ ϞΒ΄

„ Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο ἡ γῆ.
„ Αἶνος ᾠδῆς τῷ Δαβίδ.

Ἀνεπίγραφος μὲν εἶναι κοντὰ εἰς τὸ Ἑβραϊκὸν ὁ παρὼν Ψαλμός. Μερικὰ δὲ ἀντίγραφα ἔχουσι τὴν ἐπιγραφὴν ταύτην, παρμένην ἀπὸ τὴν ἐξήγησιν τῶν Ἑβδομήκοντα· τὴν ὁποίαν ἐξήγησαν ἔτζι, ὅτι ἡμέραν μὲν σαββάτου ἐνόησαν, καθὼς καὶ ἡμεῖς ἐνοήσαμεν ἐν τῷ προλαβόντι ϞΑ: Ψαλμῷ, δηλαδὴ τὴν ἡμέραν τῆς παγκοσμίου καὶ κοινῆς ἀναστάσεως· ἡμέραν δὲ προσαββάτου ἐνόησαν, τὴν ἡμέραν τῆς Χριστοῦ ἀναστάσεως, καθὸ αὐτὴ ἦτον προοίμιον τῆς κοινῆς καὶ παγκοσμίου ἀναστάσεως· ὅτε ἐκατοικήθη ἡ γῆ ἀπὸ τοὺς μεταπλασθέντας καὶ ἀναγεννηθέντας διὰ τοῦ Εὐαγγελίου καὶ τοῦ Βαπτίσματος χριστιανούς· πλὴν τὴν ἐπιγραφὴν ταύτην δὲν ἔχουν τὰ ἀκριβέστερα ἀντίγραφα. (2)

1 : „ Ὁ

(1) Ἄλλος δέ φησιν· „ Ἐπειδάν, φησιν, ἐν ταῖς ἄνω αὐλαῖς καὶ μοναῖς γενόμενοι οἱ δίκαιοι εὕρωσι τὸ τέλειον, καὶ ἀπολάβωσι τὰ ἡτοιμασμένα ἀγαθὰ, τότε καὶ ταύτην ἀναγγελοῦσι τὴν φωνήν· ὅτι δίκαιος κριτὴς ὁ Κύριος, ὃς τοὺς μὲν παρανόμους καὶ ἀσεβεῖς δίκην χόρτου ἀποξηρανθῆναι παρεσκεύασε· τοὺς δὲ δικαίους καὶ εὐσεβεῖς, οἷα κέδρους καὶ φοίνικας ἐν ταῖς ἁγίαις μοναῖς κατεφύτευσε· καὶ ἀντὶ τῶν ἐν βίῳ καμάτων, παρέσχεν ἀνάπαυσιν. Μερικοὶ δὲ νεώτεροι διδάσκαλοι κατὰ τὸ πρόχειρον ἐννοοῦσι τὸ ῥητὸν τοῦτο, ὅτι οἱ δίκαιοι θέλουν φθάσουν εἰς βαθὺ γῆρας, καὶ θέλουν καλοπαθήσουν ἐν τῇ ζωῇ ταύτῃ· διατί; διὰ νὰ ἀναγγέλλουν εἰς τοὺς νεωτέρους, ὅτι ὁ Θεὸς εἶναι εὐθὺς καὶ δίκαιος· καὶ νὰ συμβουλεύουν αὐτοὺς διὰ νὰ φυλάττουν τὰς ἐντολὰς τοῦ Θεοῦ, ὡς πολλὰ εἰδότες καὶ παθόντες διὰ τὴν πολυχρονιότητα· ὅθεν εἶπεν ὁ Σειράχ· Ὡς ὡραία γερόντων σοφία (κε΄. 7.) καὶ πάλιν· „ Στέφανος γερόντων πολυπειρία (αὐτόθ.)

(2) Ὁ δὲ Νύσσης λέγει· „ Αἶνος ᾠδῆς τῷ Δαβὶδ εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκιστο ἡ γῆ· τίς οὐκ οἶδε τῶν παραδεδεγμένων τὸν τῆς εὐσεβείας λόγον, ὅτι τῇ ἡμέρᾳ τοῦ Σαββάτου τὸ κατὰ τὸν θάνατον ἐνηργή-

θη

ε. „ Ὁ Κύριος ἐβασίλευσεν.

Οὗτος μὲν εἶναι πάντοτε Βασιλεὺς, καθὸ Θεός· δὲν ἐγνωρίζετο ὅμως καὶ πάντοτε ἀπὸ τοὺς ἀνθρώπους πῶς ἦτον τοιοῦτος Βασιλεὺς, κατὰ τὸν Θεοδώριτον· μὴ γινώσκοντες γὰρ αὐτὸν πρότερον ὡς Βασιλέα, ὕςερον μετὰ τὴν ἐκ νεκρῶν του ἀνάςασιν ἐπληροφορήθημεν ἡμεῖς οἱ πιςεύσαντες, ὅτι εἶναι Βασιλεὺς ὡς θεός· τοῦτο λοιπὸν προφητεύων ὁ Δαβὶδ, λέγει· ὅτι ὁ Κύριος ἐβασίλευσεν: ἤγουν ἐγνωρίσθη ὅτι εἶναι Βασιλεύς· ἢ καὶ ἄλλως Βασιλεὺς μὲν ἦτον πρότερον ὡς Θεὸς, ἐβασίλευσε δὲ ὕςερον καὶ ὡς ἄνθρωπος· „ ἐδόθη μοι γάρ φησι, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· (Ματ: κη: 18:) καὶ πάλιν „ ἐγὼ δὲ κατεςάθην Βασιλεὺς ὑπ' αὐτοῦ· (Ψαλ: β: 6:) (1)

„ Εὐπρέπειαν ἐνεδύσατο.

Μὲ τὸν λόγον τοῦτον ἐφανέρωσεν ὁ Δαβὶδ τὴν πρέπουσαν εἰς τὸν Θεὸν δόξαν καὶ ἐξουσίαν· τοῦτο γὰρ δηλοῖ τὸ εὐπρέπειαν ἐνεδύσατο· ἢ καὶ ἄλλως· ἐπειδὴ ὁ Χριςὸς ὅταν ἐνεκρώθη κατὰ τὴν σάρκα, δὲν εἶχεν εἶδος, οὐδὲ κάλλος κατὰ τὸν Ἠσαΐαν· διὰ τοῦτο ὅταν ἀνέςη, ἐνεδύθη εὐπρέπειαν καὶ ἀσύγκριτον τῆς ἀφθαρσίας ὡραιότητα, κατὰ τὸν Θεοδώριτον καὶ Ἀπολλινάριον. (2)

„ Ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ πε-
„ ριεζώσατο.

Καὶ ἐδῶ τὸ ἐνεδύσατο πρέπει νὰ νοηθῇ, ὡς ἀνωτέρω· εἶχε μὲν γὰρ ὁ Κύριος τὴν θείαν εὐπρέπειαν καὶ τὴν θείαν δύναμιν κρυπτομένας, αὐτὸς γὰρ ἐςὶ Θεοῦ δύναμις (α: Κορ: α: 24:) ὕςερον δὲ ἐφανέρωσε ταύτας, ἀφοῦ ἀνέβη καὶ ἀπεκατέςη εἰς τοὺς οὐρανούς· οὐχὶ δὲ καὶ ἐνεδύσατο αὐτὰς ἔξωθεν, κατὰ τὸν Θεοδώριτον· καὶ τὸ περιεζώσατο δὲ, Εὐσεβῶς πρέπει νὰ νοήσωμεν ἀντὶ τοῦ εὐτρεπίσθη· ἐπειδὴ σημεῖον εὐτρεπισμοῦ εἶναι, τὸ νὰ ζώνεταί τινας. (3)

„ Καὶ γὰρ ἐςερέωσε τὴν οἰκουμένην
„ ἥτις οὐ σαλευθήσεται.

Ἐ-

θη μνημεῖον, ἀκριβῶς κατὰ τὸν νόμον ἀκινήτου μείναντος ἐν τῷ μνήματι τοῦ ζωοποιοῦ σώματος κατὰ τὴν ἡμέραν ἐκείνην, ὅτε κατῳκίσθη ἡ γῆ ὑπὸ τοῦ οἰκιςοῦ ἡμῶν; ὃς διὰ τοῦ καταλῦσαι τὸν καθαιρέτην τῆς ἡμετέρας οἰκήσεως, πάλιν τὰ ἐρειπωθὲν ἐξυπαρχῆς ᾠκοδόμησεν; ὁ δὲ καθαιρέτης ἡμῶν ὁ θάνατος ἦν, ὃν τότε κατήργησεν· ἄλλος δὲ λέγει· „ Ὅτι τὸ ἡ γῆ κατῴκισο, δηλοῖ τὴν Ἐκκλησίαν τὴν ἐν πάσῃ τῇ γῇ θεμελιωθεῖσαν.

(1) Λέγει δὲ καὶ ὁ Θεολόγος Γρηγόριος· „ Διπλῆ τοῦ Σωτῆρος ἡ βασιλεία· ἡ μὲν προαιώνιος· ἡ δὲ ὑπὸ ἀρχὴν· βασιλεύειν γὰρ λέγεται, καθ' ἓν μὲν σημαινόμενον ὡς Παντοκράτωρ, καὶ θελόντων καὶ μὴ, βασιλεύς ··· καθ' ἕτερον δὲ, ὡς ἐνεργῶν τὴν ὑποταγὴν καὶ ὑπὸ τὴν αὐτοῦ βασιλείαν τιθεὶς ἡμᾶς, ἑκόντας δεχομένους τὸ βασιλεύεσθαι· λέγει δὲ καὶ ὁ Ἀθανάσιος· „ Ἐπειδὴ τὸ ἀνθρώπινον γένος ἀπεςὰν τῆς τοῦ Θεοῦ βασιλείας, ὑπὸ τὴν τυραννίδα γέγονε τοῦ Σατανᾶ· τούτου χάριν ἐπεδήμησεν ὁ μονογενὴς, „ ἵνα πάλιν αὐτὸ τοῖς ἰδίοις ὑποτάξῃ σκήπτροις ὃ καὶ ἐγένετο.

(2) Εὐπρέπεια δὲ ἐννοεῖται καὶ ἡ ἐν τῷ Χριςῷ ἡμετέρα σὰρξ, διὰ τὸ εἶναι καθαρὰν καὶ τὸ ἐξ ἁμαρτίας αἶσχος οὐκ ἔχουσαν, κατὰ τὸν Ἀνώνυμον ἑρμηνευτήν.

(3) Ὁ δὲ Θεολόγος Γρηγόριος λέγει· „ Σχηματίζει δὲ αὐτὸν ὁ προφητικὸς λόγος, οἱόντινα βασιλέα βασιλικὴν πανοπλίαν περιβαλλόμενον, καὶ κατὰ πολεμίων ἀγωνιζόμενον· καί γε εἰσάγει αὐτὸν ἐνδεδυμένον δύναμιν καὶ περιεζωσμένον: δηλαδὴ κατὰ τῶν ἀσεβῶν· εἰ μή τῳ φίλον τὸ περιὸν τῆς δυνάμεως, καὶ οἷον ἀνεςαλμένον οὕτω παραδηλοῦσθαι· τὸ γὰρ ἄσχετον αὐτοῦ τῆς δυνάμεως, „ τίς ὑποςήσεται; τὰ αὐτὰ σχεδὸν λέγει καὶ ὁ Θεοδώριτος.

Ἐπειδὴ ὅλη καθολικῶς ἡ οἰκουμένη ἐσαλεύετο ἀπὸ τὴν πλάνην τῆς εἰδωλατρείας, διὰ τοῦτο ἐςερέωσεν αὐτὴν ὁ Κύριος μὲ τὴν ἀλήθειαν τῆς θεογνωσίας· ὅθεν αὐτὴ δὲν σαλεύεται πλέον ἀπὸ τὴν πλάνην, μὲ τὸ νὰ ἐςερεώθη ἐπάνω εἰς τὴν πέτραν τῆς πίςεως· νοεῖται δὲ μὲ ξεχωριςὸν τρόπον οἰκουμένη, ἡ Ἐκκλησία, κατὰ τὸν Εὐσέβιον καὶ τὸν Ἀνώνυμον ἑρμηνευτὴν, τὴν ὁποίαν κατοικοῦσιν οἱ πιςοὶ χριςιανοί· ταύτης γὰρ πύλαι Ἅδου οὐ κατισχύσουσι, κατὰ τὴν δεσποτικὴν ἀπόφασιν. (1)

2: „ Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.

Ἕτοιμος νοεῖται ἐδῶ ἀντὶ τοῦ ἑδραῖος καὶ ςερεὸς, καθὼς εἴπομεν καὶ ἐν τῷ ξδ· Ψαλμῷ, ἑρμηνεύοντες τό· „ Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ· ἀπὸ τότε δὲ νοεῖται, ἀντὶ τοῦ ἀπ᾽ ἀρχῆς· τὸ δὲ ἀπ᾽ ἀρχῆς ἐπὶ τῆς θείας φύσεως, δὲν ἀναφέρεται εἰς ἀρχὴν χρονικὴν· ἀλλὰ τῆς αἰωνιότητος καὶ ἀϊδιότητος εἶναι δηλωτικόν· τοιοῦτον δὲ ἐπὶ Θεοῦ εἶναι καὶ τό, ἀπ᾽ αἰῶνος· λέγει δὲ τώρα ὁ Δαβὶδ, ὅτι ἄγκαλὰ καὶ ἐνεδύθης, ὦ Κύριε, μορφὴν δούλου, ἀλλ᾽ ὅμως ἡ βασιλεία σου ἦτον ἑδραία ἀπ᾽ ἀρχῆς, καὶ ποτὲ ἀπὸ αὐτὴν δὲν ἐξέπεσες.

„ Ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

(1) Ἔφη δὲ ὁ Ἡσύχιος· „ Τὸν Ἰακὼβ εἰπὼν, οὐκ ἠρκέσθη, ἀλλὰ καὶ τὴν τοῦ Ἰσραὴλ οἰκίαν προσέθηκεν· ἵνα πάντως δηλώσῃ, ὡς ὁ πράξας τὰ νῦν προφητευόμενα, οὗτος ἦν ὁ τὸν Ἰακὼβ καὶ τὸν Ἰσραὴλ ἐπονομάσας· διόπερ καὶ μετ᾽ αὐτοῦ ἐπάλαιε, προτυπῶσαι τὸ Μυςήριον βουληθεὶς τῆς σαρκώσεως· σαρκὸς γὰρ τὸ παλαίειν καὶ περιπλέκεσθαι ἴδιον.

(2) Ὅθεν ὁ Ἡσύχιος· „ Τοῖς μὲν οὖν Ἰουδαίοις ὡς οἰκείοις ὁ Κύριος ἐπεδήμησεν· ἐκείνων δὲ τοὺς ὀφθαλμοὺς μυσάντων, ἀντ᾽ ἐκείνων τὰ πέρατα τῆς γῆς: πάντα δηλαδὴ τὰ Ἔθνη ἐθεάσαντο τοῦ Θεοῦ τὸ σωτήριον, καί τοι μὴ βλέποντα τὸ πρότερον. Καὶ ὁ Κύριλλος· „ Τουτέςιν οὐδεὶς ἀπομεμένηκεν ἀμέτοχος τῆς διὰ Χριςοῦ σωτηρίας· κέκληται γὰρ, ὡς ἔφην, διὰ τῆς πίςεως ἡ σύμπασα γῆ· καὶ ὁ Ἀθανάσιος· „ Οὐδεὶς τόπος ἀμέτοχος τῆς βασιλείας Χριςοῦ· καὶ ὁ Εὐσέβιος· „ Οἱ περάσαντες τὴν γῆν καὶ ἀνωτέρω αὐτῆς γεγενημένοι τῷ μὴ ὑλικὰ καὶ ἐπίγεια φρονεῖν, ἀλλὰ ζητεῖν καὶ φρονεῖν τὰ ἄνω, πέρατα τῆς γῆς ὄντας, εἶδον σωτηρίαν, καὶ τὸν αὐτῆς αἴτιον Θεὸν Λόγον, ὄντα σωτήριον τοῦ Θεοῦ.

(3) Λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Ποιήσωμεν δὲ καὶ ἡμεῖς λογικὰς κιθάρας τὰ ἡμέτερα σώματα· καὶ χρώμεθα, ἀντὶ μὲν χορδῶν, τοῖς ὀδοῦσιν· ἀντὶ δὲ χαλκοῦ, τοῖς χείλεσι· πλήκτρου δὲ παντὸς, ἡ γλῶσσα ὀξύτερον κινουμένη, τὴν ἐναρμόνιον ἀποτελείτω τῶν κρουμάτων ἠχήν· κινείτω δὲ τὴν γλῶτταν ὁ νοῦς, οἷόν τις μουσικὸς μετ᾽ ἐπιςήμης ποιούμενος τὴν ταύτης μετάβασιν· αὕτη τῷ Θεῷ ἡ κιθάρα, τῆς ἀψύχου θυμηρεςέρα· καὶ μάρτυς αὐτὸς διὰ τοῦ Προφήτου βοῶν· „ Μετάςησον ἀπ᾽ ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ Ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι· (Ἀμ. ε´. 23.) λέγει δὲ ὁ αὐτὸς Θεοδώριτος· „ Ὅτι τὸ ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ· τοῦτόν φημι τὸν ὕμνον ἀλαλάζοντες καὶ βοῶντες κατὰ τὸν μυςικὸν καιρὸν (ἴσ· τὸν τῆς ἱερᾶς λειτουργίας κατὰ τὸ Πάσχα) προσφέρειν εἰώθαμεν τῷ Θεῷ, ᾄδοντες καὶ ψάλλοντες, καὶ μετὰ πάσης εὐθυμίας χορεύοντες.

Σαλπίσατε, λέγει, ὦ χριστιανοί, μὲ σάλπιγγας: ἤγουν μὲ τὰς φωνὰς τῶν ἁγίων Εὐαγγελίων· τὰ ὁποῖα, ὀνομάζονται μὲν σάλπιγγες πληθυντικῶς, ἐπειδὴ καὶ εἶναι τέσσαρα κατὰ τὸν ἀριθμόν· ὀνομάζονται δὲ τὰ αὐτὰ καὶ σάλπιγξ ἑνικῶς· διατί, ἀγκαλὰ καὶ λέγωνται Εὐαγγέλια, ἐπειδὴ καὶ τὰ ἔγραψαν τέσσαρες Εὐαγγελισταί, ἀλλ' ὅμως κατὰ τὴν συμφωνίαν καὶ δύναμιν, ἕνα Εὐαγγέλιον εἶναι, κατὰ τὸν Ἡσύχιον· ἐλατὰς δὲ σάλπιγγας τὰ Εὐαγγέλια ὠνόμασε, μὲ τὸ νὰ εἶναι αὐτὰ κεχαλκευμένα ἀπὸ τὸ ἅγιον πνεῦμα· κερατίνην δὲ σάλπιγγα τὰ αὐτὰ Εὐαγγέλια ὠνόμασε, καθὸ εἶναι ζωηρὰ καὶ ζωῆς αἰωνίου πρόξενα· ἐπειδὴ καὶ ἡ κερατίνη σάλπιγξ ἀπὸ κέρατον ζώου κατεσκευάζετο· ἢ σάλπιγγας ἐλατὰς νόησον, τὰς ἐν τῷ Εὐαγγελίῳ περιεχομένας ἐντολὰς τοῦ Κυρίου· ὁμοίως καὶ σάλπιγγα κερατίνην τὰς αὐτὰς ἐντολὰς νόησον, καθότι αὐταὶ προξενοῦσι ζωὴν αἰώνιον. (1)

7: „ Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ψάλατε, λέγει, ὕμνους ἐπινικίους ἔμπροσθεν εἰς τὸν Βασιλέα Χριστόν, τὸν νικητὴν τοῦ Διαβόλου· καὶ ἡ θάλασσα ἂς σαλευθῇ: ἤγουν ἂς σκιρτήσῃ ἀπὸ τὴν χαράν, καθὼς καὶ ἐν τῷ 97. Ψαλμῷ εἴπομεν, ἑρμηνεύοντες τό· „ Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς· ἀνάγνωθι λοιπὸν τὴν ἐκεῖ ῥηθεῖσαν ἐξήγησιν· πλήρωμα δὲ τῆς θαλάσσης ἐνόησαν Μερικοὶ τὰ ὀψάρια τὰ πληροῦντα τὴν θάλασσαν· διατὶ καὶ αὐτὰ λέγονται, ὅτι ἀπὸ τὴν χαράν τους ἐσαλεύθησαν, κατὰ σχῆμα προσωποποιΐας. (2)

8: „ Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό.

Οἱ ποταμοί, λέγει, ὁμοῦ θέλουν κροτήσουν μὲ τὰς χεῖρας, ὡσὰν νὰ ἦτον ἄνθρωποι λογικοὶ συγχαίροντες ἀλλήλους· καὶ οἱ ἄψυχοι γὰρ ποταμοὶ σχεδὸν θέλουν χαροῦν καὶ αὐτοί, ὅταν ἔλθῃ ὁ Χριστὸς ἡ παγκόσμιος χαρά· ἀναγωγικῶς δὲ κατὰ τὸν Κύριλλον, ποταμοὶ εἶναι ἐκεῖνοι οἱ διδάσκαλοι, ὁποῦ βλύζουν τὸ πότιμον νερὸν διὰ τῆς διδασκαλίας των· κατὰ τὸν Θεοδώριτον· περὶ τῶν ὁποίων εἶπεν ὁ Χριστός· „ Ὁ πιστεύων εἰς ἐμέ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος (Ἰω. ζ. 38.) ἢ ποταμοὺς λέγει τὰ πλήθη τῶν Χριστιανῶν, οἵτινες ὡσὰν ποταμοὶ τρέχουν καθ' ἑκάστην ὅλοι ὁμοῦ εἰς τὰς Ἐκκλησίας

(1) Κατὰ τὸν Θεοδώριτον· „ Σάλπιγγα πολλάκις καὶ τὴν βοὴν ἡ θεία Γραφὴ καλεῖ, κατὰ τό· „ Ὅταν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου: ἤτοι μὴ κηρύξῃς αὐτήν· ἐλατὰς δὲ σάλπιγγας τὰς χαλκᾶς λέγει καὶ κερατίνας· ὅτι ταύταις εἰώθασιν οἱ Ἑβραῖοι χρῆσθαι ἐν ταῖς ἐπινικίοις ἑορταῖς· σάλπιγγες τοίνυν ἡμῶν οἱ θεῖοι Ἀπόστολοι, καὶ Προφῆται, καὶ οἱ διδάσκαλοι· ὁ δὲ Ἀθανάσιος λέγει· „ Τὸ ἐκπεπυρωμένον καὶ ἐκτεταμένον τοῦ Εὐαγγελικοῦ κηρύγματος, διὰ τῶν ἐλατῶν: ἤτοι κεχαλκευμένων σημαίνει· διὰ δὲ τῆς κερατίνης, τὸ βασιλικόν· καθὸ τῷ κέρατι ἐχρίοντο οἱ βασιλεῖς· ἀλλὰ καὶ ἐν κερατίνῃ, τῆς βασιλείας τὴν ἐκφώνησιν ἐποιοῦντο· ὁ δὲ Νύσσης φησίν· „ Ἡ νομικὴ σάλπιγξ ὁ λόγος ἐστίν· ὅθεν καὶ ἐν τῇ σκηνοπηγίᾳ τὸν ἐκ τῶν σαλπίγγων ἦχον ἐνομοθέτησεν: ἤγουν τὰς φωνὰς τῶν Προφητῶν, ἃς κερατίνας ὁ νόμος φησί, διὰ τὸ εἶναι αὐτῶν τὴν κατασκευὴν ἐκ τοῦ ἀληθινοῦ μονοκέρωτος· ὁ δὲ Εὐσέβιός φησιν· „ Ἐλαταὶ λέγονται σάλπιγγες οἱ λόγοι τῶν Ἀποστόλων τοῦ Σωτῆρος ἡμῶν, διὰ τὸ βεβασανισμένον καὶ πεπυρωμένον τῆς πίστεως αὐτῶν. Κεράτιναι δέ, διὰ τὸ πρακτικόν· ἐκ βοῶν γὰρ αἱ κεράτιναι σάλπιγγες· βοῦς δὲ ἐργατικὸν ζῶον· καὶ περὶ τῶν Ἀποστόλων δέ φησιν ὁ Παῦλος· „ Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει.

(2) Ὁ δὲ Ἀθανάσιος λέγει· „ Θάλασσαν τὸν παρόντα βίον σημαίνει, διὰ τὸ ἁλμυρὸν τῶν ἐν αὐτῷ φροντίδων· κεκίνηται οὖν οὗτος ἐκ τῆς προτέρας στάσεως: τουτέστι τῆς εἰδωλολατρείας· λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Διαφερόντως ἐν ταῖς πολυανθρώποις πόλεσιν ἔστιν ἰδεῖν τῆς προφητείας τὸ τέλος· θάλατταν γὰρ κυμαίνουσαν τῶν εὐσεβῶν λαῶν ἐν ταῖς Ἐκκλησίαις μιμεῖται τὸ πλῆθος· τοιαύτη δὲ καὶ ἡ τῶν ψαλλόντων ἠχή.

θος, κατὰ τὸν Δίδυμον. (1)

„ Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προ-
„ σώπου Κυρίου· ὅτι ἔρχεται.

Ἀλλὰ καὶ αὐτὰ τὰ Βουνὰ, λέγει θέλουν χαροῦν εἰς τὴν ἔλευσιν τοῦ Κυρίου· καθὼς εἴρηται καὶ εἰς τὸν ϟϛ. Ψαλμόν· „ Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ· ἀναγωγικῶς δὲ ὄρη νοοῦνται κατὰ τὸν Ἡσύχιον οἱ Προφῆται, διὰ τὸ ὕψος τῆς θεωρίας αὐτῶν· θέλουν δὲ χαροῦν οἱ Προφῆται, διατὶ βλέπουν τὰς προφητείας των πληρωθείσας εἰς τὸν Χριστόν. (2)

6: „ Ὅτι ἥκει κρῖναι τὴν γῆν· κρινεῖ τὴν
„ οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λα-
„ οὺς ἐν εὐθύτητι.

Αὐτὰ ὅλα ἐξηγήθησαν εἰς τὸ τέλος τοῦ ϟϛ. Ψαλμοῦ· ἀλλ' ἐκεῖ μὲν εἴρηται, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ· ἐδῶ δὲ, λαοὺς ἐν εὐθύτητι· ὥστε ἐκ τούτου συμπεραίνεται, ὅτι ἀλήθεια καὶ εὐθύτης νοεῖται ἕνα καὶ τὸ αὐτό· διατὶ ὁποῖος εἶναι ἀληθινὸς, αὐτὸς εἶναι καὶ εὐθὺς· καὶ ἀντίστροφως, ὁποῖος εἶναι εὐθὺς, αὐτὸς εἶναι καὶ ἀληθινός. (3)

ΨΑΛΜΟΣ ϟΗ'.

„ Ψαλμὸς τῷ Δαβίδ.

Καὶ οὗτος ὁ Ψαλμὸς εἶναι χωρὶς ἐπιγραφὴν κοντὰ εἰς τὸ Ἑβραϊκόν· οἱ δὲ Ἑβδομήκοντα ἐπέγραψαν αὐτὸν

(1) Ἔφη δὲ ὁ Ἀθανάσιος· „ Ποταμοὺς τοὺς ἁγίους εἶναί φησι μυσταγωγούς· ὧν ϗ τὸ σπουδαῖον τοῦ κηρύγματος διὰ τοῦ ἐπὶ τὸ αὐτὸ κροτεῖν σημαίνει· ϗ ὁ Κύριλλος· λέγει· „ Ἔθος τῇ θεοπνεύστῳ Γραφῇ πηγαῖς τε ϗ ποταμοῖς ἔσθ' ὅτε παρομοιοῦν τοὺς ἁγίους Προφήτας, Ἀποστόλους ϗ Εὐαγγελιστάς· εἶτ' ἔτι πρὸς τούτοις τοὺς τῶν ἁγίων Ἐκκλησιῶν ἡγουμένους, τοὺς τὸν θεῖον τοῖς λαοῖς πρεσβεύοντας λόγον, ϗ τῶν ἱερῶν δογμάτων ὄντας ἐπιστήμονας, ϗ μυσταγωγικὸν ἔχοντας ἐπιτήδευμα· ὅταν τοίνυν ἀκούσῃς περὶ τῶν ἁγίων ποταμῶν, ὅτι κροτήσουσι χειρὶ, ἀντὶ τοῦ εὐφρανθήσονται νόει, τερφθήσονται, ϗ χαρήσονται ϗ ἑορτάσουσι· διὰ ποίαν αἰτίαν; ὅτι ἔσωσε Κύριος τὴν ὑπ' οὐρανόν· ὁ δὲ Ἡσύχιός φησι· „ Ποταμοὺς ἐρεῖς τὰς ἐνεργείας τοῦ Πνεύματος, αἵτινες χεῖρα κροτεῖν, ὡς εἰς ἓν συνελθοῦσαι κατὰ τὸν καιρὸν τῆς τοῦ Χριστοῦ ἐπιδημίας, λέγονται· ἐρεῖς δὲ ϗ τοὺς αἰσθητοὺς ποταμοὺς κροτεῖν χεῖρας ϗ χορεύειν, ἡνίκα βαπτιζόμενον τὸν Χριστὸν ὁ Ἰορδάνης ἐδέξατο· κοινὴ γὰρ τοῦτο χαρὰ τῶν ποταμῶν ϗ τῶν ὑδάτων ἐτύγχανεν.

(2) Ἢ κατὰ τὸν Κύριλλον· „ Ὄρη νοοῦνται αἱ νοεραὶ ϗ ὑψηλαὶ Δυνάμεις, αἵτινες χαίρουσι λίαν ἐπὶ τοῖς ἐν Χριστῷ σεσωσμένοις· ϗ πάντες δὲ οἱ μετάρσιον ἔχοντες φρόνημα, προσμένοντες τὰς ἀντιδόσεις τῶν πόνων ἀγάλλονται· τὸ αὐτὸ λέγει ϗ ὁ Ἀθανάσιος· „ Ὄρη αἱ Ἀγγελικαὶ Δυνάμεις· χαρὰ γὰρ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

(3) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ἡ μὲν προτέρα Χριστοῦ ἐπιφάνεια, πολὺν ἔσχεν τὸν ἔλεον· ἡ δὲ δευτέρα, ἕξει τὸ

τὸν „ τῷ Δαβὶδ, καθὼς εἴπομεν καὶ εἰς τὴν ἐπιγραφὴν τοῦ ϟς: Ψαλμοῦ. (1)

1: „ Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέ-
„ σθωσαν λαοί,

Λέγει ὁ εὐαγγελιστὴς Ματθαῖος· „ Τοῦ Ἰησοῦ Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς Βασιλεὺς τῶν Ἰουδαίων; καὶ ἀκολούθως προστίθετει· „ Ἀκούσας δὲ Ἡρώδης ὁ Βασιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. (Ματ. β. 1.) ταῦτα λοιπὸν προβλέποντας ὁ Δαβὶδ λέγει ἐδῶ, ὅτι ὁ Κύριος ἐγεννήθη Βασιλεύς· αὐτὸς γὰρ εἶπε μόνος· „ Ἐγὼ εἰς τοῦτο (εἰς τὸ βασιλεύειν δηλαδὴ) γεγέννημαι· (Ἰω. ιη. 37.) καὶ λοιπὸν ἂς ὀργίζωνται καὶ ἂς ταράττωνται οἱ λαοὶ τῶν Ἰουδαίων. (2)

„ Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ.

Ὁ Κύριος, λέγει, ἐβασίλευσεν ἐκεῖνος, ὅστις κάθηται ἐπάνω εἰς τὰ χρυσᾶ καὶ τορευτὰ χερουβίμ. καθὼς καὶ εἰς τὸν οθ. Ψαλμὸν εἴρηται· „ Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι. (3)

„ Σαλευθήτω ἡ γῆ.

2: „ Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός
„ ἐστιν ἐπὶ πάντας τοὺς λαούς.

Ἂς

τὸ δίκαιον· πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν· εἴτε ἀγαθὰ, εἴτε φαῦλα.

(1) Κατὰ δὲ τὸν Θεοδώρητον· „ Προθεσπίζει ὁ Ψαλμὸς οὗτος τὴν ἀπὸ Βαβυλῶνος τῶν Ἰουδαίων ἐπάνοδον· προαγορεύει δὲ καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπιφάνειαν, καὶ τὴν τῶν Ἰουδαίων ἀπιστίαν· ὁ δὲ Ἡσύχιός φησιν· „ Οἱ μὲν ἄλλοι πάντες, ἀνεπίγραφον τὸν Ψαλμὸν ἐκδεδώκασιν· ἀλλὰ τῷ Δαβὶδ ἀνέθηκαν οἱ Ἑβδομήκοντα, ὡς περὶ τοῦ νοητοῦ Δαβὶδ τοῦ Χριστοῦ, καὶ αὐτὸν προφητεύοντα.

(2) Ὁ δὲ Ἀθανάσιός φησι· „ Χριστός ἐστιν, οὗ τὴν βασιλείαν οὐ παραδέχονται Ἰουδαῖοι ὀργιζόμενοι· ὁ δὲ Κύριλλος· „ Πεμπέτωσάν, φησι, τῆς ἑαυτῶν βασκανίας τὰ βέλη κατὰ τοῦ Χριστοῦ· ἀρτυέτωσαν ἐπιβουλὰς, οὐδὲν ἀδικῆσαι δυναμένας τὸν οὐδὲν εἰδότα παθεῖν· ἔφη δὲ καὶ ὁ Εὐσέβιος· „ Ἐπὶ μὲν τῷ βασιλεύειν ἁπάντων τὸν τῶν ὅλων Θεὸν οὐδένα ἄντις ὀργίζεσθαι φαίη· ἐπὶ δὲ τῇ τοῦ Χριστοῦ βασιλείᾳ, φησὶν ὁ παρὼν Ψαλμὸς ὀργίζεσθαι λαοὺς, φησὶ δὲ τοὺς ἐκ περιτομῆς καὶ τοὺς ἐξ Ἐθνῶν ἀπιστοῦντας αὐτῷ· δάκνει γὰρ τοὺς ἀπιστοῦντας καὶ λυπεῖ ὁ ἐπὶ τῇ σωτηρίᾳ τῶν Ἐθνῶν ζῆλος· οὐ γὰρ συνῆκαν τὰς περὶ τῆς βασιλείας αὐτοῦ προφητικὰς φωνάς· πλὴν νῦν μὲν ὀργίζονται ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν βασιλείᾳ· ἔσται δέ τις καιρὸς, ἐν ᾧ καὶ αὐτοὶ ἐξομολογήσονται τῷ ὀνόματι αὐτοῦ τῷ μεγάλῳ, ὅτε πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. συμφώνως δὲ καὶ ὁ Ἡσύχιος· „ Τοὺς Ἰουδαίων, λέγει, λαοὺς εἰς ὀργὴν καὶ θυμὸν ἡ Χριστοῦ βασιλεία κεκίνηκεν, ὥστε τῷ Πιλάτῳ λέγειν· „ Μὴ γράφε ὅτι βασιλεύς ἐστι τῶν Ἰουδαίων· καὶ πάλιν· „ Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα.

(3) Λέγει δὲ ὁ Θεολόγος Γρηγόριος· „ Ὑπνοῖ τῇ Γραφῇ Θεὸς καὶ γρηγορεῖ καὶ ὀργίζεται καὶ βαδίζει, καὶ θρόνον ἔχει τὰ Χερουβίμ· τὸ μὲν οὖν ἠρεμεῖν αὐτὸν ἀφ' ἡμῶν, καὶ οἷον ἀμελεῖν, δι' ἃς οἶδεν αὐτὸς αἰτίας, ὑπνοῦν ὠνομάσαμεν· τὸ γὰρ ἡμέτερον ὑπνοῦν τοιοῦτον, ἀνενέργητόν τε καὶ ἄπρακτον· τὸ δ' ἀθρόως εὖ ποιεῖν ἐκ μεταβολῆς, γρηγορεῖν· ὕπνου γὰρ λύσις ἐγρήγορσις, ὥσπερ ἀποστροφῆς, ἐπίσκεψις· τὸ δὲ κολάζειν, ὀργίζεσθαι πεποιήκαμεν· οὕτω γὰρ ἡμῖν ἐξ ὀργῆς ἡ κόλασις· τὸ δὲ, νῦν μὲν τῇ δε, νῦν δὲ τῇ δε ἐνεργεῖν, βαδίζειν· ἡ γὰρ ἀπ' ἄλλου πρὸς ἄλλο μετάβασις βαδισμός· τὸ δὲ ἐναναπαύεσθαι ἁγίαις Δυνάμεσι, καὶ οἷον ἐμφιλοχωρεῖν, καθέζεσθαι καὶ θρονίζεσθαι, καὶ τοῦτο ἡμέτερον· οὐδενὶ γὰρ οὕτως ὡς τοῖς ἁγίοις τὸ θεῖον ἐναναπαύεται, ὡς αὐτὸς λέγει Γρηγόριος μετὰ τοῦ Βασιλείου· τὸ δὲ ὀξυκίνητον τοῦ Θεοῦ, πτῆσιν ὠνομάσαμεν· τὴν δὲ ἐπισκοπὴν, πρόσωπον· τὸ διδόναι δὲ, χεῖρας· οὖς τὸ ἀκουστικόν· ὀφθαλμοὺς, τὸ διορατικόν· πτέρυγας, τὸ σκεπαστικόν· καὶ ἄλλη τις ὄντως τῶν τοῦ Θεοῦ ἐνεργειῶν, ἢ δυνάμεων, ἄλλο τι τῶν σωματικῶν ἡμῖν ἀνεζωγράφισε . . . ἔφη δὲ καὶ ὁ θεῖος Κύριλλος: „ Χρὴ τὰς περὶ τοῦ Θεοῦ ἀνθρωπίνως εἰρημένας λέξεις, οὐχ οὕτω νοεῖν κατὰ τὴν ἐν ἡμῖν συνήθειαν, ἀλλ' ὡς ἂν αὐτῇ πρέπει τῇ θείᾳ τε καὶ ὑπερτάτῃ φύσει.

Ἄς σαλευθῇ, λέγει, ἡ γῆ τῶν Ἰουδαίων· „ Ἐταράχθη γάρ φησι, πᾶσα Ἱεροσόλυμα, ὡς εἴπομεν ἀνωτέρω· (1) ἡ ἐταράχθη ὅλη ἡ γῆ, ἄλλων μὲν ἀνθρώπων ταρασσομένων καὶ ὀργιζομένων, ἄλλων δὲ, μετακινουμένων ἀπὸ τὴν εὐσέβειαν· ἱςορικῶς δὲ μέγας ἦτον καὶ περίφημος ὁ Χριςὸς εἰς τὴν Ἱερουσαλὴμ, ὅταν ἐδίδασκε καὶ ἐτέλει τὰ θαυμάσια· „ Ἐξεπορεύετο γάρ φησιν, ἦχος περὶ αὐτοῦ· (Λου. δ. 37.) καὶ πάλιν „ Ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας· (Μαρ. α. 28.) Καὶ πάλιν· „ Ἀπῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν. (Ματθ. δ. 24.) ἀναγωγικῶς δὲ, μέγας εἶναι ὁ Χριςὸς εἰς τὴν Ἐκκλησίαν κατὰ τὸν Κύριλλον· ἐπειδὴ γὰρ ἡ Σιὼν σκοπευτήριον ὀνομάζεται, διὰ τοῦτο καὶ ἡ Ἐκκλησία Σκοπευτήριον εἶναι· διατὶ ἡμεῖς οἱ ἐν τῇ Ἐκκλησίᾳ Χριςιανοὶ, δὲν σκοποῦμεν τὰ ἐπίγεια, ἀλλὰ τὰ ἐπουράνια, ὡς λέγει ὁ Παῦλος· ἐν τῇ Ἐκκλησίᾳ δὲ εἶναι καὶ ὑψηλὸς ὁ Χριςὸς, περισσότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους· διατὶ αὐτὸς δὲν εἶναι μόνον ἄνθρωπος, ἀλλὰ εἶναι καὶ Θεός· ἢ μέγας μὲν εἶναι ὁ Χριςὸς εἰς τὴν αἰσθητὴν Σιὼν διὰ τὴν δόσιν τοῦ νόμου, ὑψηλὸς δὲ εἶναι εἰς ὅλους τοὺς λαοὺς τῶν Ἐθνῶν κατὰ τὸν Δίδυμον· δηλοῖ δὲ ὁ λόγος οὗτος, ὅτι καὶ εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς Ἐθνικοὺς, θέλει μεγαλυνθῇ ὁ Χριςός: ἤτοι καὶ εἰς τοὺς ἐκ περιτομῆς καὶ εἰς τοὺς ἐξ Ἐθνῶν πιςεύσαντας. (2) διότι τὸ ἐπὶ πάντας τώρα, δὲν σημαίνει μόνον τὸ ἐπάνω εἰς ὅλους, ἀλλὰ καὶ τὸ ἀνάμεσα εἰς ὅλους: καθὸ δηλαδὴ ἀπὸ ὅλους τοὺς λαοὺς τῶν Ἐθνικῶν καὶ Ἰουδαίων μερικοὶ ἐπίςευσαν εἰς τὸν Χριςὸν, ἀνάμεσα εἰς τοὺς ὁποίους ὁ Χριςὸς μεγαλύνεται.

3: „ Ἐξομολογησάσθωσαν τῷ ὀνόματί „ σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ „ ἅγιόν ἐστι.

Ἄς εὐχαριςοῦν, λέγει, ὅλοι οἱ λαοὶ τὸ μέγα ὄνομά σου Κύριε· ὄνομα δὲ λέγει τὸ τῆς Θεότητος· „ Ἐχαρίσατο γάρ φησιν, αὐτῷ (δηλαδὴ τῷ προσλήμματι τῆς ἀνθρωπότητος) ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα (Φιλιπ. β. 9.) ἄς εὐχαριςοῦν δὲ, λέγει, μόνον τὸ ὄνομά σου, χωρὶς νὰ περιεργάζωνται τὴν φύσιν τῆς Θεότητός σου κατὰ τὸν Θεοδώρητον, ἢ τὸν τρόπον τῆς ἐνανθρωπήσεώς σου· διότι, φοβερὸν μὲν εἶναι τὸ ὄνομά σου εἰς τοὺς ἐχθρούς σου· διατὶ διώκει καὶ μασίζει αὐτούς· ἅγιον δὲ εἶναι εἰς τοὺς οἰκείους καὶ γινώσκοντας αὐτό· διατὶ ἁγιάζει καὶ καθαρίζει αὐτούς· ἢ ὄνομα λέγει τὸ Ἰησοῦς· μέγα γὰρ εἶναι τὸ ὄνομα αὐτὸ, καθὸ εἶναι φοβερὸν καὶ ἅγιον καὶ σωτήριον, ὡς εἴπομεν. (3)

4: „ Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.

Τὸ ἀξίωμα, λέγει, τοῦ κάθε Βασιλέως, μάλιςα δὲ τοῦ Βασιλέως Χριςοῦ, ἀγαπᾷ τὴν δικαίαν κρίσιν· διὰ τοῦτο καὶ θέλει βοηθήσει μὲν ἐκείνους, ὁποῦ τυραννοῦνται ὑπὸ τοῦ Διαβόλου· θέλει καταβάλει δὲ καὶ νικήσει, τὸν τυραννοῦντα τούτους Διάβολον. (4)

„ Σὺ

(1) Ὁ δὲ Εὐσέβιος λέγει· „ Οἱ γὰρ πάλαι πολλὰ δυνάμενοι Δαίμονες ἐξησθένησαν, ὡς πάσας αὐτῶν τὰς δυνάμεις σαλευθῆναι, καὶ παυθῆναι τὰς ἐνεργείας.

(2) Ἔφη γὰρ ὁ Ἡσύχιος· „ Δόξα, φησὶ, καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι· ὑψωθεὶς γὰρ ἐκ τῆς γῆς ὁ Χριςὸς, πάντας εἵλκυσε πρὸς ἑαυτόν.

(3) Λέγει δὲ καὶ ὁ θεῖος Κύριλλος· „ Μέγα τὸ Ἰησοῦς ὄνομα· σωτηρία γὰρ λαοῦ ἑρμηνεύεται· μέγα δὲ πάλιν τὸ ὑψηλὸν τῆς Θεότητος ὄνομα: ἤγουν ἡ δόξα· οὐ γάρ ἐςι καθ' ἓν τῶν κτισμάτων ὁ τῶν ὅλων δημιουργός· ἀπαραβλήτοις δὲ μᾶλλον ὑπεροχαῖς τῶν πάντων ὑπέρκειται· ὅμοιον δὲ αὐτῷ κατὰ φύσιν οὐδέν· ὁ δὲ Ἀθανάσιος λέγει· „ Τὸ ὄνομα Κυρίου, φοβερὸν μὲν κατὰ τῶν ὀργιζομένων λαῶν, καὶ μὴ προσδεχομένων αὐτοῦ τὴν βασιλείαν ἅγιον δὲ τοῖς πιςεύουσιν αὐτῷ.

(4) Λέγει δὲ ὁ θεῖος Κύριλλος· „ Αἱ τιμαὶ τῶν βασιλέων ἀγαπῶσιν ἔχειν τὸ δύνασθαι κρίνειν καὶ νομοθετεῖν· ἀκολουθεῖ γὰρ τοῦτο πάντως τῇ τοῦ βασιλέως τιμῇ· λαμπρὰ γὰρ ἡ τοῦ βασιλέως τιμή τε καὶ δόξα φιλοῦσα διε-

„ Σὺ ἡτοίμασας εὐθύτητας· κρίσιν
„ καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐ-
„ ποίησας.

Σὺ Κύριε, λέγει, ἔδωκας τὸν νόμον σου, εἰς τὸν ὁποῖον εὑρίσκονται αἱ εὐθύτητες καὶ δικαιοκρισίαι· τὸ αὐτὸ δὲ λέγει σαφέστερον εἰς τὰ ἀκόλουθα λόγια: ἤγουν, ὅτι σὺ Κύριε, ἔκαμες δικαιοσύνην καὶ κρίσιν εἰς τὸ γένος τοῦ Ἰακὼβ: ἤτοι εἰς τοὺς Ἰσραηλίτας, διὰ μέσου τοῦ δοθέντος νόμου σου. (1)

5: „ Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὑψηλά, λέγει, νοεῖτε ὦ Χριστιανοί, περὶ τοῦ Χριστοῦ· ὑψοῦτε τὸν Χριστὸν μὲ τοὺς ὕμνους καὶ δοξολογίας σας· ὑψοῦτε αὐτὸν μὲ τὴν φύλαξιν τῶν ἐντολῶν του· διατὶ ἀνίσως διὰ τοὺς παραβαίνοντας τὰς ἐντολὰς τοῦ Θεοῦ, βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ εἰς τὰ Ἔθνη, ὡς λέγει παραπονούμενος ὁ Θεὸς διὰ τοῦ Ἡσαΐου, φανερόν, ὅτι ἐκ τοῦ ἐναντίου, διὰ τοὺς φυλάττοντας τὰς ἐντολὰς τοῦ Θεοῦ, ὑψοῦται καὶ δοξάζεται ὁ Θεός. (2)

„ Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν
„ ποδῶν αὐτοῦ· ὅτι ἅγιός ἐστι.

Κατὰ μὲν τὴν Θεότητα ὑποπόδιον τῶν ποδῶν τοῦ Θεοῦ, εἶναι ἡ γῆ· „ Ὁ οὐρανός γάρ μοι φησὶ θρόνος, ἡ δὲ γῆ, ὑποπόδιον τῶν ποδῶν μου· (Ἡσ. ξς. 1.) κατὰ δὲ τὴν ἀνθρωπότητα, ὑποπόδιον τῶν ποδῶν αὐτοῦ λέγει τώρα τὸν ἅγιον Γολγοθᾶν, ἐν ᾧ ἐσταυρώθη ὁ Κύριος κατὰ τὸν Ἡσύχιον· ἢ καὶ τὸν σταυρόν, ἐπάνω εἰς τὸν ὁποῖον ἐστάθησαν οἱ πόδες τοῦ Κυρίου, τοῦ προσηλωθέντος εἰς τὸν σταυρόν· „ Προσκυνήσωμεν γάρ φησιν, εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· (Ψαλ. ρλα. 7.) ἅγιος δὲ εἶναι ὁ Χριστὸς διὰ τὴν ἁγιάζουσαν Θεότητα· μὲ τὸ νὰ ἦναι δὲ ἅγιος, διὰ τοῦτο ἡγίασε καὶ τὸ ῥηθὲν ὑποπόδιόν του· ἐπειδὴ δὲ ἅγιοι λέγονται καὶ οἱ δίκαιοι, διὰ τοῦτο δείχνει ὁ Δαβὶδ ἀκολούθως, πόσον μεγάλη εἶναι ἡ διαφορὰ τοῦ Χριστοῦ πρὸς τοὺς ἁγίους· (3)

6: „ Μωυ-

καιοσύνην· πρόσεστι δὲ τῷ Υἱῷ τὸ κρίνειν· τὴν κρίσιν γὰρ πᾶσαν δέδωκεν αὐτῷ ὁ Πατήρ· ὁ δὲ Ἡσύχιος λέγει· „ Τί τὸ ἔργον τῆς κρίσεως; ἀπολύειν τοὺς ἀθώους· φανεροῦν τοὺς ὑπευθύνους· διόπερ κρίσιν ἀγαπᾷ ἡ τοῦ βασιλέως τιμὴ (τουτέστιν ἡ ἀρχὴ ϗ ἐξουσία)· ὅθεν οἱ λοιποὶ τῶν ἑρμηνευτῶν ἀντὶ τῆς τιμῆς, οἱ μέν, ἰσχύν, οἱ δέ, κράτος ἐκδεδώκασι . . . ϗ ὁ Θεοδώρητος λέγει· „ Προσήκει ἡμᾶς δεδιέναι ὡς βασιλέα ϗ δικαιοσύνῃ χρώμενον· ἴδιον γὰρ τῆς ἀληθοῦς βασιλείας, τὸ δικαίως ἰθύνειν τοὺς ὑπηκόους: τιμὴ γὰρ βασιλέως κρίσιν ἀγαπᾷ: τουτέστι τίμιον ποιεῖ βασιλέα τὸ στέργειν τὸ δίκαιον.

(1) Ὁ δὲ Ἡσύχιος λέγει· „ Πῶς ἡτοίμασε; προαποστείλας τὸν νόμον, ἐν ᾧ τὰς ἐντολὰς εὐθύτητας ἔταξεν· ὀρθοτομεῖν γὰρ τοῦ βίου τὴν ὁδὸν ἔξεστι κατ' ἐκείνας ὁδεύοντα· ὁ νόμος τοίνυν ὁ δοθεὶς ἐν Ἰακὼβ, (λέγει δὲ τὸ γένος τοῦ Ἰσραήλ·) οὗτος ϗ τοῖς ἁμαρτάνουσι κρίσιν ἐπήγαγε, τὴν κατάκρισιν, ϗ τοῖς ἀγαθὰ ποιοῦσι τὴν δικαιοσύνην ὑπέδειξε, καθ' ἣν δεῖ πολιτεύεσθαι· ὁ δὲ Εὐσέβιος λέγει· „ Μηδεὶς νομιζέτω ἕτερον εἶναι τὸν ἐνταῦθα δοξολογούμενον Κύριον, τοῦ Θεοῦ τοῦ νομοθετήσαντος ἐν τῇ ἐρήμῳ· σὺ γάρ φησι Κύριε, οὗ τὴν βασιλείαν θεσπίζομεν, αὐτὸς ὢν τυγχάνεις, ὁ ϗ τῷ ἐκ περιτομῆς λαῷ κρίσιν ϗ δικαιοσύνην διαταξάμενος, κατὰ τὴν δοθεῖσαν αὐτοῖς νομοθεσίαν, δικαιώματα ϗ κρίματα περιέχουσαν· σὺ δὲ αὐτὸς ϗ εὐθύτητας ἡτοίμασας κατὰ τὸν τῆς ἀνταποδόσεως καιρόν, ἀποδοθησομένας τοῖς φυλάττουσι τὴν κρίσιν ϗ τὴν δικαιοσύνην· ὁ δὲ Θεοδώρητος· „ Ἔδειξας, λέγει, τῆς ἐπαγγελίας σου τὴν ἀλήθειαν, τὰς πρὸς τοὺς προγόνους τοῦ Ἰσραὴλ γεγενημένας ὑποσχέσεις πληρώσας, ϗ τὴν διὰ τοῦ σπέρματος Ἀβραὰμ δωρησάμενος σωτηρίαν.

(2) Ὁ δὲ Κύριλλος λέγει· „ Τουτέστιν ὕψιστον εἶναι πιστεύετε τὸν ἐνανθρωπήσαντα τοῦ Θεοῦ λόγον· μηδὲν ταπεινοφρονεῖτε περὶ αὐτοῦ, καθάπερ ἀμέλει οἱ τάλανες Ἰουδαῖοι.

(3) Ὁ δὲ Νύσσης λέγει· „ Ὑψοῦν μὲν χρὴ τῷ λόγῳ τὸν Κύριον, ὅση δύναμις . . . ὑψοῦν δὲ πρὸ τοῦ λόγου κατὰ διάνοιαν· οὐ γὰρ δυνατόν ἐστι συναναβῆναι τῇ διανοίᾳ τὸν λόγον· ἀλλ' ἐπειδὰν ἐπὶ τὸ ἀκρότατον φθάσητε τῆς δυ-

6: „ Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν „ αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπι- „ καλουμένοις τὸ ὄνομα αὐτοῦ· ἐπε- „ καλοῦντο τὸν Κύριον, καὶ αὐτὸς εἰ- „ σήκουεν αὐτῶν.

Ὁ Μωϋσῆς λέγει, καὶ ὁ Ἀαρὼν, καὶ οἱ Ἱερεῖς τοῦ παλαιοῦ νόμου καὶ ὁ Σαμουὴλ καὶ οἱ λοιποὶ, ὁποῦ ἐπικαλοῦντο τὸν Κύριον καὶ εἰσηκούοντο, ὅλοι αὐτοὶ, λέγει, ἦτον δοῦλοι καὶ ὑπηρέται τοῦ Χριστοῦ· ἀναφέρει δὲ τὸν Μωϋσῆν ἐδῶ, καθὸ νομοθέτην· τὸν Ἀαρὼν, καθὸ ἀρχιερέα καὶ πρῶτον ἀνάμεσα εἰς τοὺς Ἱερεῖς. τὸν Σαμουὴλ, καθὸ ἔξαρχον ἀνάμεσα εἰς τοὺς Προφήτας· ἢ Μωϋσῆν μὲν καὶ Ἀαρὼν καὶ Σαμουὴλ, ὠνόμασεν ὅλους ἁπλῶς ἐκείνους, ὁποῦ μιμοῦνται τὰς ἀρετὰς αὐτῶν κατὰ τὸν Δίδυμον· διατὶ καὶ εἰς τὸν Ἰεζεκιὴλ ὁ Θεὸς εἶπε· „ Ῥομφαίαν ἐὰν ἐπάξω ἐπὶ τὴν γῆν ἐκείνην καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτοῖς· (Νῶε καὶ Δανιὴλ καὶ Ἰώβ.) Ζῶ ἐγὼ, λέγει Κύριος, οὐ μὴ ῥύσονται υἱοὺς οὐδὲ θυγατέρας, ἀλλ' ἢ αὐτοὶ μόνοι σωθήσονται. (Ἰεζ. ιδ. 17.) δὲν ὀνομάζει δὲ ὁ Θεὸς ἐδῶ τὸν παλαιὸν ἐκεῖνον Νῶε καὶ Ἰὼβ· πῶς γὰρ ἤθελεν ὀνομάσῃ αὐτοὺς, ὁποῦ ἦτον πρὸ πολλῶν χρόνων ἀποθανόντες; ἀλλὰ ὀνομάζει Νῶε καὶ Ἰὼβ ἐκείνους, ὁποῦ ἐμιμοῦντο διὰ τῶν ἔργων τὴν πολιτείαν αὐτῶν. (1)

7: „ Ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐ- „ τούς.

Ὁ Θεὸς, λέγει, ἐλάλει μὲ τὸν Μωϋσῆν καὶ τὸν

ἀνθρωπίνης δυνάμεως, εἰς ὅσον ὁ ἀνθρώπινος νοῦς ἐξικνεῖται ὕψος ϗ μέγεθος νοημάτων, τότε νομίζετε κάτω εἶναι τῆς ἐπιβαλούσης ἀξίας· μετὰ γὰρ τὸ ὑψῶσαι, μόλις προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ· τὸ δὲ αἴτιον τοῦ ἀκαταλήπτου τῆς ἀξίας, οὐδὲν ἄλλό φησιν ἡ ψαλμῳδία, ἢ ὅτι ἅγιός ἐστι διὰ τὴν ἁγιάζουσαν Θεότητα. εἰ οὖν πᾶν ὕψωμα δυνάμεως ἀνθρωπίνης κάτω τῆς μεγαλοπρεπείας τοῦ προσκυνουμένου ἐστί· τοῦτο γὰρ ὁ λόγος διὰ τοῦ ὑποποδίου τῶν ποδῶν ὑπαινίττεται· τίς ἡ ματαιότης τῶν οἰομένων ἔχειν τινὰ δύναμιν ἐν ἑαυτοῖς τοσαύτην, ὥστε ἐπ' αὐτοῖς εἶναι τὸ κατ' ἀξίαν τῆς τιμῆς ὁρίζειν τῇ ἀτιμήτῳ φύσει; Καὶ πάλιν λέγει· „ Ταῦτά φησιν ἡ ψαλμῳδία· ὦ ἄνθρωποι, μεμήνυται μὲν ὑμῖν, ὡς δυνατὸν δέξασθαι τὴν ἀνθρωπίνην ἀκοὴν τὰ θεῖα Μυστήρια· ὑμεῖς δὲ διὰ τούτων ὁδηγηθέντες πρὸς τὴν εὐσεβῆ θεογνωσίαν, ὅσον χωρεῖ ὑμῖν ὁ λογισμὸς, τοσοῦτον ϗ τὴν δόξαν τοῦ Θεοῦ ὑψώσατε· εἰδότες, ὅτι ὅσον ἂν ὑπερταθῇ ὑμῶν ἡ διάνοια, ϗ πᾶσαν παρέλθῃ ὑψηλὴν φαντασίαν ἐν ταῖς περὶ Θεοῦ ὑπολήψεσι, τότε τὸ παρ' ὑμῶν εὑρισκόμενόν τε ϗ προσκυνούμενον, οὐχ αὐτὴ ἡ μεγαλειότης τοῦ ζητουμένου ἐστὶν, ἀλλὰ τὸ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, τὸ ὑποβεβηκὸς διὰ τούτου ϗ κάτω κείμενον τῆς διανοίας ἡμῶν, συγκρίσει τῆς ἀνεφίκτου καταλήψεως διερμηνεύων· ὁ δὲ Κύριλλός φησιν· „ Ἆρ' οὖν ϗ πόδας τοιούτους ἔχει Θεὸς ἐπικειμένους τῷ ὑποποδίῳ; μὴ τοῦτο ὑπολάβῃς· σκευάζεται μὲν γὰρ ὁ ἐπ' αὐτῷ λόγος, ὡς ἐκ τῶν καθ' ἡμᾶς ϗ ἀνθρωπίνων πραγμάτων· νοεῖται δὲ τὰ ἐπ' αὐτῷ θεοπρεπῶς· ἐπειδὴ τοίνυν ἔθος ἐστὶ τοῖς προσκυνοῦσι τοὺς ἐπὶ γῆς βασιλέας φιλεῖν τοὺς πόδας αὐτῶν· ἐκ τῆς παρὰ ἀνθρώποις συνηθείας, ἐπὶ Θεοῦ ἀναφέρει τὸν λόγον ὁ ψαλμῳδός· ὁ δὲ Ἡσύχιος· „ Τίνος χάριν φησιν, οὐ τῷ θρόνῳ τοῦ Θεοῦ προσκυνεῖν μᾶλλον, ἀλλὰ τῷ ὑποποδίῳ παρακελεύεται; ποίῳ δὲ ὅλως ὑποποδίῳ; ἆρα τῇ γῇ; ὁ γὰρ οὐρανός μοι φησὶ θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ϗ μὴν προσκυνεῖν ἡμῖν στοιχείοις οὐκ ἔξεστιν· ἀλλὰ τοῦτον λέγει τὸν τόπον, ὃν δι' ἑτέρου Ψαλμοῦ ἐξέθετο τηλαυγέστερον· προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· λέγει δὲ τὸν Γολγοθᾶν· ἐκεῖνος γὰρ ὄντως ὑπὸ τοὺς πόδας αὐτοῦ τῆς σαρκὸς, κατὰ τὸν καιρὸν τοῦ Σταυροῦ γεγένηται· ἄλλοι δὲ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ νοοῦσι τὸν Σταυρὸν, ὅς τις ϗ ὑποπόδιον εἶχεν· ἐν ᾧ ἐρεισθέντες οἱ πόδες τοῦ Κυρίου ἐκαρφώθησαν δυνατώτερα, ὡς λέγει ὁ Πατέσιος Γάζης ἐν ταῖς πρὸς τὸν βασιλέα Μοσχοβίας Ἀλέξιον Μιχαλοβίτζην χειρογράφοις ἐρωταποκρίσεσι, φέρων εἰς τοῦτο μάρτυρας τῶν ἁγίων τινας· τὸν Εἰρηναῖον δηλαδὴ, ϗ τὸν Ἰουστῖνον· ὁ δὲ Θεοδώριτος ὑποπόδιον τῶν ποδῶν αὐτοῦ φησι, πάλαι μὲν ὁ ἐν Ἱεροσολύμοις νεὼς νενόμιστο, νῦν δὲ αἱ κατὰ πᾶσαν τὴν γῆν ϗ θάλασσαν Ἐκκλησίαι, ἐν αἷς τῷ παναγίῳ Θεῷ προσφέρομεν τὴν προσκύνησιν.

(1) Λέγει δὲ ὁ Ἀθανάσιος· „ Οὗτός φησιν, ὁ νῦν κάτω πεφηνὼς ἄνθρωπος, βασιλεὺς τῶν ἐπὶ γῆς ἐστιν. ὃν ϗ πάλαι Μωϋσῆς ϗ Ἀαρὼν ϗ Σαμουὴλ ἐπεκαλοῦντο· ὁ δὲ Εὐσέβιος· „ Οὐκ ἄλλως τῆς τοσαύτης ἀξίας ἔτυχον οἱ δηλωθέντες Προφῆται, εἰ μὴ ὅτι ἐφύλαττον τὰ μαρτύρια αὐτοῦ, ϗ τὰ προστάγματα, ἃ ἔδωκεν αὐτοῖς· οὕτως οὖν ϗ

τὸν Ἀαρών· καὶ μ' ὅλον ὁποῦ μὲ τὸν Μωϋσῆν μόνον ἐλάλει ὁ Θεός· ἀλλὰ τρόπος εἶναι ἐδῶ ὀνομαζόμενος Συλληπτικός· διατὶ συμπεριλαμβάνει κοντὰ εἰς ἕνα πρόσωπον, καὶ ἄλλο· τούτου τοῦ τρόπου εἶναι παράδειγμα καὶ ὁ Ἀπόστολος Παῦλος· ὅστις ἀφ' οὗ ἠρίθμησεν ὅλους ἐκείνους, ὁποῦ εὐηρέστησαν εἰς τὸν Θεὸν διὰ πίστεως, ἀκολούθως λέγει συμπεριλαμβάνωντας ὅλους· „ Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, καὶ τὰ ἑξῆς· (Ἑβρ. ια. 33.) ὅλα γὰρ αὐτὰ τὰ κατορθώματα δὲν ἐκατώρθωσαν ὅλοι, ὁποῦ ἀνέφερεν ἀνωτέρω, ἀλλὰ μερικὰ καὶ μερικοὶ μόνον· θέλει λοιπὸν ἐδῶ ὁ Δαβὶδ νὰ φανερώσῃ, ὅτι ὁ Θεὸς ἐλάλει πρὸς τὸν Μωϋσῆν καὶ Ἀαρὼν μὲ στύλον νεφέλης. (1)

„ Ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ „ καὶ τὰ προστάγματα αὐτοῦ, ἃ ἔδωκεν αὐτοῖς.

Τοῦ μὲν Χριστοῦ, λέγει, ἦτον τὰ μαρτύρια καὶ τὰ προστάγματα τοῦ νόμου, καὶ αὐτὸς ἔδωκε ταῦτα εἰς τὸν Μωϋσῆν καὶ Ἀαρών, καὶ ἐκεῖνοι δὲ ὡς δοῦλοι ἐφύλαττον αὐτά. (2)

8: „ Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐ„ τῶν· ὁ Θεὸς σὺ εὐίλατος ἐγίνου αὐ„ τοῖς.

Σὺ Κύριε, λέγει, ὑπήκουες τοῦ Μωσέως καὶ Ἀαρὼν καὶ Σαμουήλ· καὶ σὺ ἐγίνου ἵλεως εἰς αὐτούς, οἵτινες σὲ ἐπαρακάλουν διὰ τὸν παροργίζοντα λαὸν τῶν Ἰουδαίων· ἢ καὶ ἐγίνου ἵλεως, ὅταν αὐτοὶ ἔσφαλον· καὶ ὁ Μωϋσῆς γὰρ παρώξυνε τὸν Θεὸν εἰς τὸ ὕδωρ τῆς ἀντιλογίας· καὶ ὁ Ἀαρών, διὰ τὴν Μοσχοποιΐαν τῶν Ἑβραίων.

„ Καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύ„ ματα αὐτῶν.

Σύ, λέγει, Κύριε, ἔκαμνες ἐκδίκησιν: ἤγουν ἐβοήθεις εἰς ὅλα τὰ ἐπιτηδεύματα καὶ κατορθώματα τοῦ Μωϋσέως τοῦ Ἀαρὼν καὶ τοῦ Σαμουήλ, τὰ ὑπὲρ τοῦ λαοῦ γινόμενα· ἢ ἐτιμώρεις ὅλα ἐκεῖνα τὰ δεινὰ σκαιωρήματα, ὁποῦ ἐζήτουν οἱ Ἑβραῖοι νὰ κάμουν κατ' αὐτῶν. (3)

9: „ Ὑ-

ϗ ἡμῖν διὰ τῆς καινῆς Διαθήκης ὁ αὐτὸς προστάγματα ϗ ἐντολὰς ϗ μαρτύρια δέδωκεν· ἅπερ εἰ φυλάττοιμεν, τῶν ἴσων ϗ αὐτοὶ καταξιωθησόμεθα· ϗ ὁ Δίδυμος δὲ λέγει· „ Τοὺς τὰς αὐτὰς ἀρετὰς ἔχοντας ὁμωνύμως αὐτοῖς ὠνόμασεν· εἰδὲ τοῦτο οὕτως ἔχει, δῆλον ὅτι ϗ οἱ πιστοὶ θεράποντες γινόμενοι, πάντες κατὰ Μωσέα τυγχάνουσι· ϗ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὁ δὲ Θεοδώριτός φησιν· „ Οὐχ ἁπλῶς τοὺς ἄλλους Προφήτας καταλιπὼν, τούτων ἐμνημόνευσε μόνον, ἀλλὰ τὴν σύντροφον Ἰουδαίων λύτταν ϗ τυραννίδα διδάσκων· ϗ γὰρ ἐπὶ Μωσῆ ϗ Ἀαρὼν ἁρπάσαι τὴν ἱερωσύνην ἐπειράθησαν· ϗ ἐπὶ Σαμουὴλ τὴν θείαν ἀτιμάσαντες βασιλείαν τὴν ἀνθρωπείαν ἠγάπησαν· διδάσκει τοίνυν ὁ λόγος, ὅτι καινὸν οὐδὲν δρῶσι κατὰ τοῦ Σωτῆρος λυττῶντες, ϗ τὴν σωτήριον οὐ δεχόμενοι βασιλείαν· ἄνωθεν γὰρ αὐτοῖς ἡ μανία συνήθης.

(1) Ὁ δὲ Δίδυμος λέγει· „ Ἐπεὶ ὁ τοῦ Θεοῦ λόγος βέβαιος ϗ ἀληθινός ἐστι, στύλος εἰκότως καλεῖται, ὡς τὴν καταδεξαμένην αὐτὸν Ἐκκλησίαν στύλον ϗ ἑδραίωμα τῆς ἀληθείας εἶναι· ἐπεὶ δὲ ϗ πότιμος ϗ καρπῶν αἴτιός ἐστιν, ὑετοῦ δίκην εἰς τὰς διανοίας τῶν ἀνθρώπων ἐρχόμενος, στύλος νεφέλης ἐστι· τάχα δὲ ϗ προεθεσπίζετο διὰ τούτου ἡ τοῦ Σωτῆρος εἰς δεῦρο κάθοδος, καθ' ἣν ἐπιβὰς κούφης νεφέλης εἰς Αἴγυπτον ἧκε τὸν περὶ γῆν τόπον.

(2) Ὁ δὲ Κύριλλός φησιν· „ Οὐκοῦν τετίμηκεν αὐτοὺς ὁ Θεὸς ὡς τιμήσαντας· ἠγάπησεν ὡς γνησίους οἰκέτας, ϗ ὡς τῶν αὐτοῦ θεσπισμάτων γεγονότας φύλακας· οὔκουν ἄμισθος ἡ ὑπακοή· μᾶλλον δὲ, τῆς ἀνωτάτω τιμῆς πρόξενος, διὰ τὸ εὐπειθὲς ϗ εὐάγωγον· ϗ ὁ Δίδυμος· „ Τελείου ἀνδρὸς ϗ ἔχοντος πάσας τὰς ἀρετὰς, τὸ πάντα τὰ μαρτύρια ϗ τὰ προστάγματα τοῦ Θεοῦ φυλάττειν.

(3) Ὁ δὲ Θεοδώριτος λέγει· ὁ Σύμμαχος ἐξέδωκε· „ Καὶ ἔκδικος ἐπὶ ταῖς ἐπηρείαις αὐτῶν· τοὺς γὰρ κατὰ τοῦ μεγάλου Μωσῆ τυραννήσαντας πυρὶ παραδέδωκε ϗ τοὺς τὴν φλόγα διαφυγόντας, ζῶντας τῷ τάφῳ παρέπεμψε χάναι κελεύσας τὴν γῆν, ϗ τάφον αὐτοῖς αὐτοσχέδιον τῆς τυραννίδος τὸ χωρίον ἀπέφηνε· ϗ τοὺς διὰ θαλάσσης ὁδεύσαντας, πεποίηκεν ὑποβρυχίους τῇ γῇ, παραδόξοις χρησάμενος κύμασι· τοὺς δὲ κατὰ τοῦ Σαμουὴλ στασιάσαντας, τῇ τοῦ Σαοὺλ δυναστείᾳ παρέδωκε, ϗ παντοδαπαῖς περιέβαλε συμφοραῖς.

9: „ Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ „ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, „ ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Πάλιν καὶ ἐδῶ λέγει νὰ ὑψόνουν οἱ Χριστιανοὶ διὰ λόγων καὶ ἔργων τὸν Χριστόν· Ὄρος δὲ ἅγιον τοῦ Χριστοῦ, κοντὰ μὲν εἰς τοὺς Ἰουδαίους, ἦτον ἡ ἐπίγειος Ἱερουσαλήμ· κοντὰ δὲ εἰς ἡμᾶς τοὺς Χριστιανοὺς εἶναι ἡ ἐπουράνιος Ἱερουσαλήμ, περὶ τῆς ὁποίας εἶπεν ὁ Παῦλος· „ Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ (Ἑβρ. ιβ΄. 22:) ἢ ὄρος ἅγιον εἶναι ἡ Ἐκκλησία διὰ τὸ ὕψος τῶν δογμάτων καὶ τῆς πολιτείας αὐτῆς· προσκυνεῖτε λοιπὸν, λέγει, τὸν Χριστὸν ἐν τῇ Ἐκκλησίᾳ· ἢ καὶ ὁ Δαβὶδ λέγει ταῦτα τὰ λόγια, συναριθμῶν τὸν ἑαυτόν του μὲ ἡμᾶς τοὺς Χριστιανούς· ἢ προσάζει ταῦτα ἐκ προσώπου τοῦ πληρώματος τῶν Χριστιανῶν. (1)

ΨΑΛΜΟΣ ϟΘ.

„ Ψαλμὸς τῷ Δαβὶδ εἰς ἐξομολόγησιν·

Καὶ ταύτην τὴν ἐπιγραφὴν ἔγραψαν οἱ Ἑβδομήκοντα εἰς τὸν Ψαλμὸν τοῦτον, γνωρίσαντες ἀπὸ τὰ περιεχόμενα εἰς αὐτὸν ῥητὰ, ὅτι ὁ Ψαλμὸς οὗτος ἀφιεροῦται εἰς τὸν ἐκ σπέρματος Δαβὶδ Χριστὸν, ὅστις εἶναι ἱκανὸς χειρί· καὶ ὅτι προσάζει οὗτος τοὺς Χριστιανοὺς νὰ δουλεύουν εἰς τὸν Χριστὸν καὶ νὰ τὸν εὐχαριστοῦν· εὐχαριστίαν γὰρ, ἢ καὶ ἐξαγόρευσιν τῶν ἁμαρτημάτων, δηλοῖ ἐδῶ ἡ ἐξομολόγησις. (2.)

1: „ Ἀ-

(1) Ὁ δὲ Νύσσης λέγει· „ Ὅσον χωρεῖ ὑμῶν ὁ λογισμὸς, τοσοῦτον τοῦ Θεοῦ τὴν δόξαν ὑψώσατε, καὶ τὰ ἑξῆς ἅπερ εὑρέθησαν· ἀλλ' ἄνω μὲν τῷ ὑποποδίῳ ἔλεγε προσκυνεῖτε· νῦν δὲ εἰς ὄρος ἅγιόν φησι, δι' οὗ τὸ ὕψος αἰνίττεται τῆς Θεότητος· ἢ ὄρος ἅγιον τὸ ὕψος τῆς θεογνωσίας λέγει, κατὰ τὸν Θεοδώριτον λέγοντα· „ Ὄρος ἅγιον, πάλαι μὲν τὸ Σιὼν ἐκαλεῖτο, νῦν δὲ τῆς θεογνωσίας τὸ ὕψος· οὕτω γὰρ καὶ Ἡσαΐας καὶ Μιχαίας ἐθέσπισαν· „ Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου: τουτέστιν ἡ τοῦ Θεοῦ γνῶσις δήλη πᾶσι γενήσεται· καὶ ὁ Εὐσέβιος· „ Ὑψοῦτε αὐτόν φησι, καὶ ὑψηλὰ περὶ αὐτοῦ δοξάζετε· καὶ γὰρ Κύριός ἐστιν, ὡς δούλων δεσπότης· ἀλλὰ καὶ Θεὸς ἡμῶν αὐτὸς τυγχάνει, ἅτε ποιητὴς ἡμῶν καὶ πλάστης γεγενημένος· ὁ δὲ Ἡσύχιός φησι· „ Καὶ τί χρήζει ὑψωθῆναι ὁ ὑψηλός; πῶς δὲ παρὰ ἀνθρώπων ὁ ἐν οὐρανοῖς ὑψωθήσεται; ἀλλ' ὑψηλά φησι, περὶ αὐτοῦ διανοηθῆτε· ὕψος ἄρα τοῦ Θεοῦ λόγου ἡ ἐν τῷ ὄρει τῷ ἁγίῳ (τῷ τοῦ Γολγοθᾶ δηλαδὴ) προσκύνησις· ὥσπερ γὰρ δόξα βασιλεῖ τὰ ἐν πολέμῳ τρόπαια· οὕτω καὶ τῷ Χριστῷ ἡ διὰ τῶν παθημάτων κατόρθωσις, ἥτις ἐν τῷ ὄρει τῷ ἁγίῳ τῷ τὸν Σταυρὸν δεξαμένῳ γεγένηται· ἅγιον δὲ τὸ ὄρος οὐκ ἀφ' ἑαυτοῦ καλεῖ· ἀλλ' ἀπὸ τῆς τοῦ σταυρωθέντος ἐπιφοιτήσεως· ὁ δὲ Ἀπολλινάριος λέγει. „ Οὐ μόνον τὸ ἐξουσιαστικὸν τοῦ Θεοῦ προσκυνεῖν, ἀλλὰ καὶ τὸ ἁγιαστικὸν οἰκειοτέρως ἤδη παρακελεύεται· σύμβολον ἐν τούτῳ διδοὺς, τὴν ἐν τῷ ἡγιασμένῳ ὄρει προσκύνησιν. (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(2) Ὁ δὲ Νύσσης λέγει· „ Εἰ μέν τις ἁμαρτίας ὑποσμύχει σε μνήμη, συμβουλεύει τὸ διὰ τῆς μετανοίας ἡ ψαλμῳδία καθάρσιον· εἰ δέ σοι πρὸς τὸ κρεῖττον εὐοδοῦται ὁ βίος, βεβαίωσιν ποιεῖ διὰ τῆς πρὸς τὸ θεῖον εὐχαριστίας σου εἰς τὰ ἄνω προαίρεσιν.

1 : „ Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ.
2 : „ Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφρο-
„ σύνῃ.

Ψάλατε, λέγει, ὦ Χριστιανοὶ εἰς τὸν Χριστὸν, ἐπινίκιον καὶ ἀλαλακτικὸν ὕμνον, διὰ τὴν νίκην ὁποῦ ἔκαμε κατὰ τῶν ἀοράτων ἐχθρῶν Δαιμόνων. δουλεύσατε εἰς τὸν Χριστὸν, ὅς τις σᾶς ἐλευθέρωσεν ἀπὸ τὴν δουλείαν, καὶ σκλαβίαν τῶν Δαιμόνων· μὲ εὐφροσύνην δὲ καὶ χαρὰν δουλεύσατε εἰς τὸν Χριστὸν, διατὶ ἐλυτρώθητε παρ' αὐτοῦ ἀπὸ τὴν τυραννίαν, καὶ ὅτι ἀξιωθήκετε νὰ ἔχετε τοιοῦτον αὐθέντην, κατὰ τὸν Θεοδώριτον. (1.)

„ Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλ-
„ λιάσει,
3 : „ Γνῶτε ὅτι Κύριος, αὐτός ἐστιν ὁ
„ Θεὸς ἡμῶν.

Γνησίως λέγει, λατρεύσατε τὸν Χριστὸν χαίροντες· καὶ γνωρίσατε, τόσον ἀπὸ τοὺς Προφήτας, ὁποῦ ἐπροφήτευσαν περὶ αὐτοῦ, ὅσον καὶ ἀπὸ τὰ θαυμάσια ἔργα του, ὅτι ὁ Κύριος Ἰησοῦς, αὐτὸς εἶναι ὁ Θεὸς ἡμῶν. (2)

„ Αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡ-
„ μεῖς.

Ἀνίσως, λέγει, καὶ φαίνωνται οἱ γονεῖς, πῶς κάμνουν ἤτοι γεννοῦν τὰ τέκνα των, ὅμως ὁ Θεὸς εἶναι ὁποῦ ταῦτα ποιεῖ· αὐτὸς μὲν ὡς αἴτιος, οἱ δὲ γονεῖς, ὡς συναίτιοι· καθὸ αὐτοὶ δηλονότι ὑπηρετοῦσι εἰς τὴν ἐξ ἀρχῆς προσταγὴν τοῦ Θεοῦ· διὰ τοῦτο πολλοὶ γονεῖς, πολλάκις θέλοντες νὰ κάμουν τέκνα, δὲν δύνανται. Ὅθεν καὶ πρὸς τὴν Ῥαχὴλ τὴν λέγουσαν πρὸς τὸν Ἰακὼβ „ δός μοι τέκνα, εἰ δὲ μὴ τελευτήσω ἐγώ· δογματικῶς ἀπεκρίθη, καθὸ σοφὸς, ὁ Πατριάρχης Ἰακὼβ „ μὴ ἀντὶ Θεοῦ εἰμι ἐγὼ, ὅς ἐστέρησέ σε καρπὸν κοιλίας; (Γέν. λ: 1:) ὡς ὁ Εὐσέβιος ὀρθότατα ἐξηγεῖ. (3)

„ Ἡ-

(1) Λέγει δὲ ὁ Κύριλλος· „ Τουτέστι μὴ συννοὶ, μὴ κατηφεῖς, μηδὲ ὀκνηροὶ πρὸς ἀγαθουργίαν· πρόθυμοι δὲ μᾶλλον καὶ ἱλαροὶ, καὶ τῇ τοῖς ἁγίοις εὐτρεπισμένῃ ἐλπίδι χαίροντες· ἡ μὲν γὰρ τῶν ἀνθρώπων δουλεία, κατὰ τὸν Ἀθανάσιον, φόβον φθοροποιὸν ἐμποιεῖ· ἡ δὲ τοῦ Κυρίου, φόβον ἁγνὸν, ἐξ οὗ γίνεται τῇ ψυχῇ εὐφροσύνη· ὅμοιον γάρ ἐστι τὸ δουλεύειν αὐτῷ κατὰ τὸν Εὐσέβιον, τῷ δουλεύειν φωτὶ, ζωῇ, ἀληθείᾳ, δικαιοσύνῃ, ἁγιασμῷ· πάντα γὰρ ταῦτά ἐστιν ὁ Κύριος· μὴ οὖν σκυθρωπὴν ἡγεῖσθε τὴν δουλείαν αὐτοῦ, μηδὲ λυπηρὰν καὶ ἐπίπονον· μεστὴ γὰρ ἀγαλλιάσεως καὶ εὐφροσύνης· καὶ ὁ Θεοδώριτος· „ Οὐ γάρ ἐστι, φησι, κατὰ τὴν πικρὰν τοῦ Διαβόλου τυραννίδα τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ἡ βασιλεία· ἀλλ' ἥμερος αὐτοῦ καὶ φιλάνθρωπος ἡ δεσποτεία· γεγηθότες τοίνυν τῇ δουλείᾳ προσέλθετε· „ Εἰ δέ τις μὴ δουλεύοι αὐτῷ ἐν εὐφροσύνῃ, (λέγει ὁ Εὐσέβιος) μὴ τολμάτω παριέναι ἐνώπιον αὐτοῦ ἀνίπτοις ποσὶ παραβάλλων εἰς τὴν Ἐκκλησίαν αὐτοῦ.

(2) Ὁ δὲ Δίδυμος λέγει· „ Ἀντίκειται δὲ τῷ ἐξελθεῖν ἀπὸ προσώπου Κυρίου τὸ εἰσελθεῖν ἐνώπιον αὐτοῦ· ὥσπερ τοίνυν ἐξελθὼν Κάϊν ἀπὸ προσώπου Κυρίου, οὐ τόπον καταλείψας, ἐν ᾧ τὸ πρόσωπον τοῦ Θεοῦ, ἐν ἄλλῳ τόπῳ γεγένηται· ἀλλ' ἔρημος τῶν περὶ Θεοῦ ὀρθῶν ἐννοιῶν γεγενημένος, ἔξω τοῦ προσώπου αὐτοῦ ἐχώρησεν, ἀπρονοησίαν καὶ ἀθεΐαν ἀσπασάμενος, ὡς μηκέτι φαντασίαν, ἢ ἔννοιαν ἔχειν ἐπιφανείας Θεοῦ· οὕτω τὸ εἰσιέναι ἐνώπιον Κυρίου, τὸ διὰ νοήσεως ἡγεῖσθαι αὐτὸν παρόντα σημαίνει· κατὰ τό· „ Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον, εἰρημένον ὑπὸ τοῦ Προφήτου Ἠλιού.

(3) Διὰ τοῦτο λέγει ὁ αὐτὸς Εὐσέβιος· „ Ὅτι καὶ ὁ Ἰὼβ καὶ Δαβὶδ, καὶ μ' ὅλον ὁποῦ ἦτον γεγεννημένοι ἐκ πατρὸς καὶ μητρὸς, λέγουσιν ὅμως καὶ οἱ δύο· „ Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· καὶ πρὸς Ἱερεμίαν ὁ Θεὸς λέγει· „ Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε· ἔφη δὲ καὶ ὁ Κύριλλος· „ Ὁ τὴν κατὰ πάντων ἔχων κυριότητα φυσικὴν, αὐτὸς οὗτός ἐστιν ὁ Θεός· οὐδὲν γὰρ, ὡς ἔφην, ἐν τοῖς ποιήμασι φυσικὴν ἔχει κυριότητα· πάντα δὲ δοῦλα τοῦ κτίσαντος· οὐ γὰρ ἡμεῖς ἑαυτοὺς πεποιήκαμεν· οὐδὲ αὐτομάτως ἀνέθαλεν ἐπὶ γῆς τὸ λογικὸν ζῶον, πέπλασται δὲ μᾶλλον παρὰ Θεοῦ.

„ Ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα
„ νομῆς αὐτοῦ.

Εἴρηται τοῦτο καὶ εἰς τὸν ϟδ: Ψαλμὸν, καὶ ἀγκαλὰ ἐκεῖ λαὸς νομῆς γράφεται, καὶ πρόβατα χειρὸς, δὲν εἶναι ὅμως ἀπὸ τοῦτο καμμία διαφορὰ ἀξιόλογος ἀνάμεσα εἰς αὐτά. (1)

4: „ Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐ-
„ ξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ
„ ἐν ὕμνοις.

Καθὼς πρέπει νὰ ἐμβαίνῃ τινας, πρῶτον εἰς τὰς ἔξω πύλας τοῦ οἴκου, καὶ ἔπειτα εἰς τὰς αὐλάς του· ἔτζι κατὰ τὸν Εὐσέβιον πρέπει, πρῶτον νὰ ἐξομολογῆται τινας τὰ ἁμαρτήματά του, καὶ ἔπειτα νὰ ὑμνῇ τὸν Θεόν· ἵνα μὲ τὴν ἐξομολόγησιν καθαρθῇ ἡ γλῶσσα, καὶ οὕτω νὰ προσφέρῃ καθαρὸν τὸν ὕμνον εἰς τὸν Θεόν· πύλαι δὲ καὶ αὐλαὶ τοῦ Χριστοῦ, εἶναι ὅλαι αἱ Ἐκκλησίαι αἱ εὑρισκόμεναι εἰς τὰ διάφορα μέρη τῆς γῆς κατὰ τὸν Θεοδώριτον, καθὸ αὐταὶ εἶναι οἶκος αὐτοῦ· εἴρηται δὲ διὰ τὰς αὐλὰς, καὶ εἰς τὸν πγ: Ψαλμὸν. „ Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· (2)

„ Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ
„ ὄνομα αὐτοῦ.

Πάλιν λέγει καὶ ἐδῶ ὁ Δαβὶδ τὰ ἴδια σχεδὸν, ὁποῦ εἶπεν ἀνωτέρω, αὐξάνων καὶ παρακινῶν τοὺς Χριστιανοὺς περισσότερον εἰς τὴν τοῦ Χριστοῦ δοξολογίαν· ἡ ἐξομολόγησιν ἐδῶ ἐννοεῖ τὴν εὐχαριστίαν. εὐχαριστεῖτε λέγει, τὸν Χριστὸν ὦ Χριστιανοὶ, ἐπειδὴ καὶ τόσον εὐεργετήθητε ἀπὸ αὐτόν. καὶ εὐφημεῖτε τὸ ὄνομα τοῦ λυτρωτοῦ ἡμῶν καὶ Δεσπότου.

5: „ Ὅτι χρηστὸς Κύριος· εἰς τὸν αἰῶνα
„ τὸ ἔλεος αὐτοῦ· καὶ ἕως γενεᾶς καὶ
„ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Αἰνεῖτε, λέγει, τὸ ὄνομα τοῦ Χριστοῦ· διὰ τὶ αὐτὸς εἶναι χρηστὸς, καθὸ συμπαθής. αἰώνιον δὲ εἶναι τὸ ἔλεος αὐτοῦ, καὶ ὄχι προσωρινὸν, καθὼς εἶναι τὸ ἔλεος τῶν ἀνθρώπων· ἀλλὰ καὶ ἡ ἀλήθεια τῶν λόγων τοῦ Χριστοῦ εἶναι παντοτινή· ἡ ὁποία ὄχι μόνον διέμεινεν εἰς τὴν γενεὰν τοῦ παλαιοῦ λαοῦ τῶν Ἰουδαίων, ἀλλὰ καὶ εἰς τὴν γενεὰν τοῦ νέου λαοῦ τῶν Χριστιανῶν. (3)

ΨΑΛ-

---

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Οὐ μόνον γὰρ Δεσπότης ἡμῶν ἐστὶν, ἀλλὰ καὶ ποιμὴν, τὴν ἀγαθὴν ἡμῖν προσφέρων νομήν· ἡμεῖς δὲ λαὸς αὐτοῦ ὡς βασιλέως· πρόβατα δὲ, ὡς ποιμένος. κατὰ δὲ τὸν Εὐσέβιον· „ Λαὸς εἶναι οἱ κρείττους καὶ λογικώτεροι· πρόβατα, οἱ τὴν ἀλογωτέραν τάξιν ἐπέχοντες, καὶ μὴ ἐν πείρᾳ τῶν θείων ὄντες λογίων· ὁ δὲ Ἡσύχιός φησι· „ Πῶς ἐσμὲν πρόβατα; μάνθανε ὅτι τοῦ Μονογενοῦς, λέγοντος· „ Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει. αὐτοῦ καὶ λαός ἐσμεν, ὅς τις ἡμῖν διὰ τῆς γλώσσης τῆς προφητικῆς ἔλεγε· „ Καὶ ἔσεσθέ μοι εἰς λαὸν, κἀγὼ ἔσομαι ὑμῖν εἰς Θεόν· (Ἱερεμ. ια΄: 4.) εὐχαῶν ὁ Κύριος, αὐτός ἐστιν ὁ Θεός· ἑκάτερον γὰρ ὁ Υἱὸς, καθάπερ ὁ Πατὴρ, ὀνομάζεται. καὶ ὁ Ἀθανάσιος· „ Πάντων οὖν Θεὸς ὢν καὶ ποιητὴς πάντας καλεῖ καὶ ἐξοικειοῦται· ἀνθρώπους γὰρ καὶ κτήνη σώζει ὁ Θεὸς, τοὺς μὲν, ὡς λαὸν αὐτοῦ, τοὺς δὲ, ὡς πρόβατα νομῆς αὐτοῦ.

(2) Ἔφη δὲ καὶ ὁ Δίδυμος· „ Πύλαι τοῦ Κυρίου αἱ κατ᾽ εἶδος ἀρεταί· περὶ ὧν καὶ ἐν ἄλλοις εἴρηται· „ Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· ἵνα ὑπερβάντες τὰς πύλας αὐτοῦ, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ: ἤτοι ἐν ταῖς κατὰ θεολογίαν ὕμνοις εἰσεληλυθότες, εὐχαρίστως ἐξομολογήσωνται τῷ Θεῷ.

(3) Ὁ δὲ Εὐσέβιος ἔφη· „ Ὡς ἰατρῷ ἐξομολογεῖσθε τὰ τῆς ψυχῆς ἀπογυμνοῦντες τραύματα διὰ τῆς ἐξομολογήσεως τῶν ἁμαρτημάτων· θαῤῥοῦντες δὲ τοῦτο πράττετε, δόγμα ἀληθὲς περὶ αὐτοῦ μαθόντες, ὅτι χρηστός ἐστι, καὶ εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ ὁ Ἡσύχιός φησιν· „ Ὡς γὰρ χρηστός: τουτέστιν ὡς συμπαθὴς καὶ ὡς φιλάνθρωπος ἐν τῷ παρόντι αἰῶνι τὸ ἔλεος ἔδωκεν· ἵνα, κἂν πλανηθῶμεν ἐκ ῥαθυμίας, ἀλλὰ διὰ τῆς αὐτοῦ φιλανθρω-

ΨΑΛΜΟΣ Ρ.

„ Ψαλμὸς τῷ Δαβίδ.

Ὁ βασιλεὺς Ἰωσίας πολλὰς ἀρετὰς ἐκατώρθωσεν, ὅταν ἐβασίλευε· τὰς ὁποίας προβλέπωντας ὁ Δαβὶδ, συνέγραψε τὸν παρόντα Ψαλμὸν, διηγούμενος ἐκ προσώπου ἐκείνου τὴν ἐνάρετον ζωήν του, καὶ βάλλωντας αὐτὸν Εἰκόνα ἔμπροσθεν εἰς τοὺς ἀνθρώπους τῆς ὀρθῆς πολιτείας, καὶ παράδειγμα τῆς τελειότητος, κατὰ τὸν Θεοδώρητον. (1)

α: „ Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύ„ ριε.

Ἆσμα, λέγει, θέλω κάμω τὸ ἔλεος καὶ τὴν κρίσιν σου Κύριε, καὶ οὕτω νὰ τὸ προσφέρω εἰς ἐσένα τὸν ἴδιον: ᾄδων δηλαδὴ τὰ περὶ τοῦ ἐλέους καὶ τῆς κρίσεώς σου· διατί σὺ, ἐλεεῖς μὲν, κατὰ τὴν παροῦσαν ζωήν. κρίνεις δὲ, κατὰ τὴν μέλλουσαν· ἢ λέγει τοῦτο, ὅτι οὔτε τὸ ἔλεός σου εἶναι χωρὶς κρίσιν, οὔτε πάλιν ἡ κρίσις σου εἶναι χωρὶς ἔλεος κατὰ τὸν Βασίλειον. ἐπειδὴ δὲ ταῦτα θέλω ᾄσω, αὐτὰ καὶ θέλω μιμηθῶ, ἐλεῶν ὁμοῦ καὶ κρίνων ὀρθῶς κατὰ τὸν Εὐσέβιον. (2)

β: „ Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ.

Ὁ.

θρωπίας πρὸς αὐτὸν ἐπιστρέψωμεν· ἀπὸ γὰρ τῆς νῦν γενεᾶς ἀρξαμένη τοῦ Θεοῦ ἡ ἀλήθεια, εἰς γενεὰν φανεροῦται τὴν μέλλουσαν· ὅταν ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῦτο γάρ ἐστιν ἡ ἄμαχος καὶ ἀψευδὴς ἀλήθεια.

(1) Ὁ δὲ θεῖος Κύριλλος λέγει· „ Ψαλμὸς τῷ Δαβίδ: τουτέστιν ὕμνος καὶ δοξολογία τῷ ἐκ σπέρματος Δαβὶδ τῷ κατὰ σάρκα Χριστῷ· διαγράφει δὲ ἡμῖν ὁ ψάλλων ἐνθάδε τὸν τέλειον, τὸν κατὰ Θεὸν πολιτευόμενον, διδάσκων ἡμᾶς, ποίαν δεῖ πολιτείαν ἐπιτηδεύειν τοὺς ἐπιθυμοῦντας τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν.

(2) Ὁ δὲ Θεολόγος Γρηγόριος λέγει· „ Ἴδωμεν λοιπὸν οἷα ὁ τέλειος πρὸς Χριστὸν τὸν δίκαιον Κριτὴν ἀναφθέγγεται. ᾧ κἂν τὸν ἔλεον ᾄδωμεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως συνᾴδομεν· καὶ ὁ Βασίλειος· „ Συνάπτει τὴν ἐλεημοσύνην τῷ κρίματι, ἵνα τὸ τῆς κρίσεως ἀκριβὲς πραϋνθῇ τῇ ἐπικρατήσει τοῦ ἐλέου· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, φησί, τίς ὑποστήσεται; ἀγαθὸς ὁ Θεὸς, ἀλλὰ καὶ δίκαιος· δικαιοσύνη δὲ ἡ πρὸς ἀξίαν ἀντίδοσις· καθὼς γέγραπται· „ Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς· τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· ἐλεήμων, ἀλλὰ καὶ κριτής· ἀγαπᾷ γὰρ, φησιν, ἐλεημοσύνην καὶ κρίσιν· διὸ καὶ νῦν λέγει ὁ ψάλλων· Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε· ἐλεήμων οὖν καὶ δίκαιος ὁ Κύριος· μὴ οὖν ἐξ ἡμισείας αὐτὸν

Ὀδεύων, λέγει, καὶ πολιτευόμενός ἐγὼ, χωρὶς κανένα μῶμον καὶ κατηγορίαν, ἔτζι θέλω ψάλω καὶ θέλω καταλάβω τὶ ψάλλω· διατὶ ἐκεῖνος ὁποῦ ψάλλει πρέπει καὶ νὰ καταλαμβάνῃ τὰ ψαλλόμενα. τὸ μὲν οὖν νὰ ὀδεύῃ: ἤτοι νὰ πολιτεύεται ἀμώμως τινὰς, τοῦτο εἶναι ἴδιον τῆς Πρακτικῆς ἀρετῆς. τὸ δὲ νὰ ψάλλῃ τινὰς καὶ καταλαμβάνῃ ἐκεῖνο ὁποῦ ψάλλει, τοῦτο εἶναι ἴδιον τῆς Θεωρητικῆς. ἡ διὰ μὲν τοῦ ψάλλειν ἐφανέρωσε τὴν πρακτικὴν ἀρετὴν. διὰ δὲ τοῦ συνιέναι. ἐφανέρωσε τὴν Θεωρητικήν· τὰ ὁποῖα καὶ τὰ δύω τινὰς κατορθόνει, μὲ σκοπὸν διὰ νὰ ἀποκτήσῃ ὁδὸν: ἤτοι πολιτείαν ἄμωμον καὶ ἀκατηγόρητον. (1)

„ Πότε ἥξεις πρός με;

Πότε, λέγει, θέλεις ἔλθῃς πρὸς ἐμένα Κύριε, ὅστις πολιτεύομαι ἀμώμως; καὶ ψάλλω καὶ καταλαμβάνω τὶ ψάλλω διὰ τοῦτον μόνον τὸν σκοπὸν, διὰ νὰ ἀξιωθῶ τῆς ἐδικῆς σου νοερᾶς ἐλεύσεως; ἢ πότε θέλεις ἔλθῃς Κύριε πρὸς ἐμένα, ὅστις διαπύρως ἐπιθυμῶ τὴν παρουσίαν σου; εἶπε γὰρ ὁ Κύριος „ Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. (Ἰω.: ιδ: 23:) (2)

„ Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας
„ μου ἐν μέσῳ του οἴκου μου.
3: „ Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου
„ πραγμα παράνομον· ποιοῦντας παραβάσεις ἐμίσησα.

Ἐγὼ, λέγει, ἐσυνανεστρεφόμην μὲ καθαρότητα τῆς καρδίας μου μέσα εἰς τὸ ὁσπήτιόν μου· καὶ οὔτε ἔμπροσθεν εἰς τοὺς αἰσθητούς μου ὀφθαλμοὺς, οὔτε εἰς τοὺς νοητοὺς ἔβαλλον πρᾶγμα παράνομον: ἤγουν δὲν ὑπέφερα νὰ φαντάζωμαι καὶ νὰ ἐνθυμοῦμαι κἀμμίαν παρανομίαν. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐμίσουν ἐκεῖ-

τὸν γνωρίζωμεν, μηδὲ ἀφορμὴν ῥαθυμίας τὴν φιλανθρωπίαν λαμβάνωμεν· εἶπε δὲ καὶ ὁ Εὐσέβιος· „ Τὸν σὸν ἔλεον καὶ τὴν σὴν κρίσιν ᾄσομαι, τὸν τρόπον διεξιὼν, καθ' ὃν πέφυκας οὐ πρῶτον κρίνειν, ἔπειτα ἐλεεῖν· ἀλλὰ πρῶτον ἐλεεῖν, ἔπειτα κρίνειν καὶ μετὰ φιλανθρωπίας καὶ ἐλέου ποιεῖσθαι τὰς ἀποφάσεις· Καὶ ὁ Κύριλλος· „ Οἶδά σε φησιν, ἐλεήμονα καὶ δίκαιον ὄντα Κριτὴν, καὶ ἐπ' αὐτοῖς δὴ τούτοις ὑμνήσωσε· ἠλέησε γὰρ ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ δικαιώσας τῇ πίστει, καὶ χαρισάμενος ἡμῖν τὴν ἄφεσιν τῶν ἀρχαίων πλημμελημάτων, καὶ κρίσιν ἐφ' ἡμῖν δικαίαν ἐξενεγκών· ὁ δὲ Ἡσύχιος λέγει· „ Ἐπειδὴ ῥυθμίσαι διὰ τῆς παρούσης Ψαλμῳδίας ὅλον τὸν βίον τὸν ἡμέτερον βούλεται, ἀναγκαίως μνημονεύει τῆς κρίσεως· ὀφθαλμὸς γὰρ εἰς αὐτὴν ὁρῶν προσκόπτειν οὐκ ἀνέξεται· φόβῳ δὲ τῶν κατ' ἐκεῖνον ἀπειλουμένων τὸν καιρὸν ἀσφαλίζεται· ἀλλ' ἐπεὶ τῆς κρίσεως προτάττει τὸν ἔλεον, ἐλεήμων ἐστὶν ὁ Κριτὴς ὁ ἡμέτερος· οὐ μὴν ὅτε κρίνει· νυνὶ δὲ, ὅτε μήπω τὴν κρίσιν ἐνεργεῖ· ὥστε τὸ ἔλεος τοῦ νῦν καιροῦ· ἡ δὲ κρίσις, τοῦ μέλλοντος· ταῦτα τοιγαροῦν ᾄδοντες, οὔτε ἀπογινώσκειν, οὔτε καταφρονεῖν ἁμαρτάνοντες δυνάμεθα.

(1) Ὁ δὲ Κύριλλος λέγει· „ Ψαλῶ σοι φησιν, ὦ Δέσποτα, καὶ δοξολογήσωσε διηνεκῶς· συνήσω δὲ καὶ ἐν ὁδῷ ἀμώμῳ: τουτέστι μετὰ συνέσεως καὶ σοφίας βαδιοῦμαι τὴν ὀρθὴν καὶ ἀδιάστροφον καὶ ἀμώμητον ὁδόν· χρὴ γὰρ ἡμᾶς εἶναι συνετωτάτους, τοὺς ἐθέλοντας εὐαρεστεῖν τῷ Θεῷ, καὶ σοφίας μεμεστωμένην ἔχειν τὴν καρδίαν· σοφίας δὲ οὐ τῆς ἐπιγείου καὶ κοσμικῆς. ἐκείνης δὲ μᾶλλον, ἣν χαρίζεται Χριστός· ἐν αὐτῷ γὰρ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι· καὶ αὐτὸς σοφαῖ τυφλοὺς καὶ συνέσεως ἁπάσης ἐστὶ χορηγός.

(2) Ὁ δὲ θεῖος Μάξιμος λέγει· „ Ὁ τὴν ὁδὸν τῶν ἀρετῶν χωρὶς τῆς ἐφ' ἑκάτερα ῥοπῆς μετ' εὐσεβοῦς καὶ ὀρθῆς γνώσεως συντηρήσας ἀλώβητον, εἴσεται τὴν γινομένην πρὸς αὐτὸν τοῦ Θεοῦ διὰ τῆς ἀπαθείας παρουσίαν· ψαλῶ γὰρ, φησι, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με; ὁ γὰρ Ψαλμὸς τὴν ἐνάρετον πρᾶξιν δηλοῖ· ἡ δὲ σύνεσις τὴν ἐπ' ἀρετῇ γνωστικὴν ἐπιστήμην, καθ' ἣν τῆς θείας αἰσθάνεται παρουσίας ὁ δι' ἀγρυπνίας προσδεχόμενος τὸν Κύριον αὐτοῦ. Ἔφη δὲ καὶ ὁ Ἡσύχιος· „ Μακάριον τοῦ Θεοῦ τὴν ἐνδημίαν προσδέχεσθαι, οὕτω τε διηνεκῶς, ὡς ἥξοντος πρὸς ἡμᾶς, εὐτρεπίζεσθαι· ἥξει δὲ πρὸς ἡμᾶς, ὅταν αὐτοῦ τὰς ἐντολὰς τηρήσωμεν· καὶ ὁ Θεοδώριτος· „ Πότε ἥξεις πρός με; ἀντὶ τοῦ, εὐπρεπῆ σοι τὰ βασίλεια (τῆς ψυχῆς) κατέστησα· ποθῶ σου τὴν παρουσίαν ὦ Δέσποτα· ἱμείρομαί σου τῆς ἐπιφανείας: ἀλλὰ δὸς τὸ ποθούμενον.

κείνους ὁποῦ παραβαίνουν τὴν δικαιοσύνην, τόσον τὴν πρὸς τὸν Θεὸν, ὅσον καὶ τὴν πρὸς τοὺς ἀνθρώπους (1)

4 : „ Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.
„ ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ
„ οὐκ ἐγίνωσκον.

Δὲν ἑνόνετο, λέγει, μὲ ἐμένα ἡ σκολιὰ καὶ στραβὴ καρδία· ἤτοι ὁ σκολιὸς ἄνθρωπος κατὰ περίφρασιν· ἐπειδὴ τὸ στραβὸν μὲ τὸ ἴσον εἶναι ἀσυνάρμοστον κατὰ τὸν Ἡσύχιον. καὶ ἂν ὁ πονηρὸς ἄνθρωπος ἤθελε νὰ ἀναχωρήσῃ ἀπὸ ἐμένα, ἐγὼ δὲν ἤθελα νὰ τὸν ἠξεύρω· πρέπει γὰρ νὰ μὴν ἔχῃ τινὰς φιλίαν μὲ τὸν πονηρόν· ἀλλὰ, ἐὰν μὲν ὁ πονηρὸς ἔλθῃ κοντὰ εἰς ἡμᾶς, πρέπει νὰ σπουδάζωμεν νὰ τὸν διορθόνωμεν· ἐὰν δὲ ἀναχωρῇ ἀπὸ ἡμᾶς, πρέπει νὰ τὸν καταφρονοῦμεν καὶ νὰ μὴ ψηφοῦμεν τὴν ἀναχώρησίν του, κατὰ τὸν Εὐσέβιον καὶ Θεοδώριτον·

(2) τοῦτο δὲ τὸ ῥητὸν νοεῖται καὶ περὶ τοῦ Διαβόλου. ὅτι δηλαδὴ ἐγὼ, μὲ τὸ νὰ μὴν ἔδιδα χώραν καὶ εἴσοδον εἰς τὸν Διάβολον νὰ σπείρῃ εἰς ἐμὲ τοὺς πονηρούς του λογισμοὺς, διὰ τοῦτο, οὐδὲ ὅταν ἀνεχώρει ἀπὸ ἐμένα, ἐλάμβανον εἴδησιν· ταὐτὸν εἰπεῖν, οὔτε ὅταν ἤρχετο αἰσθανόμην, οὔτε ὅταν ἔφευγεν.

5 : „ Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

Ἐδίωκα, λέγει, ἀπὸ λόγου μου ἐκεῖνον τὸν ἄνθρωπον ὁποῦ κρυφίως καταλαλεῖ τὸν ἀδελφόν του, ὡς κακοήθη καὶ ἀνελεύθερον, καὶ ὡς σκύλον κρυφίως δαγκάνοντα· τὸ λάθρα δὲ ἐπρόσθεσε, διὰ τί ἐκεῖνος ὁποῦ καταλαλεῖ τὸν εὑρισκόμενον παρόντα, δὲν ἁμαρτάνει τόσον πολλά· καὶ τὸ αἴτιον εἶναι, διὰ τὶ ὁ καταλαλούμενος ὤντας παρὼν, ἠμπορεῖ νὰ ἀπολογηθῇ εἰς ἐκεῖνα,

ἀ-

---

(1) Ὁ δὲ Κύριλλος· „ Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων σχηματιζόμενοι κατὰ τὰς ἀγορὰς, σεμνοὶ φαίνονται ϗ ἐπιεικεῖς· ἐν δὲ ταῖς ἑαυτῶν οἰκίαις, οὐκέτι κρύπτοντες τὸν ἑαυτῶν τρόπον, ἐλέγχονται φαῦλοί τινες ὄντες· ἐγὼ δέ φησιν, οὐδένα ἔσχον ἄδικον συνοικοῦντα λογισμόν· ἀλλὰ μετὰ καθαρότητος νοῦ ἀνεστρεφόμην ϗ ἐκτὸς ϗ ἐν οἴκῳ· οὐκ ἐπαίνους δὲ θηρᾶται τοὺς ἐξ ἀνθρώπων τὰ τοιαῦτα λέγων ὁ ψαλμῳδὸς, ἢ ἁπλῶς ὁ τέλειος· ἀφιλόδοξος γὰρ τῶν ἁγίων ὁ νοῦς, ϗ φιλοκομπίας οὐχ' ἅπτεται· ὁρᾷ δὲ μᾶλλον αὐτοῖς ὁ σκοπὸς εἰς τὸ ϗ ἡμᾶς ὠφελεῖν, ὅσοιπερ ἂν τοὺς παρ' αὐτῶν δεχώμεθα λόγους· ὅρα δὲ ὅτι οὐκ εἶπεν· οὐδέποτε ἐμπέπτωκα παρανόμῳ πράγματι· ἦν γὰρ ψεῦδος· ἀλλὰ τί; οὐ προετιθέμην: τουτέστιν οὐ σκοπὸν εἶχον ϗ προκείμενον τέλος παρανομῆσαι· εἰ δὲ καί τι συνέβη ἀνθρώπινον, ἀλλ' οὐ προθεμένου μου τοῦτο ἐγένετο· λέγει δὲ ὁ Δίδυμος· „ Σαφῶς δὲ ἐνταῦθα παρανομίαν ἀπηγόρευσεν ἅπασαν, οὐ τὴν ἐν πράξει μόνον. ἀλλὰ ϗ τὴν ἐν λογισμῷ· ὀφθαλμοὺς γὰρ τὸ τῆς ψυχῆς ὁρατικὸν ἐδήλωσεν εἰπών· „ Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον· ὥστε εἴτις προτίθεται κακὰ, κἂν κωλυθῇ πρᾶξαι, τῆς ἀπὸ τοῦ σκοποῦ κακίας τὴν δίκην οὐκ ἐκφεύξεται· ἐμίσουν γάρ φησι, τοὺς ποιοῦντας τὰς παραβάσεις, οὐχ ἢ ἀνθρώπους, ἀλλ' ἢ τοιούτους· δεῖ γὰρ κατὰ τὸν Ἀθανάσιον, μὴ μόνον ἀπέχεσθαι τῶν πονηρῶν, ἀλλὰ ϗ τοὺς ταῦτα ποιοῦντας ἀποστρέφεσθαι· ἔφη δὲ ϗ ὁ Δίδυμος· „ Ποιοῦντας παραβάσεις λέγει τοὺς ἁμαρτάνοντας· πᾶσα γὰρ ἁμαρτία παρακοὴ ϗ παράβασις τοῦ θείου νόμου γίνεται· ἡ συνήθεια δὲ τῶν ἀδελφῶν, παραβάτας καλεῖ τοὺς Χριστὸν ἀρνησαμένους, οὓς ἐπιτεταμένως μισεῖν προσήκει, ἐχθροὺς τοῦ Σωτῆρος ἑλομένους εἶναι.

(2) Ὁ δὲ Βασίλειος λέγει. „ Ὅς τις ἔμεινε τηρῶν τὴν εὐθύτητα, ἐρεῖ τὸ, οὐκ ἐκολλήθη μοι καρδία σκαμβὴ, δεικνὺς τὴν τὸ ὀρθὸν ἀπολέσασαν νόησιν, μὴ κατάλληλον ἡμῖν οὖσαν, ἀλλ' ἔξωθεν ἐπερχομένην, ὅταν ἡμεῖς αὐτὴν ἐπισπασώμεθα, τὸ εὐθὺ ἀποβαλόντες. ὁ δὲ Ἀθανάσιος λέγει. „ Οὕτω καλεῖ τὰ τοῦ Διαβόλου βουλεύματα, ἅτε μηδὲν εὐθὺ ἔχοντα· ϗ ὁ Δίδυμος· „ Γέγραπται ἐν τῷ Ἐκκλησιαστῇ· „ Ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ. (Ἐκκλ. Ζ'. 30.) εἰ οὖν εὐθὺς γεγένηται τῷ κατ' ἀρετὴν ἀρχῆθεν πεποιῶσθαι, πᾶσα κακία καὶ σκολιότης ἠθῶν μακρὰν αὐτοῦ ἐστι· ϗ ὁ Ἡσύχιος· „ Καθάπερ σκαμβὴ ῥάβδος κολληθῆναι πρὸς ὀρθὴν οὐ δύναται. οὕτως ἀκακίᾳ συζῶντι οἱ σκαμβὴν ἔχοντες καρδίαν οὐ συνάπτονται· ὁ δὲ Κύριλλος τὸ οὐκ ἐγίνωσκον οὕτως ἑρμηνεύει· „ Τουτέστιν οὐδὲ εἰδέναι προσεποιούμην· οὐ γὰρ ἠξίουν εἶναι φίλος αὐτῶν· ἆρα ὡς ὑπερήφανος; οὐδαμῶς φησιν· ἀλλ' εἰδὼς ὅτι φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· καρπὸς γὰρ διανοίας ἀγαθοπρεποῦς, τὸ παραιτεῖσθαι τοὺς πονηροὺς· ἐσχάτης δὲ πονηρίας ἀπόδειξις, τὸ καταλαλεῖν ἀδελφοῦ.

τοῦ καταλαλεῖται. (1)

„Ὑπερηφάνῳ ὀφθαλμῷ, καὶ ἀπλήστῳ
„καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

Ὑπερήφανον ὀφθαλμὸν λέγει τὸν ὑπερήφανον ἄνθρωπον, ἀπὸ μέρους τὸ ὅλον. Ὁμοίως καὶ ἄπληστον καρδίαν ὀνομάζει, τὸν ἀχόρταστον καὶ πλεονέκτην ἄνθρωπον· μὲ τοῦτον λοιπὸν, λέγει: ἤγουν μὲ τὸν ὑπερήφανον ἐμοῦ καὶ πλεονέκτην ἐγὼ δὲν συνέτρωγα. (2)

ϛ: „Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς
„τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς
„μετ' ἐμοῦ.

Οἱ ὀφθαλμοί μου, λέγει, ἔβλεπον πάντοτε εἰς τοὺς πιστοὺς γῆς· ἤγουν εἰς ἐκείνους τοὺς ἀνθρώπους, οἵτινες ἦτον ἄξιοι νὰ ἐμπιστεύωνται διὰ τὴν εὐθύτητα τῆς πολιτείας των· ἢ πιστοὺς ὀνομάζει τοὺς ἀγαθοὺς ἀνθρώπους, κατὰ τὸν θεῖον Κύριλλον· λέγει γὰρ ὁ Σολομών· „Ἄνδρα δὲ πιστὸν, ἔργον εὑρεῖν. (Παρ: κ. 6) ἐπειδὴ τὸ ἀγαθὸν εἶναι σπάνιον· εἰς τούτους λοιπὸν, λέγει, τοὺς ἀγαθοὺς ἀνθρώπους ἐπρόσεχον καὶ μαζῇ μὲ αὐτοὺς ἐκαθεζόμην. (3)

„Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός
„μοι

(1) Ὁ δὲ Εὐσέβιος λέγει· „Ὁ λέγων τινὰ κακῶς ἀπόντα, λυπούμενος διὰ τὸ εἶναι αὐτὸν φαῦλον, οὐ καταλαλός ἐστιν· ἀλλ' ὁ σπουδὴν ἔχων σὺν ἡδονῇ κατ' ἐκείνου λέγειν· ὁ δὲ ἅγιος Δωρόθεος λέγει· „Διαφέρει τὸ κατακρῖναι τοῦ ἐξουδενῶσαι καὶ καταλαλεῖν· καταλαλῆσαι γάρ ἐστι τὸ εἰπεῖν κατά τινος· οἷον ὅτι ἐψεύσατο ὁ δεῖνα, ἢ ὠργίσθη, ἢ ἐπόρνευσεν, ἤ τι τοιοῦτον· ἐλάλησε γὰρ ἐμπαθῶς τὸ ἁμάρτημα τοῦ ἀδελφοῦ· κατακρῖναι δέ ἐστι, τὸ εἰπεῖν, ὅτι ὁ δεῖνα ψεύστης ἐστι, πόρνος, ὀργίλος· ἰδοὺ γὰρ κατέκρινεν αὐτὴν τὴν διάθεσιν τῆς ψυχῆς αὐτοῦ· καὶ ἀπεφήνατο καθ' ὅλου τοῦ βίου αὐτοῦ λέγων, ὅτι τοιόσδε ἐστιν· ἄλλο γάρ ἐστι τὸ εἰπεῖν ὠργίσθη, καὶ ἄλλο τὸ ὀργίλος ἐστιν· ἐξουδενῶσαι δὲ, τὸ οἱονεὶ βδελύσσεσθαι τὸν πλησίον καὶ σιχαίνεσθαι ὡς ἀηδίαν τινά· ὃ καὶ τοῦ κατακρῖναι ὀλεθριώτερον· ὁ δὲ Χρυσόστομος λέγει· Ἡμεῖς δὲ μήτε λέγωμεν κακῶς, καὶ τοῖς λέγουσιν ἀκοὴν μὴ παράσχωμεν· ἀκοὴν γάρ φησι, ματαίαν μὴ παραδέξῃ· οὐκ εἶπε μὴ πιστεύσῃς, ἀλλὰ μηδὲ δέξῃ· διὸ καὶ ὁ Προφήτης· ἐξεδίωκον, φησι, τὸν καταλαλοῦντα· οὐκ εἶπεν· οὐκ ἐπίστευον, ἢ οὐ παρεδεχόμην τὰ λεγόμενα· ἀλλὰ καὶ ὡς ἐχθρὸν ἀπήλαυνον· εἰπὲ πρὸς τὸν καταλαλοῦντα· ἔχεις ἐπαινέσαι τινά; ἀνοίγω τὰς ἀκοὰς, ἵνα δέξωμαι τὰ μύρα· κακῶς θέλεις εἰπεῖν; ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν· οὐ γὰρ ἀνέχομαι κόπρον καὶ βόρβορον δέχεσθαι· ὁ δὲ θεῖος Μάξιμος λέγει· „Ἐπιστόμιζε τὸν καταλαλοῦντα ἐν ἀκοαῖς σου· ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς, καὶ σαυτὸν ὀλεθρίῳ πάθει ἐθίζων, κἀκεῖνον κατὰ τοῦ πλησίον φλυαροῦντα οὐκ ἀνακόπτων· μὴ δῷς τὴν ἀκοήν σου τῇ γλώσσῃ τοῦ καταλάλου, μηδὲ τὴν γλῶσσαν τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως λαλῶν, ἢ ἀκούων κατὰ τοῦ πέλας· ἵνα μὴ ἐκπέσῃς τῆς ἀγάπης, καὶ ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς· ἔφη δὲ καὶ ὁ μέγας Βασίλειος· „Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀνεχόμενος καταλαλοῦντος, ἀφορισμοῦ ἄξιοι καὶ οἱ ἀμφότεροι· ὁ δὲ Κύριλλος εἶπεν· „Ὁ ἐφ' ἡμῶν ἑτέρου καταλαλῶν, οὗτος οὐδὲ ἡμῶν καταλαλεῖν ἐφ' ἑτέρων ἀφέξεται· ὅθεν χρὴ τὸν τοιοῦτον ὡς κοινὸν ἐχθρὸν εἰκότως ἐλαύνεσθαι, ὡς τὸν ἐν παραδείσῳ μιμούμενον δράκοντα· ὃς τοῦ Θεοῦ καταλαλήσας, τὴν Εὔαν ἠπάτησεν.

(2) Ἔφη δὲ καὶ ὁ Κύριλλος· „Πλεῖστα ἐν ἡμῖν εἰσι πάθη ψυχικά· ὧν δὲ καὶ μάλιστα τῶν ἄλλων ἐκτοπώτερον καὶ πάσιν ἀφόρητον, ᾧ καὶ αὐτὸς μάχεται ὁ Θεός· τοῦτο δέ ἐστιν ὑπερηφανία, ἣ καὶ ἀδελφὴν σύντροφον ἔχει τὴν πλεονεξίαν: ἤτοι τὸ ἀπλήστως πλεονεκτεῖν· ταῦτα δύο βάραθρα ψυχῶν, καὶ ὀλέθρου πύλαι, καὶ ἀκοιμήτου φλογὸς ἄξια· τίς οὐ φεύγει τὸν ἀλαζόνα; τίς οὐ παραιτεῖται τὸν ἀπλήστῳ χειρὶ συλλέγοντα χρημάτων περισμοὺς, καὶ πλεονεκτοῦντα πολλούς; καὶ ὁ Ἡσύχιος· „Οὐκ ἐτιθέμην φησι, πρὸς αὐτοὺς φιλίας συνάλλαγμα· ἐπειδήπερ ἡ τράπεζα ἀγάπης ἐνέχυρον ὡς τὰ πολλὰ παραλαμβάνεται· ἀναγκαίως δὲ τὸν ἄπληστον τῇ καρδίᾳ: δηλαδὴ τὸν πλεονέκτην, καὶ τὸν ὑπερήφανον συνέπλεξεν· οὐδεὶς γὰρ αὐτοὺς φίλους ἔχειν δυνήσεται· ἐπειδὴ φίλαυτος ὁ ἀλαζὼν καὶ ὁ πλεονέκτης.

(3) Κατὰ δὲ τὸν Εὐσέβιον· „ α'. ἱλασμὸν ἔθηκεν ὁ Θεὸς τῶν ἡμετέρων ἁμαρτιῶν. β'. τὰς νόσους ἐθεράπευσε. γ'. ἀπὸ τὴν φθορὰν ἐλυτρώσατο διὰ τοῦ αἵματος τοῦ Μονογενοῦς του Υἱοῦ· δ'. ἐλέει χρώμενος ἐστεφάνωσε τῷ τῆς υἱοθεσίας χαρίσματι· διότι κατὰ τὸν Θεοδώριτον· „ Χάριτός ἐστι ϗ φιλανθρωπίας ὁ στέφανος. ε'. ϗ πνευματικῶν ἀγαθῶν ἐνέπλησε· κατὰ δὲ τὸν Ἀθανάσιον· „ Διὰ τοῦ ἀετοῦ τὸ τῆς Ἀναστάσεως δηλοῦται χάρισμα, ὅτι σπειρόμενοι ἐν φθορᾷ, ἐγειρόμεθα ἐν ἀφθαρσίᾳ, ὡς μηκέτι παλαιοῦσθαι μηδὲ εἰς φθορὰν χωρεῖν· ἀετῷ δὲ τοὺς ἀνακαινουμένους παρείκασε τῷ ὑψιπετεστάτῳ ϗ βασιλικωτάτῳ, ϗ ταῖς τοῦ ἡλίου μαρμαρυγαῖς μόνῳ λαμπρῶς ἐνατενίζειν δυναμένῳ· αἰνίττεται δὲ διὰ τούτου κατὰ τὸν Εὐσέβιον, τὴν ἀνανέωσιν τῆς ψυχῆς, ϗ τὴν ἀπὸ γῆς εἰς Οὐρανὸν πτῆσιν, τόντε βίον αὐτῆς τὸν ἐν ἄκρῳ φωτὶ γενησόμενον· ἀετὸς δὲ ϗ ὁ Χριστὸς· κατὰ τό· „ ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ· ϗ κατὰ τό· „ ἀδύνατόν μοι νοῆσαι ἴχνη ἀετοῦ πετομένου· ἡ γὰρ θεία φύσις πάσῃ διανοίᾳ ἀνέφικτος· ὁ δὲ Θεοδώριτος λέγει· „ Ὅτι διὰ τοῦ ἀνακαινισμοῦ τοῦ ἀετοῦ δηλοῦται ἡ νεουργία ἡ διὰ τοῦ ἁγίου Βαπτίσματος χαριζομένη· ταύτην πάλιν τὴν νεουργίαν ἡμῖν ὁ Δεσπότης διὰ τοῦ παναγίου Βαπτίσματος ἐδωρήσατο, ϗ τῆς ἁμαρτίας ἀποξύσας τὸ γῆρας, νέους ἀντὶ γεγηρακότων εἰργάσατο· συνῳδὰ τούτοις διὰ Ἡσαΐου τοῦ Προφήτου φησὶν ὁ Θεός· „ Οἱ δὲ ὑπομένοντες τὸν Κύριον ἀλλάξουσιν ἰσχύν· πτεροφυήσουσιν ὡς ἀετοί· ἐπειδὴ γὰρ τοὺς θείους ϗ βασιλικοὺς δημιουργηθέντες ἐδεξάμεθα χαρακτῆρας· εἶτα τούτους ἠμαυρώσαμέν τε ϗ διεφθείραμεν τοῖς παντοδαποῖς τῆς ἁμαρτίας ἐπιτηδεύμασιν, ὑπισχνεῖται ἡμῖν ὁ προφητικὸς λόγος τὴν τῆς βασιλείας ἀνάκτησιν· βασιλικὸς γὰρ οὗτος ὁ ὄρνις (ὁ ἀετὸς δηλαδὴ) ϗ τῶν πτηνῶν τὴν βασιλείαν πεπιστευμένος. Σημειῶσαι δὲ, ὅτι ὁ ἀετὸς ϗ μ' ὅλον ὁποῦ ἀνακαινίζεται, ἀποθνήσκει ὅμως, ὅταν τὸ κόκκαλον τῆς μύτης του γυρίσῃ ὑποκάτω τοῦ στόματός του ἀπὸ τὴν παλαιότητα, ϗ πλέον νὰ φάγῃ δὲν ἠμπορεῖ· ὡς λέγει ὁ Ἀριστοτέλης ἐν τῇ περὶ ζώων ἱστορίας· „ Ἀετὸς ἀποθνήσκει τοῦ ῥάμφους ἐπικαμφθέντος.

Ἐδῶ λείπει τὸ ἐστιν: ἤγουν ποιῶν ἐστιν, ὅπερ ταυτὸν εἶναι μὲ τὸ ποιεῖ· ποιεῖ, λέγει, ὁ Κύριος ἐλεημοσύνας, καὶ κρίσιν δικαίαν εἰς ἐκείνους ὁποῦ ἀδικοῦνται. (1)

7: „ Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋ-
„ σῇ τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα
„ αὐτοῦ.

Ὁ Θεὸς, λέγει, ἐφανέρωσεν εἰς τὸν Μωϋσῆν διὰ μέσου τοῦ πρὸς αὐτὸν δοθέντος Νόμου τὰς ὁδούς του: ἤγουν τὰ θελήματά του· διὰ μέσου τῶν ὁποίων, ὡσὰν διὰ στράτας πηγαίνει τινὰς εἰς τὸν Θεόν. εἴπαμεν δὲ περὶ τούτων ἀκριβέστερον εἰς τὸν κδ΄. Ψαλμὸν, ἑρμηνεύοντες τὸ, τὰς ὁδούς σου Κύριε γνώρισόν μοι· προηγουμένως δὲ ἐφανέρωσεν ὁ Θεὸς τὰ θελήματά του εἰς τὸν Μωϋσῆν, ἑπομένως δὲ διὰ τοῦ Μωϋσέως ἐφανέρωσε ταῦτα καὶ εἰς τὸν Ἰσραηλιτικὸν λαόν. (2)

8: „ Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος,
„ μακρόθυμος καὶ πολυέλεος.

9: „ Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ
„ εἰς τὸν αἰῶνα μηνιεῖ.

Ὁ Κύριος, λέγει, καθὸ μὲν εἶναι οἰκτίρμων καὶ ἐλεήμων, συμπονεῖ ἐκείνους, ὁποῦ ἀδικοῦνται καὶ καταδυναστεύονται· καθὸ δὲ μακρόθυμος, δὲν παραδίδει εὐθὺς τοὺς ἁμαρτάνοντας εἰς τιμωρίαν, καὶ εἰς τὰς χεῖρας τῶν ἐχθρῶν τους· καθὸ δὲ πολυέλεος, ὄχι μόνον μίαν φορὰν, ἀλλὰ πολλάκις ἐλεεῖ. ὁ Θεὸς, λέγει, δὲν ὀργίζεται διὰ παντὸς κατὰ τῶν ἁμαρτωλῶν, ἀλλὰ διαλλάσσεται καὶ φιλιόνεται μὲ τοὺς μετανοοῦντας· οὐδὲ μνησικακεῖ καὶ φυλάττει τὴν ὀργὴν πάντοτε πρὸς τοὺς ἁμαρτάνοντας. (3)

10: „ Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίη-
„ σεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας
„ ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ἐπειδὴ, λέγει, ὁ Θεὸς, εἶναι ἀνεξίκακος καὶ πολυέ-

---

(1) Ὅθεν εἶπεν ὁ Εὐσέβιος· „ Ἐκ τῆς Μωσέως γραφῆς μαθήσῃ, ὁποῖα κρίματα παρέσχε τοῖς ἀδικουμένοις· κρίσει γὰρ δικαίᾳ μετῆλθε τοὺς Αἰγυπτίους πληγαῖς θεηλάτοις κολάσας αὐτοὺς ὑπὲρ τῶν παρ' αὐτῶν ἠδικημένων υἱῶν Ἰσραήλ· καὶ ὁ Θεοδώριτος λέγει· οὐ γὰρ διὰ τὰς δικαιοσύνας, ἃς ἐποιήσαμεν, ἤ φησιν ὁ θεῖος Ἀπόστολος· ἀλλὰ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου· καὶ θεασάμενος ἡμᾶς ἠδικημένους ὑπὸ τοῦ τῆς ἀληθείας ἐχθροῦ, ἡμῖν μὲν ἠνέωξε τὰς τοῦ ἐλέου πηγὰς, κατ' ἐκείνου δὲ τὴν δικαίαν ἐξήνεγκε ψῆφον.

(2) Ὁ δὲ Ἡσύχιος λέγει· „ Τὰς ὁδοὺς αὐτοῦ: δηλαδὴ τὰς ἐντολὰς τῷ Μωϋσῇ ἐγνώρισε, καὶ δι' αὐτοῦ τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ· θέλημα γὰρ τοῦ Θεοῦ τὸ μὴ μοιχεύειν, μὴ φονεύειν, μὴ κλέπτειν, μὴ ψευδομαρτυρεῖν· ἐπειδὴ διὰ τούτων σωζόμεθα· ὁ δὲ Δίδυμος λέγει· „ Ὅτι ὁδοὶ καὶ ἀρεταὶ ἐκ παραλλήλου· ὁ γὰρ λέγων τὰς ὁδούς σου Κύριε, γνώρισόν μοι, τὰς ἀρετὰς αὐτοῦ ἀξιοῖ φανερὰς γενέσθαι.

(3) Εἶπε δὲ ὁ μέγας Ἀθανάσιος· „ Εἰ καὶ ὠργίσθη φησὶν ὁ Θεὸς διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ κατεδίκασε θανάτῳ τὸ γένος, ἀλλ' οὐκ ἐκτείνει εἰς τέλος τὴν ὀργήν· ἔπεμψε γὰρ ἐπ' ἐσχάτων τῶν χρόνων τὸν Μονογενῆ αὐτοῦ Υἱὸν εἰς ἀθέτησιν τῆς φθορᾶς· οὐ γὰρ ἐπίμονον ἔχει τὴν ὀργὴν ὁ φάσκων, ὡς εὐδιάλλακτος τοῖς μετανοοῦσι· „ Ὅταν γάρ φησιν, ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι· (Ἡσ. ζ΄. ς.) κἂν ὀργισθῇ, οὐκ ἐπὶ τῷ συντελέσαι καὶ ἀπολέσαι τοῦτο ποιεῖ· τοῦτο γὰρ ἂν ἦν τὸ εἰς τέλος ὀργισθήσεται, τὸ παραμεῖναι τῷ ὀργίζεσθαι ἕως τέλους καὶ φθορᾶς τῶν, πρὸς οὓς ἡ ὀργή· λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Τούτων δέ φησιν, αἴτιον τῶν ἀγαθῶν, ἡ τῆς θείας ἀγαθότητος ἄβυσσος· ὁ ἀμέτρητος ἔλεος· τῆς φιλανθρωπίας τὸ πέλαγος· καὶ ὁ Ἡσύχιος· „ Οὐκοῦν οὔτε διὰ παντὸς τῷ θυμῷ (τοῦτο γάρ ἐστι τὸ εἰς τέλος) χρήσεται, οὔτε τὸν ἔλεον διηνεκῶς τοῖς ἀναξίοις χαρίζεται· ἐπεὶ πῶς ὁ Θεὸς Κριτὴς καὶ δίκαιος καὶ ἰσχυρός; ἢ πῶς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ; Κιρνᾷ τοίνυν τῷ ἐλέῳ τὴν ὀργὴν, ὅτε μὲν ἐλέου καιρὸς, αὐτὸν προβαλλόμενος· ὅτε δὲ ὀργῆς, ἐπιφέρων ἐν ἡμέρᾳ ὀργῆς καὶ δικαιοκρισίας· διόπερ φησὶν, οὐκ εἰς τὸν αἰῶνα μηνιεῖ, τὸν παρόντα δηλαδή· τῷ μέλλοντι γὰρ τὴν κρίσιν καὶ τὴν ὀργὴν ἐφύλαξεν.

λυέλεος, διὰ τοῦτο δὲν μᾶς τιμωρεῖ, καθὼς πρέπει εἰς τὰς ἀνομίας καὶ ἁμαρτίας μας· τὸν ἴδιον δὲ λόγον τὸν περὶ τοῦ ἐλέους τοῦ Θεοῦ, ἐπαναλαμβάνει καὶ ἐδῶ ὁ Δαβὶδ μὲ διαφορετικὰς λέξεις, διὰ νὰ δείξῃ μὲ αὐτὰς τὴν ὑπερβολὴν τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

11: „Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ „τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔ-„λεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους „αὐτόν.

Ὅσον, λέγει, ὑψηλὸν καὶ μεγάλον καὶ σχεδὸν ἄμετρον εἶναι τὸ διάστημα, ὁποῦ ἔχει ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, τόσον ὑψηλὸν καὶ μέγα εἶναι τὸ ἔλεος, ὁποῦ ἐστερέωσεν ὁ Θεὸς εἰς ἐκείνους, ὁποῦ τὸν φοβοῦνται: ἤτοι τὸ ἔλεος τοῦ Θεοῦ εἶναι ἀμέτρητον καὶ ἀκατανόητον· δὲν εὑρῆκε δὲ ὁ Δαβὶδ ἄλλο μεγαλίτερον καὶ μακρύτερον διάστημα αἰσθητὸν, ἀπὸ τὸ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, διὰ νὰ συγκρίνῃ μὲ αὐτὸ τὸ ἔλεος ὁποῦ δείχνει ὁ Θεὸς εἰς ἐκείνους, ὁποῦ τὸν φοβοῦνται κατὰ τὸν Θεοδώριτον.

12: „Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ „δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς „ἀνομίας ἡμῶν.

Ὅσον, λέγει, ἀπέχει ἡ ἀνατολὴ ἀπὸ τὴν δύσιν, τόσον ἐμάκρυνεν ὁ Θεὸς τὰς ἁμαρτίας ἀπὸ ἐκείνους, ὁποῦ τὸν φοβοῦνται· ἐπειδὴ ὅπου εἶναι φόβος Θεοῦ, ἐκεῖ εἶναι καὶ τήρησις ἐντολῶν, ὡς εἶπεν ὁ Θεολόγος Γρηγόριος· „Οὗ γὰρ φόβος ἐντολῶν τήρησις. (1)

13: „Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠ-„κτείρησε Κύριος τοὺς φοβουμένους „αὐτόν.

Οἰκτείρει καὶ σπλαγχνίζεται ὁ φυσικὸς πατὴρ τοὺς υἱούς του· διατὶ ὅταν αὐτοὶ ἁμαρτάνουν, ἐκεῖνος τοὺς προνοεῖται, ὑποφέρωντας αὐτοὺς, συμβουλεύωντας, παρακαλῶντας, φοβερίζωντας, μακροθυμῶντας, μαστίζωντας, θεραπεύωντας, καὶ κάθε τρόπον κάμνωντας διὰ τὴν διόρθωσιν αὐτῶν καὶ σωτηρίαν· καθὼς λοιπὸν ὁ φυσικὸς πατὴρ οἰκτείρει καὶ σπλαγχνίζεται τοὺς υἱούς του: ἔτζι καὶ ἀσυγκρίτως περισσοτέρως ὁ Θεὸς οἰκτείρει καὶ σπλαγχνίζεται ἐκείνους, ὁποῦ τὸν φοβοῦνται, καὶ φυλάττουν τὰς ἐντολάς του. (2)

14: „Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, „ἐμνήσθη, ὅτι χοῦς ἐσμέν.

Ἐδῶ γράφει τὴν αἰτίαν ὁ Δαβὶδ διὰ τὴν ὁποίαν ὁ Θεὸς ὡσὰν φιλόστοργος πατὴρ εὐσπλαγχνίζεται ἐκείνους ὁποῦ τὸν φοβοῦνται· διὰ τοῦτο, λέγει, ὑπομένει ὁ Θεὸς

(1) Ὁ δὲ Δίδυμος ὑψηλότερον λέγει· „Φωτεινὰς οὔσας τὰς ἀρετὰς, ἐκάλεσεν ἀνατολὰς, ὥσπερ δυσμὰς διὰ τὸ σκότος τὰς ἁμαρτίας· ὁ συνεγγίσας οὖν ταῖς ἀνατολαῖς, μακρυνθείσας ἔχει ἀφ᾽ ἑαυτοῦ τὰς ἀνομίας· μακρὰν γὰρ αἱ κακίαι τῶν ἀρετῶν· λέγει δὲ ὁ Θεοδώριτος· „Εἰδὲ καὶ τούτων εὗρε μακρότερα διαστήματα, πάντως ἂν καὶ ταῦτα εἰς μέσον παρήγαγε, δεῖξαι τὸ ἄπειρον τῆς τοῦ Θεοῦ φιλονεικῶν ἀγαθότητος· λέγει δὲ καὶ ὁ Ἡσύχιος· „Ἐν σκότῳ εἰσὶ καὶ δυσμαῖς, οἱ ἐν ἁμαρτίαις τυγχάνοντες ἄνθρωποι· ἀπαλλαγέντες δὲ τῶν πλημμελημάτων, ἐν φωτὶ μετατίθενται· ὥστε εἰκότως τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγὴν, μετάβασιν ἀπὸ δυσμῶν εἰς ἀνατολὰς κέκληκεν; ὁμοῦ δὲ καὶ ἡμᾶς διδάξαι, τί μέσον ἁμαρτίας καὶ δικαιοσύνης, βουλόμενος.

(2) Λέγει δὲ καὶ ὁ Χρυσοῤῥήμων· Οὐχ ὅτι τοσοῦτον μόνον, ἀλλ᾽ ὅτι παράδειγμα τῆς ἄκρας φιλοστοργίας ἕτερον οὐκ ἔσχεν· ἐπεὶ καὶ ἔτι τούτου πλέον, ὁ Ἡσαΐας ἐδίδαξε· τὴν γὰρ μητέρα εἰς ὑπόδειγμα παραλαβὼν, τὴν πολὺ τοῦ πατρὸς πρὸς τὰ ἔκγονα συμπαθεστέραν οὖσαν, οὕτως ἔλεγε· „Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰδὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου λέγει Κύ-

δὲ καὶ φιλανθρωπεύεται, ἐπειδὴ καὶ ἠξεύρει, ὅτι ἡ τοῦ ἀνθρώπου πλάσις καὶ κατασκευὴ εἶναι ἀσθενής. ἐπεξηγεῖ δὲ τοῦτο καὶ μὲ ἄλλο σαφέστερον, λέγων· ὅτι ὁ Θεὸς ἐνθυμήθη, πῶς ἐπλάσθημεν ἀπὸ τὸ χῶμα: ἤτοι ἀπὸ τὸν λεπτὸν κονιορτὸν τῆς γῆς· ταυτὸν εἰπεῖν, πῶς ἐπλάσθημεν ἀσθενεῖς καὶ διὰ τοῦτο μᾶς εὐσπλαγχνίζεται. τὸ ἔγνω δὲ καὶ τὸ ἐμνήσθη, εἶναι ἀντὶ τοῦ ἠξεύρει· ἰδίωμα δὲ καὶ τοῦτο εἶναι τῆς Ἑβραϊκῆς γλώσσης, τὸ νὰ μεταχειρίζεται τὰ τοιαῦτα ῥήματα εἰς τοιοῦτον σημαινόμενον· (1)

15: „ Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι „ αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως „ ἐξανθήσει.

Αἱ ἡμέραι, λέγει, τῆς ζωῆς τοῦ ἀνθρώπου εἶναι προσωριναὶ καὶ εὐκολομάραντοι· καὶ καθὼς τὸ λιβάδι, τώρα μὲν, φαίνεται ὡραῖον μὲ τὰ διάφορα καὶ ποδυειδῆ ἄνθη, μετὰ ὀλίγον δὲ, φαίνεται ἄσχημον· διατὶ μαραίνονται τὰ ἄνθη καὶ χορτάριά του· ἔτζι καὶ ὁ ἄνθρωπος, τώρα μὲν φαίνεται ὡραῖος καὶ εὔμορφος, μετὰ δὲ ὀλίγον, μαραίνεται καὶ φθείρεται διὰ τοῦ θανάτου. Εἰδὲ καὶ ὁ Σολομῶν λέγει „ Μέγα ὁ ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων (Παρ: κ΄: 6:) μὴ ταραχθῇς διὰ τοῦτο ἀγαπητὲ, μηδὲ νομίζῃς πῶς λέγει ἐναντία ὁ Δαβὶδ μὲ τὸν Σολομῶντα, ὁ πατὴρ μὲ τὸν υἱόν του· ὄχι· ἐπειδὴ γὰρ διπλῆν ἔχει ὁ ἄνθρωπος τὴν ποίησιν, τὴν μὲν τοῦ σώματος ἀπὸ τὸ εὐτελὲς χῶμα καὶ λεπτὸν κονιορτὸν τῆς γῆς· τὴν δὲ τῆς ψυχῆς, ἐκ τοῦ ζωοποιοῦ ἐμφυσήματος τοῦ Θεοῦ· τούτου χάριν, διὰ μὲν τὸ φθαρτὸν τοῦ σώματος, ταπεινοῦται ὁ ἄνθρωπος καὶ ἐξευτελίζεται ἐδῶ ἀπὸ τὸν Δαβὶδ· διὰ δὲ τὴν ἀθανασίαν τῆς ψυχῆς, μεγαλύνεται καὶ δοξάζεται ἀπὸ τὸν Σολομῶντα· ἀτιμάζεται μὲν γὰρ ὁ ἄνθρωπος διὰ τὰς νόσους καὶ κόπους ὁποῦ δοκιμάζει, τιμᾶται δὲ πάλιν διὰ τὰς ἀρετὰς καὶ κατορθώματα ὁποῦ πράττει. καὶ εἶναι μὲν μέγα ὁ ἄνθρωπος, διατὶ φυλάττωντας τὰς ἐντολὰς τοῦ Θεοῦ, γίνεται καθ' ὁμοίωσιν Θεοῦ, καὶ κληρονόμος τῆς Βασιλείας του· εἶναι δὲ πάλιν ὁ ἄνθρωπος εὐτελέστατον, διατὶ παραβαίνωντας τὰς ἐντολὰς τοῦ Θεοῦ, γίνεται δοῦλος τῆς ἁμαρτίας, καὶ ὑπόδικος τῆς αἰωνίου κολάσεως. (2)

16: „ Ὁ-

γιος, δεικνὺς, ὅτι καὶ τῆς φυσικῆς φιλοστοργίας ἀνώτερός ἐστιν ὁ ἔλεος τοῦ Θεοῦ· καὶ αὐτὸς δὲ τοῖς Ἰουδαίοις διαλεγόμενος ἔλεγεν· εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; οὐδὲν ἄλλο ἐμφαίνων διὰ τούτων, ἀλλ' ἢ ὅσον τῶν ἀγαθῶν καὶ πονηρῶν τὸ μέσον ἐστι, τοσοῦτον τῆς τοῦ Θεοῦ κηδεμονίας πρὸς τὴν πατρικήν ἐστι τὸ διάφορον.

(1) Κατὰ δὲ τὸν Κύριλλον· „ Ὡς ἴδιον οὖν ποίημα καὶ ὡς ἔργον τῶν χειρῶν αὐτοῦ, ᾠκτείρησε τὸν ἄνθρωπον ὁ Θεός· καὶ ὡς εἰδὼς, ὅτι ἀμήχανον ἀνθρώπους ὄντας καὶ οὕτως ἀσθενεῖς, καὶ τὸν ἐν σαρκὶ καὶ αἵματι διαζῶντας βίον, μὴ πάντως ὀλίγοις περιπίπτειν ἀτοπήμασιν· ὅθεν ἀκριβολογεῖται οὐ λίαν ὁ κριτής, κατανεύει δὲ τὴν ἄφεσιν ἐξ ἐμφύτου καλοκἀγαθίας· ἔφη δὲ καὶ ὁ Θεοδώριτος· „ Οἶδε γὰρ ὁ Δημιουργὸς τῆς φύσεως ἡμῶν τὴν ἀσθένειαν· οἶδε καὶ πόθεν διεπλάσθημεν, καὶ ποῦ πάλιν χωρήσομεν· ὁ δὲ Ἡσύχιος· „ εἰκότως ἡμῖν φησι χρηστεύεται· οἶδε γὰρ ἡμῶν τοῦ πλάσματος τὴν ἀσθένειαν· πρῶτον μὲν, ὡς αὐτὸς πλάσας ἡμᾶς· ἔπειτα σαρκωθεὶς, καὶ καθ' ἡμᾶς γενόμενος ἄνθρωπος· ὅθεν εἶπεν ὁ Παῦλος· „ Ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομένοις βοηθῆσαι (Ἑβρ. β΄. 18.)

(2) Λέγει δὲ ὁ μέγας Βασίλειος· „ Ὅταν οὖν ἴδῃς βοτάνην χόρτου καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ Προφήτου Ἡσαΐου· ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς, καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ αὐθηρὸν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης τῆς εἰκόνος παρὰ τῷ Προφήτῃ τετύχηκεν· ὁ γὰρ σήμερον εὐθαλὴς τῷ σώματι, καὶ ἐπανθοῦσαν ἔχων τὴν εὐχροιαν, αὔριον αὐτὸς οὗτος ἐλεεινὸς, ἢ τῷ χρόνῳ μαρανθεὶς, ἢ νόσῳ διαλυθείς· ὁ δεῖνα περίβλεπτος ἐπὶ δόξῃ καὶ πλούτῳ, εἶτα ἀνάρπαστος οἴχεται καὶ ἡ δόξα ἐκείνη ὥσπερ ἐνύπνιον ἀπηλέγχθη· ὥστε ἐπιτέτευκται τῷ Προφήτῃ ἡ πρὸς τὸ ἀδρανέστατον ἄνθος τῆς ἀνθρωπίνης δόξης ὁμοίωσις· ἔφη δὲ καὶ ὁ Κύριλλος· „ Ἡμεῖς δὲ οἱ τάλανες, καὶ οὔπω γεγονότες ἐπ' ἀφθαρσίᾳ, σκιαῖς ἐν ἴσῳ λοιπὸν καὶ πόαις ταῖς ἐν ἀγρῷ, βραχὺ καὶ μόλις ἀνθήσαντες, πίπτομεν ἀδοκήτως ὡς ἐπὶ μητέρα τὴν γῆν, τὴν αὐτὴν καὶ τροφὸν καὶ τάφον ἔχοντες· ὁ δὲ Χρυσόστομος λέγει· „ Κατὰ μὲν τὸν Ἡσαΐαν, χόρτος ὁ ἄνθρωπος, κατὰ δὲ τὸν Δαβὶδ οὐδὲ χόρτος, ἀλλὰ χόρτῳ ὅμοιος· ἄνθρωπος γάρ φησιν, οὐχὶ χόρτος, ἀλλ' ὡσεὶ χόρτος· ὁ δὲ Θεολόγος Γρηγόριος· „ Τοιοῦτος ὁ βίος ἡμῶν τῶν ζώντων, πρόσκαιρος·

τοιοῦ-

16: „Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ „οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται „ἔτι τὸν τόπον αὐτοῦ.

Πνεῦμα, λέγει, ἐδῶ ὁ Δαβὶδ τὸν ἀέρα. ἐπειδὴ γὰρ κάθε ζῶον, ὁποῦ ἀναπνέει ἀέρα, εἶναι φθαρτὸν, ἀκολούθως καὶ ὁ ἄνθρωπος ὡς τοιοῦτος, εἶναι φθαρτὸς, διὰ τὶ καὶ εἰς τὸν ἄνθρωπον ἀέρας διέρχεται καὶ ἐξέρχεται, μὲ τὸ μέσον τῆς εἰσπνοῆς καὶ τῆς ἐκπνοῆς. ἢ πνεῦμα πρέπει νὰ νοήσωμεν τὴν ψυχὴν κατὰ τὸν Θεοδώρητον, ἡ ὁποία διατερνᾷ εἰς ὅλον τὸ σῶμα, καὶ πάλιν ἐξέρχεται ἀπὸ τὸ σῶμα κατὰ τὸν διωρισμένον καιρὸν τοῦ θανάτου. καὶ πλέον δὲν ὑπάρχει ὁ ἄνθρωπος εἰς τὴν παροῦσαν ζωὴν, μὲ τὸ νὰ ἀποθνήσκῃ. δὲν γνωρίζει δὲ πλέον ὁ ἄνθρωπος τὸν τόπον καὶ τὴν κατοικίαν τοῦ παρόντος βίου. ἐπειδὴ καὶ μεταβαίνει εἰς ἄλλον τόπον καὶ κατοικίαν. ἀλλ' οὐ δὲ τὸ πνεῦμα: ἤγουν ἡ ψυχὴ, ἀφ' οὗ χωρισθῇ ἀπὸ τὸ σῶμά της, θέλει πλέον ὑπάρξει: ἤγουν θέλει κατοικήσει εἰς τὸ σῶμα, καθὼς ὑπῆρχε καὶ ἐκατοίκει πρότερον εἰς αὐτὸ ἐν τῇ παρούσῃ ζωῇ· οὐδὲ θέλει γνωρίσει πλέον τὸν τόπον τῆς κατοικίας της: ἤτοι τὸ σῶμα. διατὶ ἄγκαλὰ καὶ κατὰ τὴν ἀνάστασιν ἔχουν νὰ ἀπολάβουν πάλιν αἱ ψυχαὶ τὰ ἐδικά των σώματα, ἀλλ' ὄχι τοιαῦτα ἔχουν νὰ τὰ ἀπολάβουν, καθὼς ἦτον πρότερον, φθαρτὰ δηλαδὴ, καὶ εἰς μυρίας ἀλλοιώσεις ὑποκείμενα. πρεπόντως λοιπὸν διὰ τὴν ἐναλλαγὴν δὲν γνωρίζουν ταῦτα αἱ ψυχαί. (1)

17: „Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ „αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ „τοὺς φοβουμένους αὐτόν.

Τὸ ἔλεος, λέγει, τοῦ Κυρίου ἐξαπλώνεται εἰς ἐκείνους, ὁποῦ τὸν φοβοῦνται, ἀπὸ τὸν παρόντα αἰῶνα ἕως εἰς τὸν μέλλοντα: ἤτοι καὶ ἐδῶ καὶ ἐκεῖ παντοτινὰ ἐλεεῖ ὁ Θεὸς, καὶ ποτὲ δὲν παύει. ἀλλ' οὔτε θέλει παύσει ἀπὸ τὸ νὰ ἐλεῇ ἐκείνους ὁποῦ τὸν φοβοῦνται· καὶ ἐδῶ μὲν ἐλευθερώνει ὁ Κύριος αὐτοὺς ἀπὸ τοὺς διαφόρους κινδύνους τῆς παρούσης ζωῆς ἐκεῖ δὲ τοὺς ἐλευθερώνει ἀπὸ τὰ μέλλοντα κολαστήρια·

18: „Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς „υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθή„κην αὐτοῦ, καὶ μεμνημένοις τῶν „ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Δικαιοσύνην τοῦ Θεοῦ ὀνομάζει ἐδῶ ὁ Δαβὶδ, τὴν ἀμοιβὴν τῶν κατορθωμάτων τῶν ἐναρέτων· ἔτζι γὰρ καὶ ὁ Σύμμαχος ἐξέδωκε. λέγει λοιπὸν, ὅτι καὶ ἡ τοιαύτη δικαιοσύνη τοῦ Θεοῦ, μένει παντοτινὴ, καὶ δίδοται κατὰ διαδοχὴν εἰς τοὺς υἱοὺς τῶν υἱῶν. καὶ ἀκολούθως τρέχει εἰς ὅλας τὰς γενεὰς, ἕως τοῦ μέλλοντος αἰῶνος, ἐπειδὴ ὁ Θεὸς ἀνταμείβει τοὺς ἀγαθοὺς καὶ εἰς τὴν παροῦσαν ζωὴν καὶ εἰς τὴν μέλλουσαν· ἡ τοιαύτη δὲ δικαιοσύνη τοῦ Θεοῦ καὶ

τοιοῦτον τὸ ἐπὶ γῆς παίγνιον, οὐκ ὄντας γενέσθαι, καὶ γεννηθέντας ἀναλυθῆναι· ὄναρ ἐσμὲν οὐχ ἱστάμενον· φάσματι μὴ κρατούμενον· ἄνθος καιρῷ φυόμενον καὶ καιρῷ λυόμενον· ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· καλῶς ὁ θεῖος Δαβὶδ περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησε. Μερικοὶ δὲ διδάσκαλοι ἑρμηνεύοντες περιεργότερον τὸ ῥητὸν τοῦτο τοῦ Δαβὶδ λέγουσιν, ὅτι δὲν εἶπεν ὡσεὶ ἄνθος τοῦ κήπου, ἀλλὰ τοῦ ἀγροῦ, διὰ νὰ φανερώσῃ ἀκριβέστερον τὸ ὀλιγοχρόνιον τῆς ζωῆς τοῦ ἀνθρώπου· καθότι τὰ τοῦ κήπου ἄνθη φυλαττόμενα ὑπὸ τῶν κηπουρῶν, μένουσιν ἀβλαβῆ εἰς περισσότερον καιρόν· τὰ δὲ τοῦ ἀγροῦ, ὡς μὴ φυλαττόμενα ὑπὸ ἀνθρώπων, καὶ ἀπὸ τὰ χερσαῖα ζῶα καταπατοῦνται, καὶ ἀπὸ τοὺς ἀνθρώπους κλέπτονται, καὶ ἀπὸ τὰ πετεινὰ βλάπτονται, καὶ ἀκολούθως ὀλιγοχρονιώτερα γίνονται. (παρὰ τῷ Πολιτικῷ Θεάτρῳ.)

(1) Ὅθεν ὁ ῥηθεὶς Θεοδώριτος· „Πνεῦμα τὴν ψυχὴν λέγει, ἧς παρούσης, καὶ ζῇ τὸ σῶμα καὶ ἐνεργεῖ· ἀποστάσης δὲ, κατασβέννυται καὶ φθείρεται, ὡς μὴ καὶ τοὺς προτέρους ἐπιγινώσκεσθαι χαρακτῆρας, μηδὲ γινώσκεσθαι, ὡς τοῦτο μὲν τοῦ δεῖνος, ἐκεῖνο δὲ τοῦ δεῖνος τὸ σῶμα· καὶ τοῦτο ἴδοις ἂν ἀκριβέστερον, διακύψας εἰς τάφον· πάντα γὰρ ὁμβίμως φθορᾶς γίνεται παρανάλωμα, καὶ τοὺς προτέρους χαρακτῆρας οὐ διασώζει.

καὶ ἀμοιβὴ, δίδοται, λέγει, εἰς ἐκείνους ὁποῦ φυλάττουν τὴν διαθήκην τῶν ἐντολῶν του· τὴν ὁποίαν διέθετο ὁ Θεὸς διὰ ἐκείνους, ὁποῦ ἔγειναν κατὰ χάριν υἱοί του, καὶ διὰ μέσου τῆς ὁποίας ὑπεσχέθη ὁ Θεὸς νὰ δώσῃ κληρονομίαν εἰς αὐτούς. Καὶ πρὸς τούτοις ἡ τοιαύτη Δικαιοσύνη καὶ ἀμοιβὴ τοῦ Θεοῦ δίδοται εἰς ἐκείνους ὁποῦ ἐνθυμοῦνται τὰς ἐντολὰς τοῦ Θεοῦ, ὄχι μόνον διὰ νὰ ἠξεύρουν ἁπλῶς αὐτὰς, ἀλλὰ καὶ διὰ νὰ τελειόνουν αὐτὰς διὰ τῶν ἔργων. υἱοὶ δὲ υἱῶν ὄχι μόνον εἶναι οἱ διάδοχοι τῆς σαρκικῆς συγγενείας τῶν γονέων τους, ἀλλὰ καὶ οἱ διάδοχοι τῆς εὐσεβείας καὶ τῆς ἐναρέτου πολιτείας τῶν αὐτῶν γονέων τους. (1)

19: „ Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν „ θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐ„ τοῦ πάντων δεσπόζει.

Ὁ Κύριος, λέγει, ἡτοίμασεν: ἤτοι ἐστερέωσε τὸν θρόνον του εἰς τὸν οὐρανόν· καὶ λοιπὸν ὅσοι θέλουν νὰ παρασαθοῦν εἰς τὸν θρόνον αὐτοῦ, αὐτοὶ ἂς φρονοῦν τὰ οὐράνια, καὶ ἂς καταφρονοῦν τὰ ἐπίγεια· φανερόναι δὲ τὸ ῥητὸν αὐτὸ τὸ ὕψος τοῦ θρόνου καὶ τῆς βασιλείας τοῦ Θεοῦ· ὅρα δὲ καὶ τὴν ἐξήγησιν τοῦ· „ Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς· (Ψαλ. β'. 4.) (2)

20: „ Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἀγ„ γελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποι„ οῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀ„ κοῦσαι τῆς φωνῆς τοῦ λόγου αὐ„ τοῦ.

Ἐπειδὴ ὁ Δαβὶδ ἀνέφερεν ἀνωτέρω θρόνον τοῦ Θεοῦ, διὰ τοῦτο ἀκολούθως ἀναφέρει τώρα ἐδῶ διὰ τοὺς Ἀγγέλους, ὁποῦ παρασέκονται εἰς τὸν θρόνον αὐτόν. καὶ παρακινεῖ αὐτοὺς ὡς ὁμοδούλους, νὰ εὐλογοῦν καὶ νὰ δοξολογοῦν τὸν Δεσπότην τῶν ἁπάντων Θεὸν, χαίροντες διατὶ τόσον πολλὰ εὐεργετεῖ τὸ ἀνθρώπινον γένος· λέγει δὲ καὶ ὅτι οἱ Ἄγγελοι εἶναι δυνατοὶ καὶ εὐσθενεῖς· ἐπειδὴ καὶ ἡ δύναμίς των εἶναι ἀγήρατος καὶ ἀδιάφθαρτος· ὅθεν καὶ δυνάμεις ὀνομάζονται, διατὶ ἔχουν δύναμιν νὰ τελειώνουν τὰ προσάγματα τοῦ ἁγίου Θεοῦ· ποιοῦσι γὰρ τὸν λόγον καὶ τὴν προσαγὴν τοῦ Θεοῦ, εὐθὺς ὁποῦ ἀκούσουν τὴν φωνὴν τῶν λόγων του, ἥτις εἶναι ἀκουστὴ κοντὰ εἰς αὐτούς. (3)

21: „ Εὐ-

---

(1) Τοῦτο τὸ ῥητὸν ὅμοιόν ἐστι κατὰ τὸν Εὐσέβιον, τῷ· „ Καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με· παρατείνει γὰρ τὸ ἔλεος Κυρίου καὶ ἡ σύζυγος αὐτῷ δικαιοσύνη εἰς πάσας γενεὰς ἐπὶ τοὺς φοβουμένους αὐτόν· λέγει δὲ ὁ Ἡσύχιος· „ Καλῶς δὲ διαθήκη ὁ νόμος τοῦ Θεοῦ προσηγόρευται· ἵνα κληρονομίαν ἐλπίζωμεν ἐξ αὐτῆς οἱ φυλάσσοντες· ὁ δὲ Δίδυμος λέγει· „ Δέδοται ἡ Διαθήκη, οὐκ ἐπὶ τῷ μνήμην αὐτῆς ψιλὴν ἔχειν ἡμᾶς, ἀλλὰ μνήμην εἰς τὸ ποιῆσαι· ὅτι δὲ εἰς τὸ ποιεῖν δέδοται, καὶ ὁ Σωτὴρ παρίστησιν εἰπών· ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· τῆς γὰρ ποιήσεως, ἀλλ' οὐ τῆς μνήμης αὐτῶν μισθὸς καὶ κληρονομία αἱ ἐπαγγελίαι.

(2) Ὅμοιον δὲ τοῦτό ἐστι κατὰ τὸν Θεοδώριτον, τῷ· „ Ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν· κἀνταῦθά φησιν, ὡς ἐν οὐρανῷ μὲν ἔχει τὸν θρόνον ὁ τῶν ὅλων Κύριος, ἐφορᾷ δὲ καὶ πρυτανεύει τὴν Κτίσιν, ἅτε δὴ πάντων ὢν Δημιουργὸς καὶ βασιλεὺς καὶ Δεσπότης· ὁ δὲ Εὐσέβιος λέγει· „ Δεσπόζει δὲ πάντων καθ' ἑτέραν ἐπίνοιαν καὶ τῶν ἀναξίων τῆς βασιλείας αὐτοῦ κρατῶν, οἷα δὴ πάντων Κύριος· ὁ δὲ Ἀθανάσιος· „ Ἅγιος ὢν ὁ Θεὸς ἐν ἁγίοις ἀναπαύεται ταῖς Ἀγγελικαῖς δηλονότι Δυνάμεσι· καὶ ὁ Ἡσύχιος· „ Βασιλεύει γὰρ ἁπάντων, ἢ ἀκόντων, ἢ ἑκόντων· μακάριος δὲ, ὃς ἑκὼν ὑποτάσσεται· μισθὸν γὰρ τῆς ἑκουσίου δουλείας τὸ μετ' αὐτοῦ βασιλεῦσαι τοῦ Δεσπότου ὁ τοιοῦτος δέχεται.

(3) Λέγει δὲ ὁ Εὐσέβιος· „ Ἄγει δὲ εἰς ἓν τέλος (ὁ Δαβὶδ) τὴν αὐτοῦ ψυχὴν καὶ τὰς οὐρανίας Δυνάμεις· τὸ γὰρ αὐτὸ τῆς εὐλογίας ἔργον, καὶ ταύτῃ κἀκείνοις ἐπιτάττει· καὶ διδάσκει τὸν προσελθόντα τῇ πίστει λαὸν, ὅτι τὸν ὕμνον ἐπιτηδεύων, τὸ αὐτὸ τοῖς Ἀγγέλοις ἕξει ἀξίωμα, καὶ μετ' ἐκείνων ἔσεται· ὁ δὲ Θεολόγος Γρηγόριος λέγει

21 : „ Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυ-
„ νάμεις αὐτοῦ· λειτουργοὶ αὐτοῦ οἱ
„ ποιοῦντές τὸ θέλημα αὐτοῦ.

Ἀφ' οὗ ἀνωτέρω εἶπεν ὁ Δαβὶδ τοὺς Ἀγγέλους, λέγει τώρα ἐδῶ καὶ τὰς ἄλλας τάξεις τῶν ἀσωμάτων δυνάμεων. λειτουργοὶ δὲ λέγονται οἱ Ἄγγελοι, καθὸ λειτουργοῦσιν:ἤγουν ποιοῦσι τὸ θέλημα τοῦ Θεοῦ· εἰς ὁποῖον τάγμα τῶν Ἀγγέλων ἤθελαν εὑρίσκωνται. (1)

22 : „ Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔρ-
„ γα αὐτοῦ.

Πῶς; καὶ μὲ ποῖον τρόπον εὐλογοῦσι καὶ δοξολογοῦσι τὸν Θεὸν τὰ ἄλογα καὶ τὰ ἄψυχα ἔργα του καὶ ποιήματα; καὶ ἀποκρινόμεθα, ὅτι τὸν δοξολογοῦσι μεταχειριζόμενα ἀντὶ φωνῆς, τὴν θεωρίαν καὶ τὸ κάλλος καὶ μέγεθος καὶ θέσιν καὶ χρείαν αὐτῶν· ὁμοίως καὶ ὅλα τὰ ἄλλα φυσικὰ καὶ θαυμαςὰ αὐτῶν ἰδιώματα, τὰ ὁποῖα εἶναι δηλωτικὰ καὶ παραςατικὰ τῆς δημιουργικῆς σοφίας καὶ δυνάμεως τοῦ Θεοῦ· ταῦτα γὰρ ὅλα βλέποντες οἱ λογικοὶ ἄνθρωποι καὶ οἱ Ἄγγελοι, κινοῦνται πρὸς δοξολογίαν καὶ εὐφημίαν τοῦ κτίσαντος ταῦτα Θεοῦ. καὶ ἄλλως δὲ συνειθίζουν οἱ Προφῆται πολλαῖς φοραῖς νὰ παραλαμβάνουν κατὰ σχῆμα προσωποποιΐας, τὴν ἄψυχον καὶ ἄλογον φύσιν εἰς δοξολογίαν Θεοῦ· ἕνα μὲν, διὰ νὰ δείξουν μὲ τοῦτο, ὅτι δὲν εἶναι ἀρκετὴ πρὸς ἔπαινον τοῦ Δημιουργοῦ ὅλη ἡ λογικὴ φύσις· καὶ ἄλλο δὲ, διὰ νὰ παρακινήσουν μὲ αὐτὸ περισσότερον τοὺς λογικοὺς ἀνθρώπους εἰς δοξολογίαν Θεοῦ· διατὶ ἀνίσως καλοῦνται πρὸς ἔπαινον τοῦ Ποιητοῦ, τὰ ἄλογα ποιήματα· πόσῳ μᾶλλον οἱ λογικοὶ, οἱ περισσοτέρων καὶ μεγαλιτέρων ἀγαθῶν παρ' αὐτοῦ ἀπολαύσαντες, κατὰ τὸν Ἡσύχιον;

„ Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐ-
„ τοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύ-
„ ριον.

Καὶ

γει σὺν τῷ Θεοδωρίτῳ· „ Τὰ μὲν κατὰ σὲ ὦ ψυχὴ, ἐξασθενεῖ πρὸς τὸ κατ' ἀξίαν ὑμνεῖν τὸν Θεόν· οἱ δὲ ἅγιοι Ἄγγελοι, ἐλευθέραν ἔχοντες παθημάτων ζωὴν, δυνατοὶ ὄντες ἰσχύϊ φυσικῇ τε ϗ ἐπικτήτῳ, ϗ ἀδιαπτώτως τὸν λόγον αὐτοῦ ποιοῦντες, ἄξιοί τε ὄντες ἀκούειν τῆς φωνῆς αὐτοῦ, πρεπόντως εὐλογοῦσιν αὐτὸν, εἴγε ϗ αὐτοῖς τὸ πᾶν ἐφικτὸν τῆς ὑμνήσεως. Σημειωτέον δὲ, ὅτι ϗ Ἄγγελοι ἀκούουσι λόγων τινῶν διδασκόντων αὐτούς· ϗ γὰρ ϗ αὐτοὶ διαλέκτους ἔχουσιν ἁρμοζούσας αὐτοῖς· δι' ὧν τὰ θεῖα προςάγματα ἀλλήλοις σημαίνουσιν· ὅθέν φησι Παῦλος· ἐὰν ταῖς γλώσσαις τῶν Ἀγγέλων λαλῶ· ὁ δὲ Θεοδώριτος ἰδίως λέγει· „ Πολλὰ ϗ διάφορα τῶν οὐρανίων τὰ τάγματα· ἀλλὰ πάντα διὰ τῶν δύω τούτων ὀνομάτων ὁ προφητικὸς συμπεριέλαβε λόγος· Ἀγγέλους μὲν γὰρ ἐκάλεσεν, ὡς τοῖς θείοις ὑπουργοῦντας προςάγμασι, ϗ τοὺς θείους λόγους διαπορθμεύοντας· Δυνάμεις δὲ, ὡς ἱκανὰς τὸ κελευόμενον πράττειν ϗ τὸ δυνατὸν ἐν τῇ φύσει παρὰ τοῦ πεποιηκότος λαβόντας· ὁ δὲ Δίδυμος λέγει· „ Ὅτι τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐν τῷ Δαβὶδ, προςάζει τοὺς Ἀγγέλους νὰ εὐλογοῦν τὸν Θεὸν, μὲ τὸ νὰ εἶναι ἕτερον τῶν Ἀγγέλων κατ' οὐσίαν· εἰδὲ τοῦτο, πῶς θρασέως ἐτόλμησάν τινες τῆς τάξεως τῶν Ἀγγέλων αὐτὸ φάναι, κατὰ πάντα ἕτερον ὄν.

(1) Λέγει δὲ ὁ Εὐσέβιος· „ Εἰδὲ ϗ ἐν ἀνθρώποις εἶέν τινες τὸν ἰσάγγελον βίον μετερχόμενοι, ἰσχύοντες ϗ αὐτοὶ ποιεῖν τὸν λόγον αὐτοῦ, ϗ οὗτοι εὐλογείτωσαν αὐτόν· μηδεὶς δὲ τῶν παραβαινόντων τὸν λόγον αὐτοῦ, ϗ παρακουόντων τῆς φωνῆς αὐτοῦ, προπετέςερον τολμάτω τοῦτο ποιεῖν· λέγει δὲ ὁ Θεολόγος Γρηγόριος σὺν τῷ Βασιλείῳ· „ Λειτουργοὶ εἰσὶ θείου θελήματος, ὑπηρετοῦντες Θεῷ, εἰς ἃ βούλεται ποιεῖν δι' αὐτῶν ἐπ' εὐεργεσίᾳ τοῦ παντὸς, εἰς διακονίαν ἀποςελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, πάντα ἐπιπορευόμενοι, πᾶσι πανταχοῦ παρόντες ἑτοίμως, προθυμίᾳ τε λειτουργίας ϗ κουφότητι φύσεως· ἔρχονται δὲ πρὸς ἡμᾶς οὐκ αὐτεξουσίως, οὐδὲ ἀρχοντικῶς ἐπισκεπτόμενοι ἡμᾶς· ϗ γὰρ προηγουμένη μὲν αὐτῶν ἡ ζωὴ ϗ κατὰ φύσιν, τὸ τῷ κάλλει τοῦ Θεοῦ ἐνατενίζειν, ϗ αὐτὸν δοξάζειν διηνεχῶς· περιςατικὴ δέ τις ἐςιν ἐνέργεια, ἡ πρὸς ἡμᾶς τοὺς ἀνθρώπους ἐπιςροφή τε ϗ ἐπιμέλεια· λέγει δὲ ὁ Εὐσέβιος· „ Ἐπειδὴ εἰσὶ ϗ ἀντικείμεναι Δυνάμεις, σφόδρα ἀναγκαίως ἐπιφέρει ὁ Δαβὶδ, τὸ λειτουργοὶ αὐτοῦ.

Καὶ ποῖος τόπος δὲν εἶναι τῆς Δεσποτείας τοῦ Θεοῦ; βέβαια οὐδείς. λοιπὸν εἰς ὁποῖον τόπον τύχωμεν, ἀδιακρίτως καὶ ἀπαρατηρήτως πρέπει· νὰ εὐλογῶμεν καὶ νὰ δοξολογῶμεν τὸν Κύριον. τί δὲ ἔχουν νὰ εἰποῦν εἰς τὸ ῥητὸν τοῦτο οἱ Ἰουδαῖοι; οἵτινες δὲν ἠμποροῦν νὰ ᾄδουν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; φανερῶς γὰρ λέγει τὸ ῥητὸν τοῦτο ὁ Δαβίδ, προφητεύωντας τὴν τῶν Ἐθνῶν Εὐαγγελικὴν καὶ νέαν λατρείαν, τὴν ὁποίαν καὶ προτιμᾶ ἀπὸ τὴν παλαιὰν καὶ νομικήν. (1)

ΨΑΛΜΟΣ ΡΓ΄.

„ Ψαλμὸς τῷ Δαβὶδ ὑπὲρ τῆς τοῦ Κόσμου συστάσεως.

Διὰ μὲν τοῦ προτέρου Ψαλμοῦ ἐδοξολόγει ὁ Δαβὶδ τὸν Κύριον, εὐχαριστῶν αὐτὸν διὰ τὰς εἰς ἡμᾶς γενομένας εὐεργεσίας του, διὰ δὲ τοῦ παρόντος δοξολογεῖ πάλιν αὐτὸν ὑπερθαυμάζων μάλιστα τὴν παρ' αὐτοῦ γενομένην δημιουργίαν τῆς Κτίσεως. (2)

1: „ Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον·
„ Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης
„ σφόδρα.

Εὐλόγει, λέγει, καὶ δοξολόγει, ὦ ψυχή μου τὸν Κύριον. Κύριε ὁ Θεός μου, σὺ ἐγνωρίσθης εἰς ἡμᾶς τοὺς λογικοὺς πολλὰ μεγάλος κατὰ πάντα σου τὰ Θεῖα προσόντα καὶ τὰς τελειότητας. πόθεν; ἀπὸ τὴν μεγαλουργίαν καὶ πρόνοιαν τῶν κτισμάτων

(1) Κατὰ δὲ τὸν Θεοδώριτον· „ Σύμφωνον τῷ προοιμίῳ τὸ τέλος· ὁ δὲ Εὐσέβιος λέγει· „ Ὅτι εἰ μὲν Ἀγγέλων ἦν μόνον τὸ εὐλογεῖν τὸν Θεόν, καλῶς ἂν εἶχες ὦ ψυχή, ὑποστέλλεσθαι καὶ μετρεῖν ἑαυτήν, τοῖς κρείττοσι παραχωροῦσα τὴν εὐλογίαν· ἐπεὶ δὲ προσήκει πᾶσαν κτίσιν τὸν πρέποντα ὕμνον ἀποδιδόναι Θεῷ, κατὰ τὴν αὐτῆς δύναμιν, τί μέλλεις ὦ ψυχή; μὴ γὰρ νόμιζε παρὰ τὸν τόπον ἐπιτηδείους τινὰς εἶναι τῇ εὐλογίᾳ· ἐν παντὶ γὰρ τόπῳ τῆς δεσποτείας αὐτοῦ, ἡ ἀρετὴ ἀξίαν σε τοῦ εὐλογεῖν ἀπεργάζεται· ἔφη δὲ καὶ ὁ Ἡσύχιος· „ Κἂν ἐν ἀγορᾷ τύχῃς, κἂν ἐν λουτρῷ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ἐν βασιλείοις, ἀναμνησθεὶς ὅτι τόπον πατεῖς τῆς τοῦ Θεοῦ δεσποτείας τυγχάνοντα, μὴ παύσῃ τὸν Δημιουργὸν εὐλογῶν· ἵνα σοι χωρίον ἕκαστον, Ἐκκλησία Θεοῦ, καὶ Ἀγγέλων συναγωγή, καὶ οὐρανοῦ γειτόνημα γένηται· καὶ ὁ Θεοδώριτος. „ Ἡμῖν δὲ καὶ ὁ θεῖος Ἀπόστολος παρεγγυᾷ ἐν παντὶ τόπῳ προσευχομένους αἴρειν ὁσίους χεῖρας.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ἡ τοῦ Παναγίου Πνεύματος χάρις, οὐ μόνον ἠθικὴν καὶ δογματικὴν διδασκαλίαν τοῖς ἀνθρώποις προσφέρει, ἀλλὰ καὶ ὅπως ὑμνεῖν προσήκει τὸν Ποιητὴν ἀκριβῶς ἐκπαιδεύει· διά τοι τοῦτο τόνδε συγγέγραφε τὸν Ψαλμὸν τῷ μακαρίῳ Δαβὶδ ὑπουργῷ χρησαμένη, ὡς ἂν μάθωμεν ἅπαντες, τίσιν ὕμνοις χρὴ τὸν εὐεργέτην ἀμείβεσθαι.

των σου. (1).

„Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν „ἐνεδύσω.

Ἐξομολόγησιν μὲν ὀνομάζει ἐδῶ ὁ Δαβὶδ τὴν εὐχαριστίαν· μεγαλοπρέπειαν δὲ, τὴν πρέπουσαν εἰς τὸν μεγάλον τιμήν· ταῦτα τὰ δύω, λέγει, ἐνεδύθης ὦ Κύριε, διὰ τῆς μεγαλουργίας τῶν κτισμάτων σου· εὐχαριστούμενος μὲν, διατὶ τοιαῦτα θαυμαστὰ ἐδημιούργησας κτίσματα· τιμώμενος δὲ, διατὶ εἶσαι τοιοῦτος μεγαλοπρεπὴς Κτίστης. (2)

2: „Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Σὺ, λέγει, Κύριε, ἐμεγαλύνθης σφόδρα· διατὶ ἐνδύνεσαι τὸ φῶς ὡσὰν φόρεμα, καὶ ἀπὸ τὸ φῶς σκεπάζεσαι· ὅμοιον δὲ τοῦτο εἶναι μὲ ἐκεῖνο, ὁποῦ εἶπεν ὁ Παῦλος· „Φῶς οἰκῶν ἀπρόσιτον (Α΄. Τιμ΄. 5. 16.) μὲ τὰ λόγια δὲ ταῦτα διδάσκουσι καὶ ὁ Δαβὶδ καὶ ὁ Παῦλος, ὅτι ὁ Θεὸς εἶναι κατὰ φύσιν ἀόρατος καὶ ἀκατάληπτος. δὲν εἶναι δὲ αὐτὰ κατὰ τὸν Θεοδώριτον, ἐναντία μὲ τὸ ῥητὸν ἐκεῖνο τὸ λέγον·„Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, (Ψαλ. ιζ΄. 11.) διατὶ τὸ φῶς, ὁποῦ εἶναι ἀπλησίαστον καὶ ἀόρατον, κάμνει τὸ ἴδιον ἀποτέλεσμα, ὁποῦ κάμνει καὶ τὸ ἀόρατον σκότος· διατὶ καὶ τὸ ἓν καὶ τὸ ἄλλο ἐμποδίζουσι τὸν ὀφθαλμὸν ἀπὸ τὸ νὰ βλέπῃ εἰς αὐτά. ἀλλὰ τὸ μὲν ἀπλησίαστον φῶς ἐμποδίζει τὸν ὀφθαλμὸν διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος· τὸ δὲ σκότος ἐμποδίζει τὸν ὀφθαλμὸν, διὰ τὴν στέρησιν καὶ ἔλλειψιν τοῦ φωτός. ἀνίσως δὲ τὸ ἔξω τοῦ Θείου φωτὸς εἶναι ἀπλησίαστον καὶ ἀόρατον, πολλῷ μᾶλλον τὸ ἔσω ὂν τοῦ τοιούτου φωτός; ἄλλοι δὲ φῶς ἐδῶ νοοῦσι, τὴν ἄκραν καθαρότητα. ἄλλοι δὲ τὴν γνῶσιν. (3)

„Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν.

Κύριε, λέγει, σὺ ἐμεγαλύνθης σφόδρα· διὰ

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „Οὐχὶ Θεὸς ἄνθρωπον μόνον, ἀλλὰ καὶ ἄνθρωπος Θεὸν εὐλογεῖ· ἀλλ' οὐχ ἐπὶ τοῖς αὐτοῖς· ὁ μὲν οὖν Θεὸς ἄνθρωπον εὐλογεῖ, ἐν ἀσφαλείᾳ καθιστὰς, καὶ λαμπρότερον ποιῶν· καθάπερ τὸν Ἀβραάμ· ὁ δὲ ἄνθρωπος οὐχ' οὕτως, ἀλλ' ἑαυτὸν τότε λαμπρότερον ποιεῖ· (ὅτε δηλαδὴ εὐλογεῖ τὸν Θεὸν) ἄν τε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον εὐλογῇ, ἄν τε ὁ ἄνθρωπος τὸν Θεὸν, ἑκατέρωθεν τὸ κέρδος εἰς τὸν ἄνθρωπον διαβαίνει· τὸ γὰρ Θεῖον ἀπροσδεές· τίποτε δέ ἐστιν ἐμεγαλύνθης σφόδρα; ἆρα προσέλαβε μεγαλωσύνην; πῶς οὖν γίνεται μέγας ὁ ἀεὶ ὢν μέγας καὶ μὴ δεόμενος προσθήκης; ὅταν οἱ ἀνακείμενοι αὐτῷ, βίον ἄριστον ἐπιδείξωνται· ὅταν καὶ διὰ ῥημάτων καὶ δι' ἔργων αὐτὸν ἀνυμνῶσι, τότε μεγαλύνεται· οὐκ αὐτός τι προσλαμβάνων εἰς μέγεθος, ἀλλὰ τοῖς ἀγνοοῦσιν αὐτὸν διὰ τῶν θεραπευόντων αὐτὸν μέγας δεικνύμενος· ἔφη δὲ καὶ ὁ Θεοδώριτος· „Φύσει μέγας ὢν, τοῦτο τοῖς εὐσεβέσιν ἐδείχθη· καὶ ἐδείχθη, οὐχ ἅπαν τὸ μέγεθος, ἀλλ' ὅσον ἡ φύσις τῶν ἀνθρώπων ἐχώρει, διὰ τῆς τῶν κτισμάτων μεγαλουργίας καὶ προνοίας καὶ ποικιλίας.

(2) Ὁ δὲ Ἡσύχιος ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐννοεῖ, τὴν τοῦ Σωτῆρος σάρκωσιν· εἰ γὰρ καὶ ἱκανὰ εἰς δήλωσιν τοῦ Θεοῦ ἡ τῶν Ἀγγέλων δημιουργία, τῶν οὐρανῶν ἡ ἔκτασις, ἡ τῆς γῆς θεμελίωσις καὶ τὰ λοιπά· ἀλλὰ τούτων ἱκανότερα ἡ τοῦ Σωτῆρος σάρκωσις, τὸ γενέσθαι αὐτὸν ἄνθρωπον καὶ μεῖναι Θεόν· διόπερ καίτοι δεύτερα ταῦτα τῇ τάξει τυγχάνοντα, πρότερα τῶν ἄλλων ὁ Θεὸς ἔταξεν, ὡς τῇ δυνάμει τυγχάνοντα πρότερα.

(3) Λέγει δὲ ὁ Εὐσέβιος· „Ὡς οὖν ὁ ἀναβαλλόμενος αἰσθητὸν ἱμάτιον πάντοθεν καλύπτεται· οὕτω τὸ μὴ δύνασθαι διασχεῖν τὸ περὶ τὸν Θεὸν φῶς, ἀκατάληπτον αὐτοῦ τὴν οὐσίαν παρίστησιν. ὁ δὲ Χρυσόστομος· „Τί φὴς, ὦ Δαβίδ; ὁ Εὐαγγελιστής φησιν, ὅτι αὐτός ἐστι φῶς ἀληθινόν· ὁ Παῦλος, φῶς οἰκῶν ἀπρόσιτον· σὺ περιβεβλῆσθαι τὸ φῶς αὐτὸν φὴς ὡς ἱμάτιον; ὁρᾷς, ὅτι κἂν Προφήτης ᾖ τις, κἂν Εὐαγγελιστὴς, κἂν Ἀπόστολος οὐ δύναται περιδράξασθαι τῆς σαφηνείας; ἀλλ' ἀπὸ τῶν παρ' ἡμῖν ὀνομάτων ἀναβαίνοντες κατὰ μικρὸν, ἀμυδράν τινα παριστῶσιν ἔννοιαν τῆς ἀῤῥήτου δόξης ἐκείνης; ἐπειδὴ γὰρ αὐτὸς, ὅ, τίποτε ἐστι τὴν οὐσίαν, οὐκ ἴσασιν, ἀπὸ τῶν παρ' ἡμῖν λαμπρῶν φιλονεικοῦσιν ἐπιλαβέσθαι αὐτῆς, ὡς οἷόν τε· ὁ δὲ Θεολόγος Γρηγόριος οὕτως ἡρμήνευσε τὸ ἀναβαλλόμενος· „Τὸν Θεὸν αὐτὸν ὁ Δαβὶδ εἰσάγει ἐνδεδυμένον δύναμιν... εἰ μή τῳ φίλον τὸ περιὸν τῆς δυνάμεως, καὶ οἷον ἀνεσταλμένον οὕτω παραδηλοῦσθαι· καθ' ὃ καὶ φῶς ἀναβάλλεται ὡς ἱμάτιον· τὸ γὰρ ἴσχεταί πω τοῦ τῆς δυνάμεως καὶ τοῦ φωτὸς τίς ἐπισχήσεται; (Λόγ. εἰς τὸ Πάσχα.)

διατὶ ἐξάπλωσες τὸν οὐρανὸν μὲ τόσην εὐκολίαν, μὲ ὅσην ἐξαπλένει τινὰς ἕνα δέρμα. καὶ ὁ μὲν Δαβὶδ διὰ τοῦ δέρματος ἐφανέρωσε τὴν εὐκολίαν, μὲ τὴν ὁποίαν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν κατὰ τὸν Θεοδώριτον. ὁ δὲ Ἠσαΐας ἐφανέρωσε τὸ ἀκίνητον τοῦ οὐρανοῦ καὶ τὸ σχῆμα του λέγων· „ Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν (Ἡσ. μ. 22) ἀνίσως δὲ ἐξηγήσῃς τὴν δέῤῥιν, πῶς εἶναι ἡ ἀπὸ δέρματα τέντα, μὲ τὸν λόγον τοῦτον φανερόνει ὁ Δαβὶδ καὶ τὸ σχῆμα τοῦ οὐρανοῦ κατὰ τὸν Ἀθανάσιον. διατὶ καθὼς ἡ τέντα εἶναι καμαροειδὴς, ἔτζι καὶ ὁ οὐρανὸς εἶναι καμαροειδής· ἀδιάφορον δὲ εἶναι τὸ ἐκτείνων· ἀντὶ γὰρ τοῦ ἐκτείνας, ἐκτείνων εἶπε κατὰ ἀντιχρονισμὸν, καθὼς ἔτζι νοοῦνται καὶ αἱ κατωτέρω μετοχαί. (1)

3: „ Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα „ αὐτοῦ.

Σὺ, λέγει, ἐστέγασας τὰ ὑψηλὰ μέρη τοῦ οὐρανοῦ μὲ τὰ νερά: ἤτοι τὸν δεύτερον οὐρανὸν, τὸν ὁποῖον στερέωμα ὀνομάζει ἡ γραφή. „ Διεχώρισε γάρ φησιν, ὁ Θεὸς ἀναμέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος (Γεν. α. 7.) κατὰ τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου. ὑπερθαύμασον δὲ πρᾶγμα εἶναι τῇ ἀληθείᾳ τὸ νὰ κρατῆται ἀδιάχυτος ἡ χυτὴ καὶ κατωφερὴς φύσις τοῦ νεροῦ ἐπάνω εἰς τὸ κυρτὸν στερέωμα, τὸ ὁποῖον καὶ αὐτὸ εἶναι καμαροειδὲς, καθὼς δείχνει ἡ ὄψις. (2)

„ Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, „ ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Σὺ, λέγει Κύριε, περιπατεῖς ἐπάνω εἰς τὰ νέφελα, καὶ μεταχειρίζεσαι αὐτὰ ὡσὰν καρότζαν, καθὼς ἐφάνης εἰς τὸ ὄρος Σινᾶ· καὶ περιπατεῖς ἐπάνω εἰς τὰς πτέρυγας τῶν ἀνέμων. φανερόνει δὲ μὲ τὰ λόγια ταῦτα ὁ Δαβὶδ, ὅτι ὁ Θεὸς εἶναι πανταχοῦ· διατὶ ὁ ἄνεμος εἶναι πρᾶγμα ὀξυκίνητον, καὶ

(1) Ὁ δὲ Χρυσόστομος λέγει· „ Ἅμα δὲ καὶ ἕτερον ἠνίξατο νόημα ὑψηλὸν, ὅτι πρὸς ἕτερον βίον ὁδεύομεν, καὶ τὰ παρόντα σκιὰ τῶν μελλόντων· καὶ οὐδέπω πρὸς τὰ ἄδυτα ἀφικόμεθα, ἀλλ᾽ ἔτι ἐν σκηνῇ ἐσμὲν τῷ παρόντι βίῳ· ἡ γὰρ σκηνὴ, τῶν κινουμένων· οὕτω καὶ τοῦ οὐρανοῦ τούτου ἀλλασσομένου, ἕτερος ἔσται τρόπος ζωῆς τῆς παρούσης ἀμείνων· ἔσται δὲ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή· οὐκ εἶπε δὲ ὁ ἐκτείνας ἀλλ᾽ ὁ ἐκτείνων, ὅτι κατὰ τὸν Θεολόγον Γρηγόριον· „ Ἅπαξ μὲν αὐτὸν κατ᾽ οὐσίαν ἐξέτεινεν, ἀεὶ δὲ αὐτὸν κατὰ Πρόνοιαν ἐκτείνει· καθὼ εἴρηται· „ Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· τοιοῦτον καὶ τὸ παρὰ Ἰώβ· „ Ὁ ποιῶν πλειάδα καὶ ἕσπερον· ἅπαξ γὰρ αὐτὰ ποιήσας, οἰκονομεῖ αὐτῶν τὴν συντήρησιν· ὁ μὲν οὖν Χρυσόστομος ἐκ τοῦ λόγου τούτου καὶ ἐξ ἄλλων προφητικῶν, συμπεραίνει, ὅτι ὁ οὐρανὸς δὲν εἶναι σφαιροειδὴς, ἀλλὰ καμαροειδὴς μόνον· καὶ ὅτι στέκει ἀκίνητος, καὶ δὲν κυκλοδινεῖται· ἀλλὰ μόνοι κινοῦνται οἱ ἐν αὐτῷ φωστῆρες καὶ ἀστέρες· ὁ δὲ θεῖος Βασίλειος καὶ ὁ Νύσσης, καὶ ὁ Δαμασκηνὸς, θέλουσιν ὅτι εἶναι σφαιροειδής· καὶ ὅτι διὰ τῆς ὀξείας κινήσεως αὐτοῦ περισφίγγεται ἡ γῆ ἀπὸ κάθε μέρος, καὶ μένει ἐν τῷ μέσῳ ἀκίνητος. σφαιροειδῆ δὲ φαίνεται ὅτι εἰσάγει τὸν οὐρανὸν καὶ ὁ Ζοροβάβελ λέγων· „ Οὐχὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ; (γ'. Ἐσδ. δ'. 34.) ἔφη δὲ καὶ Γεώργιος ὁ Πισσίδης. ἐν τοῖς Ἰάμβοις·

„ Εἰ καὶ καπνοῦ δὲ τοῦτον ἐμφάσεις ἔχειν.
„ Ἢ σφαῖραν ἡμίτμητον ἀψίδος δίκην,
„ Εἰς βάθρον ἀστήρικτον ἐστηριγμένος·
„ Ἄνω γὰρ ἦρται καὶ βαρύνεται κάτω·
„ Σφίγγει δὲ πάντα σοὶ κρατούμενος μόνῳ·
„ Μετρουμένη γὰρ οὐρανοῦ ἀμετρία·
„ Ὢ μηχανουργὲ τῆς πολυστρόφου στέγης.
„ Προβλεπτική τις εἶπεν ὀξυδορκία.
„ Ὅμως ἔχει στήριγμα τὴν ἐν σοὶ βάσιν·
„ Ὁ δέῤῥιν ὥσπερ ἐξαπλώσας τὸν πόλον.
„ Ἴσας δὲ κύκλῳ τὰς ἀποστάσεις ἔχει·
„ Στιγμὴν δὲ τὴν γῆν ὥσπερ ἐν μέσῳ φέρει·
„ Ὡς πρὸς σὲ νυγμὴ γίνεται στενουμένη.

Πλὴν ἡμεῖς λέγομεν, ὅτι τὴν ἀκριβῆ τούτων γνῶσιν, μόνος ἠξεύρει ὁ ταῦτα δημιουργήσας Θεός· καὶ ὅρα τὸ ξηρὸν τὸν Γρηγορίου τοῦ Θεολόγου, εἰς τό· „ Ὄψομαι τοὺς ἀνθρώπους τοῦ η'. Ψαλμοῦ.

(2) Ὁ δὲ Χρυσόστομος λέγει· „ Διὰ τὸ θεῖον πρόσταγμα ἵδρυται τὸ ὕδωρ ὑπεράνω τοῦ στερεώματος καὶ οὐ καταῤῥεῖ.

καὶ ταχύτατα φθάνει ἀπὸ τὸ ἕνα ἄκρον τοῦ Κόσμου εἰς τὸ ἄλλο ἄκρον, καὶ ὀγλιγωρότατα διαπερνᾷ τὸ πᾶν. (1)

4: „ Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύ-
„ ματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ
„ πυρὸς φλόγα.

Μὲ τὰ λόγια ταῦτα κηρύττει ὁ Δαβὶδ τὸν Θεὸν δημιουργὸν τῆς νοητῆς καὶ ἀοράτου φύσεως. τοὺς ἰδίους δὲ Ἀγγέλους καὶ πνεύματα καὶ πῦρ ὠνόμασεν ὁ Δαβὶδ, φανερόνωντας μὲ τὰ ὀνόματα ταῦτα τὸ ὀξυκίνητον αὐτῶν καὶ δραστήριον· ἢ καὶ ὑπογράφων τὴν τούτων φύσιν καὶ οὐσίαν. πνεύματα δέ εἰσι: νοερὰ δηλαδὴ, καὶ πῦρ ἄϋλον. (2)

5: „ Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφά-
„ λειαν αὐτῆς· οὐ κλιθήσεται εἰς τὸν
„ αἰῶνα τοῦ αἰῶνος.

Σὺ, λέγει, Κύριε, ἐθεμελίωσας τὴν γῆν· ἐπάνω εἰς ποίαν ἀσφάλειαν καὶ θεμέλειον; δηλ: ἐπάνω εἰς τὸν ὅρον καὶ τὴν προσαγήν σου· αὕτη γὰρ γίνεται εἰς τὴν γῆν, ἀντὶ ἕδρας καὶ θεμελίου, καὶ στερεόνει αὐτὴν ἐπάνω εἰς τὸν ἑαυτόν της· ὅθεν καὶ ἡ γῆ ἐπάνω τῆς προσταγῆς σου θεμελιουμένη, δὲν θέλει περιτραπῇ ποτε, οὐδὲ θέλει μετασαλευθῇ ἀπὸ τὸν τόπον της. (3)

6: „ Ἄ-

ῥεῖ· οὐδὲ ἐξίσαται· καίτοιγε οὐκ ἔστι τοιαύτη τῶν ὑδάτων ἡ φύσις· ἀλλ' ἰδοὺ τὸ παράδοξον τοῦτο γέγονεν ἐπὶ τῶν οὐρανῶν· ϗ οὔτε τὸ ὕδωρ τὸν ἥλιον ἔσβεσεν, οὔτε ὁ ἥλιος ἐπὶ τοσοῦτον χρόνον βαδίζων κάτωθεν, τὸ ἐπικείμενον ἀνεξήρανεν ὕδωρ· ὥστε θαῤῥῶν ἂν εἴποιμι, οὐχὶ φύσεως ταῦτα εἶναι ἔργα, ἀλλὰ τῆς ὑπὲρ φύσιν προνοίας· ὁ δὲ Θεολόγος Γρηγόριος εἶπε· „ Τινὲς δὲ (ὡς ὁ Δίδυμος) ϗ ὕδατα θεῖα νοοῦσι, οἷς ὑπερῷα στεγάζεται, δι' ὧν ὑμνεῖται Θεός: τουτέστιν ἀγαθὰς Δυνάμεις, ἀξίας οὔσας διὰ καθαρότητα τοῦ ἡγεμονικοῦ τὸν πρέποντα ὕμνον ἀποδιδόναι τῷ κτίσαντι· ὁ δὲ Ἡσύχιος λέγει· „ Τὰ ὑψηλὰ τῶν Μυστηρίων ἐν τοῖς ὕδασι τοῦ Βαπτίσματος ἔδειξεν.

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Διὰ τούτων τὴν πανταχοῦ διήκουσαν ἐδήλωσε Πρόνοιαν, ϗ ὅτι ἐφέστηκε ϗ ἀνέμοις ϗ νέφεσι· ϗ αὐτὸς ἰθύνει ταῦτα ϗ κυβερνᾷ, ϗ τὴν ἐντεῦθεν φυομένην εἰς καιρὸν δίδωσι χρείαν. Περὶ νεφῶν δὲ ϗ ἀνέμων, Μωσῆς μὲν οὐδὲν εἶπε· συνεσήμανε δὲ αὐτὰ τοῖς περιέχουσιν· ὁ δὲ Δαβὶδ ἐξεργαστικώτερον ἀπαγγέλλων, πλείονος δοξολογίας αἴτιος γίνεται· ὁ δὲ Χρυσόστομος λέγει· „ Νεφέλη δὲ τοῦ οὐρανοῦ σύμβολον· διὰ τοῦτο ϗ ὁ Χριστὸς ἐν νεφέλαις ἀναλαμβάνεται, ἐν τῷ συμβόλῳ τῆς θείας δυνάμεως· οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. Καὶ ὁ Ἡσύχιος δὲ λέγει· „ Τοῦτο τῷ Μονογενεῖ κατὰ τὸν καιρὸν τῆς εἰς οὐρανοὺς ἀναλήψεως πέπρακται, ἡνίκα νεφέλη ὑπέλαβεν αὐτόν· προστίθησι δὲ ὁ Χρυσόστομος· „ Ἄνεμος νέφους λεπτότερος ϗ κουφότερος· οὐκ ἠρκέσθη δὲ τῇ τῶν ἀνέμων λέξει, ἀλλ' ἕτερον πάλιν ὀξύτερον ἐζήτησε ϗ ταχύτερον, τῶν πτερύγων τὴν προσηγορίαν· διὰ τῶν συνήθων λέξεων, ϗ καθὼς οἷόν τε ἦν, τὸ κοῦφον, τὸ λεπτὸν, τὸ ὀξὺ, ϗ τὸ πανταχοῦ τοῦ Θεοῦ παραστῆσαι βουλόμενος· ἢ ἄνεμός ἐστιν ὀξεῖα κίνησις ἀέρος.

(2) Ὁ δὲ Βασίλειος λέγει· „ Ἡ μὲν οὐσία τῶν Ἀγγέλων, ἀέριον πνεῦμα, εἰ τύχοι, ἢ πῦρ ἄϋλον κατὰ τὸ γεγραμμένον· διὸ ἐν τόπῳ εἰσὶ ϗ ὁρατοὶ γίνονται ἐν τῷ εἴδει τῶν οἰκείων αὐτῶν σωμάτων τοῖς ἀξίοις ἐμφανιζόμενοι· ὁ μέν τοι ἁγιασμὸς ἔξωθέν ἐστι τῆς οὐσίας αὐτῶν· οὐ γὰρ φύσει ἅγιαι αἱ τῶν οὐρανῶν Δυνάμεις, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πρὸς ἀλλήλους ὑπεροχῆς, τοῦ ἁγιασμοῦ τὸ μέτρον παρὰ τοῦ Πνεύματος ἔχουσι· λέγει δὲ ϗ ὁ Θεολόγος Γρηγόριος· „ Σὺ δὲ ὅρα, ὅτι οὐκ ἔχομεν οὐδὲ τὴν νοητὴν φύσιν ϗ ἐπουράνιον ἀσωμάτως ἰδεῖν, εἰ ϗ ἀσώματος· πῦρ ϗ πνεῦμα προσαγορευομένην ἢ γινομένην· ποιεῖν γὰρ λέγεται τοὺς Ἀγγέλους πνεύματα, ϗ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· εἰ μὴ, ποιεῖν μὲν ἐστι, τὸ συντηρεῖν τῷ λόγῳ, καθ' ὃν ἐγένοντο· πνεῦμα δὲ ἀκούει ϗ πῦρ, τὸ μὲν, ὡς νοητὴ φύσις· τὸ δὲ, ὡς καθάρσιος· ἐπεὶ ϗ τῆς πρώτης οὐσίας (τοῦ Θεοῦ δηλαδὴ) τὰς αὐτὰς οἶδα κλήσεις· ἢ ὅτι ἐγγύτατα, ἄλλως ἄλλη ἐλλαμπομένη κατὰ τὴν ἀναλογίαν τῆς φύσεως ϗ τῆς τάξεως· ὁ δὲ Χρυσόστομός φησι· „ Οὔτι ποτε εἰσὶν οἱ Ἄγγελοι τὴν οὐσίαν παρίστησι, ἀλλὰ τὴν ἐνέργειαν διὰ τῶν στοιχείων τούτων ἐμφαίνει· λέγει δὲ ϗ ὁ Θεοδώριτος· „ Ὀξεῖα μὲν ἡ τοῦ Πνεύματος φύσις, ἰσχυρὰ δὲ τοῦ πυρὸς ἡ ἐνέργεια· Ἀγγέλοις δὲ χρώμενος ὑπηρέταις ὁ Θεὸς, ϗ εὐεργετεῖ τοὺς ἀξίους, ϗ κολάζει τοὺς ἐναντίους· ὅθεν τὰ Σεραφὶμ ἐμπρῆσαι ἑρμηνεύονται, διὰ τοῦτο ϗ πυρὸς ἐμνημόνευσε τὴν κολαστικὴν σημαίνων ἐνέργειαν.

(3) Ὅθεν λέγει ϗ ὁ Βασίλειος· „ Πῶς γὰρ ἡ γῆ ἕστηκε παγία ϗ ἀκλινής; ἐπὶ τίνος ὀχουμένη; ϗ τίνος

τοῦ

6 : „ Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον „ αὐτοῦ.

Ἡ ἄβυσσος, λέγει, εἶναι ὡσὰν περιβόλαιον καὶ φόρεμα αὐτοῦ: ἤγουν τοῦ ςοιχείου τῆς γῆς. (1) ἄβυσσος δὲ εἶναι πλῆθος ὑδάτων: ἤτοι ἡ θάλασσα καὶ ὁ Ὠκεανός· ὁ ὁποῖος περικυκλόνει ὅλην τὴν γῆν, καὶ κάμνει αὐτὴν ὡς νησίον εἰς τὸ μέσον ευρισκομένην. νοεῖται δὲ τὸ ῥητὸν τοῦτο κατὰ τὸν Δίδυμον, καὶ διὰ τὴν ἀμέτρητον γνῶσιν καὶ ἀκαταληψίαν τῆς σοφίας καὶ δυνάμεως καὶ προνοίας τοῦ Θεοῦ. διότι ἐκπλαγεὶς ὁ Δαβὶδ εἶπεν ὅτι ἡ ἄβυσσος τῆς ἀκαταληψίας εἶναι ὡσὰν φόρεμα αὐτοῦ τοῦ Θεοῦ δηλ. ταυτὸν εἰπεῖν, ὅτι τὴν ἀκαταληψίαν ἐφόρεσεν ὁ Θεὸς ὡσὰν φόρεμα, μὲ τὸ νὰ εἶναι ἀπὸ κάθε του ἐνέργειαν ἀκατάληπτος.

„ Ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἐπάνω, λέγει, εἰς τὰ βουνὰ θέλουν συναχθοῦν τὰ νερὰ, καὶ ἀπὸ ἐκεῖ θέλουν ἀναβλύζουν καὶ μὲ ὅλον ὁποῦ τὰ νερὰ ἔχουν φυσικὸν ἰδίωμα νὰ τρέχουν κάτω εἰς τὰ χαμηλὰ ἀπὸ τοὺς ὑψηλοτέρους τόπους. ἢ λέγει κατὰ τὸν Θεοδώριτον, ὅτι τὰ νερά: ἤγουν τὰ κύματα της θαλάσσης τόσον πολλὰ ὑψώνονται, ὡςε ὁποῦ ςέκονται ἴσα μὲ τὰ βουνά· καθὼς παρακάτω λέγει τοῦτο καθαρώτερα.

7 : „ Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται· ἀ„ πὸ φωνῆς βροντῆς σου δειλιάσουσι.

Τὰ μὲν νερὰ, λέγει, ὁποῦ ἀναβλύζουν ἐπάνω εἰς τὰ βουνὰ, θέλουν ξηρανθοῦν ἀπὸ τὴν σφοδρὰν καὶ φοβερὰν προσαγήν σου· Κύριε, τὰ δὲ ὑψονόμενα κύματα τῆς θαλάσσης θέλουν συςαλοῦν καὶ ἡσυχάσουν. ὅθεν ἀλλαχοῦ λέγει ὁ ἴδιος Δαβίδ. „ Καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη. (Ψαλ. ρϛ 10) ἀλλὰ καὶ θέλουν τρομάξουν τὰ ἀνωτέρω νερὰ καὶ κύματα τῆς θαλάσσης, μὲ κάποιον φυσικὸν τρόπον αἰσθανόμενα τὴν φωνὴν τῆς βροντῆς. ἢ καὶ θέλουν τρομάξουν καὶ συςαλοῦν διὰ ὠφέλειαν ἐδικήν μας· ἀνίσως δὲ τὰ νερὰ τρέμουσι τὴ φωνὴν τῆς βροντῆς, ὡσὰν νὰ αἰσθάνωνται κάποιαν τοῦ Θεοῦ ἀγανάκτησιν. πολλῷ μᾶλλον ἡμεῖς οἱ λογικοὶ ἄνθρωποι, πρέπει νὰ τρομάζωμεν τὴν βροντὴν καὶ τὴν Θεϊκὴν ἀγανάκτησιν, καὶ νὰ συςελλώμεθα ἀπὸ τὴν κακίαν; (2)

8 : „ Ἀ.

τοῦ ὑπερείδοντος; καὶ τίνος ἐκεῖνο πάλιν; οὐδὲ γὰρ ὁ λόγος ἡμῶν ἔχει ἐφ' οὗ ἐρεισθῇ, πλὴν τοῦ θείου θελήματος. ὁ δὲ Χρυσόςομός φησι· „ Ποίαν ἀσφάλειαν ὦ Προφῆτα, ὅπου τοσοῦτον ὕδωρ ὑπόκειται; οὕτως οὐκ ἀσφαλὴς, ἀλλὰ σαθρὸς θεμέλιος· τίς οὖν ἡ ἀσφάλεια; ἡ δύναμις τοῦ ἐργασαμένου· ὁ ὅρος τοῦ Ποιητοῦ· τὸ θέλημα τοῦ Θεοῦ· τὸ πάντων ἰσχυρότερον· ὁ δὲ Γρηγόριος ὁ Θεολόγος· „ Διὰ τοῦτο οὐδ' εἶπεν ὁ θεμελιώσας, ἀλλ' ὁ θεμελιῶν· ὥσπερ οὐδ' ὁ ποιήσας τοὺς Ἀγγέλους, ἀλλ' ὁ ποιῶν· ὅπερ δηλοῖ τὴν τῶν πεποιημένων οἰκονομίαν καὶ συντήρησιν, ἅπαξ ἡδρασμένων τε καὶ γενομένων· τοιοῦτον καὶ τὸ ςερεοῦσθαι βροντὴν καὶ κτίζεσθαι πνεῦμα, ὧν ἅπαξ μὲν ὁ λόγος ὑπέςη, συνεχὴς δὲ καὶ νῦν ἡ ἐνέργεια· λέγει δὲ ὁ Ἰσίδωρος· „ Οὐκ ἐναντίον τὸ, ὁ ποιῶν αὐτὴν τρέμειν, καὶ τὸ, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα· οὐ κλιθήσεται μὲν γὰρ, σαλευθήσεται δέ· τῷ μὲν τρόμῳ, τὴν δουλείαν ὁμολογοῦσα, τῷ δὲ μὴ ἐξίςασθαι τῆς οἰκείας τάξεως, τὸν θεῖον ὅρον μηνύουσα· καὶ ὁ Θεοδώριτος· „ Αὐτὴν γὰρ ἐφ' ἑαυτὴν ἑδράσας, δέδωκεν αὐτῇ τὸ ἀκίνητον· καὶ τοῦτον διαμένει τὸν τρόπον, ἐφ' ὅσον ἂν αὐτὸς ἐθελήσῃ· οὕτω καὶ ἀλλαχοῦ φησι· „ Κρεμῶν γῆν ἐπ' οὐδενός. (Ἰώβ. κϛ'. 6.)

(1) Κατὰ δὲ τὸν Θεοδώριτον καὶ ἄλλους, τὸ αὐτοῦ νοεῖται ἀντὶ τοῦ αὐτῆς: τῆς γῆς δηλαδή· κατὰ τὴν συνήθειαν τῆς Ἑβραϊκῆς γλώσσης, ἥτις μεταχειρίζεται τὰ ἀρσενικὰ ἀντὶ θηλυκῶν· ὅθεν καὶ ὁ Ἀκύλας ἐξέδωκεν· „ Ἄβυσσον ὡς ἔνδυμα περιέβαλες αὐτήν: τὴν γῆν δηλαδή.

(2) Κατὰ δὲ τὸν Ἀθανάσιον· „ Ἢ τάχα καὶ τὰς βροντὰς διὰ τοῦτο γεγενῆσθαί φησι, πρὸς τὸ φόβον τινὰ λαμβάνειν τῆς ἀβύσσου τὰ ὕδατα, κατά τινας ἀντιπαθείας, ἡμῖν ἀλήπτους· ἐπὶ γὰρ τῇ ἐλλάμψει τῆς ἀςραπῆς καὶ τῷ

8: „Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνου-„σι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίω-„σας αὐτοῖς. (1)

Τὰ μὲν βουνὰ, λέγει, ἀναβαίνουσιν: ἤγουν εἶναι ὑψηλά· τὰ δὲ παιδία: ἤγουν οἱ κάμποι καταβαίνουσιν: ἤτοι εἶναι χαμηλοὶ, καὶ οὕτω μένουν καὶ τὰ βουνὰ καὶ οἱ κάμποι εἰς τὸν τόπον ἐκεῖνον, τὸν ὁποῖον ἐδιώρισας εἰς αὐτὰ Κύριε. ἀνίσως δὲ νοήσῃς τὸ ῥητὸν διὰ τὰ ὕδατα τῆς θαλάσσης, ἤξευρε, ὅτι τὰ κύματα τῆς θαλάσσης ἀναβαίνουσιν: ἤγουν ὑψώνονται ὡσὰν τὰ βουνά· καὶ καταβαίνουσιν: ἤγουν ταπεινοῦνται καὶ χαμηλόνουσιν, ὡσὰν οἱ κάμποι κατὰ τὸν Θεοδώρητον· ἐλλείπει γὰρ τὸ, ὡς, καὶ εἰς τὰ ὄρη καὶ εἰς τὰ πεδία· καὶ πρέπει νὰ ὑπακούηται ἔξωθεν.

9: „Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, „οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Οὔτε τὰ βουνὰ, λέγει, οὔτε τὰ κύματα τῆς θαλάσσης, δὲν ὑπερβαίνουν τὸ σύνορον, ὁποῦ ἔβαλες εἰς αὐτὰ Κύριε, τὸ ὁποῖον εἶναι τὸ θεῖόν σου πρόσαγμα καὶ θέλημα· τοῦτο γὰρ εἶναι ὁποῦ συνέχει αὐτὰ οὐδὲ θέλουν μετακινηθοῦν ἀπὸ τὴν φυσικὴν τάξιν τους, ὥςε ὁποῦ νὰ σκεπάσουν τὴν γῆν τὰ μὲν βουνὰ μετακυλιόμενα ἐπάνω εἰς αὐτὴν, τὰ δὲ κύματα τῆς θαλάσσης, εὐγαίνοντα καὶ καταποντίζοντα αὐτήν. (2).

10: „Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν· ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Σὺ Κύριε, λέγει, ἀναβλύζεις τὰς βρύσεις μέσα εἰς τοὺς φάραγγας καὶ τὰ λακκώματα, διὰ νὰ πίνουν τὰ ζῶα τὰ ἐν αὐτοῖς εὑρισκόμενα· ἀνάμεσα δὲ εἰς τὰ βουνὰ διαπερῶσιν οἱ ποταμοί. (3)

11: „Πο-

τῷ ἤχῳ τῆς βροντῆς, οὐ μόνον ἄνθρωποι καταπτήσσουσιν, ἀλλὰ ϗ ὄρνεα, ϗ θηρία, ϗ τὰ ἐν ὕδασι διαιτώμενα φυσικῷ τινι λόγῳ συςέλλονται· (διὰ τοῦτο βλέπομεν ϗ ὅταν γίνωνται βροχαὶ πολλαὶ ϗ φορτοῦναι, ἐπικρατοῦντος νότου, ἐὰν γένῃ βροντὴ, μεταβάλλεται ὁ καιρὸς, ϗ ἡ βροχὴ παύει, ϗ ἡ τῆς θαλάσσης φορτοῦνα· ταύτην δὲ τὴν μεταβολὴν οἱ ναῦται συνειθίζουν νὰ ὀνομάζουν Προβέντζαν.) λέγει δὲ ὁ μέγας Βασίλειος· „Ἀποτελεῖ δὲ τοὺς κατὰ τὰς βροντὰς ψόφους, πνεῦμα ταῖς κοιλότησι τῶν νεφελῶν ἐναπολαμβανόμενον, ϗ βιαίως ἐκρηγνύμενον· ὁ δὲ Θεοδώριτος· „Καθάπερ φησιν, ἡμεῖς τὴν βροντὴν καταπτήσσομεν, οὕτω ϗ ἡ θάλασσα τὸν κείμενον δέδιεν ὅρον.

(1) Ἐν ἄλλοις αὐτά.

(2) Ὅθεν ϗ ὁ Ἀθανάσιος περὶ τῶν κυμάτων νοεῖ τὰ λόγια ταῦτα λέγων: „Ὑψούμενα γὰρ (τὰ κύματα) παρεικασθείη ἂν ὄρεσιν· ἀλλ' ἁπλούμενα πάλιν ὑπὸ τοῦ σοῦ προςάγματος, οἱονεὶ πεδιὰς ϗ ὁμαλὴ γίνεται γῆ· λέγει δὲ ὁ Εὐσέβιος· „Ἐθεμελίωσας αὐτοῖς τόπον, ὃν οὐχ οἷόν τε ὑπερβαίνειν· διὸ οὐδὲ ἐπικλῦσαι δύνανται τὴν γῆν διὰ τὸ τεθὲν αὐτοῖς ὅριον, τὸ πρόςαγμα τὸ λέγον· „Μέχρι τούτου ἐλεύσῃ ϗ οὐχ ὑπερβήσῃ· ἀλλ' ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα· (Ἰώβ. λη'. 11.) ὁ δὲ Θεολόγος Γρηγόριος λέγει· „Τί τὸ συνάγον τὴν θάλασσαν; τί τὸ δῆσαν; πῶς ἐπαίρεταί τε ϗ ἵςαται, ὥσπερ αἰδουμένη τὴν γείτονα γῆν; πῶς ϗ δέχεται ποταμοὺς ἅπαντας, ϗ ἡ αὐτὴ διαμένει διὰ πλήθους περιουσίαν; ἢ οὐκ οἶδ' ὅ, τι χρὴ λέγειν; ϗ ὁ Χρυσόςομος· „Ἢ ἐμὲ οὐ φοβηθήσεσθαι, λέγει Κύριος. τὸν τιθέντα ἄμμον ὅριον τῇ θαλάσσῃ; τῷ ἀσθενεςάτῳ πάντων τῇ ψάμμῳ, ἡ ταῖς βίαις ἀφόρητος χαλινοῦται, ϗ τῷ ὅρῳ τῷ θείῳ πεδεῖται· ὅρος δὲ, οὐδὲν ἕτερόν ἐςιν, ἀλλ' ἢ γνώρισμα τόπου· ὅθεν βουλόμενος ὁ Προφήτης δεῖξαι, ὅτι οὐ τὸ ἰσχυρὸν τοῦ τειχίου, ἀλλὰ τὸ πρόςαγμα τοῦ Θεοῦ τὰ ὕδατα αἰδούμενα ἐπανάγουσιν, ὅριον τοῦτο ἐκάλεσε.

(3) Λέγει δὲ ὁ Χρυσόςομος· „Οὐ τῶν ὀρέων καρποί εἰσιν αἱ πηγαί· ἀλλὰ τοῦ κάτωθεν αὐτὰς ἀναβλύζειν παρασκευάζοντος εἰς χρείαν τῶν ἐν αὐτοῖς ζώων· διὰ τοῦτό φησιν, ὁ ἐξαποςέλλων, τὸ εὔκολον κἀνταῦθα δηλῶν· ὥσπερ γὰρ ὁ τὸ ὂν ἀποςέλλων πολλὴν ἔχει τὴν εὐκολίαν· οὕτω ϗ αὐτὸς ἐξ οὐκ ὄντων ταῦτα ἐργασάμενος· διὸ καὶ Παῦλος ἔλεγε τὴν εὐκολίαν δηλῶν· „Ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα· ἄλλοι δὲ τροπολογικῶς λέγουσιν, ὅτι ὁ Θεὸς ἐξαποςέλλει πηγὰς δακρύων εἰς τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων, οἵτινες ὀφθαλμοὶ εἶναι βαθουλωτοὶ, ϗ ὡσὰν φάραγγες κατασκευασμένοι.

11 : „ Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀ-
„ γροῦ· προσδέξονται ὄναγροι εἰς
„ δίψαν αὐτῶν.

Η' αἰτία, λέγει, διὰ τὴν ὁποίαν ἀναβλύζεις τὰς βρύσεις καὶ κάμνεις νὰ τρέχουν οἱ ποταμοὶ διὰ μέσου τῶν βουνῶν, εἶναι διὰ νὰ ποτίζωνται ὅλα τὰ ζῶα τόσον τὰ ἥμερα, ὅσον καὶ τὰ ἄγρια· ὅθεν καὶ οἱ ἄγριοι γαϊδάροι θέλουν δεχθοῦν τὰ νερὰ ταῦτα, διὰ νὰ χορτάσουν τὴν δίψαντους· ὁ γὰρ ἀγριογαΐδαρος εἶναι ζῶον κατάξηρον, ὁποῦ πολλὰ διψᾷ κατὰ τὸν Θεοδώριτον. καθὼς καὶ ὁ Ἱερεμίας διηγούμενος διὰ τὴν ἀνομβρίαν λέγει περὶ αὐτοῦ· „ Ὄνοι ἄγριοι ἔστησαν ἐπὶ νάπας καὶ εἵλκυσαν ἄνεμον. (Ἱερ. ιδ'. 6.) ἕλκουσι δὲ τὸν ἄνεμον, ἵνα μὲ αὐτὸν καταψυχήσουν ὀλίγον τὴν δίψαντους, μὲ τὸ νὰ μὴν εὑρίσκουν νερόν. (1)

12 : „ Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ
„ κατασκηνώσει.

Κοντὰ, λέγει, εἰς τὰ νερὰ καὶ εἰς τὰς ἄκρας τῶν ποταμῶν, θέλουν κατοικήσουν τὰ πουλία: ὅσα δηλαδὴ ἀγαποῦν τὰ νερὰ, καθὼς εἶναι ἡ χήναις, ἡ πάπιαις, καὶ ἄλλα ὅμοια.

„ Ἐκ μέσου τῶν πετρῶν δώσουσι φω-
„ νήν.

Τὰ νερὰ, λέγει, ὁποῦ εὐγαίνουν ἀπὸ τὰς πέτρας, αὐτὰ θέλουν δώσουν φωνήν· διατὶ αὐτὰ κάμνοντα ἦχον μὲ τὸ ὀγλίγωρον τρέξιμόν τους, τὰ μὲν ζῶα σχεδὸν προσκαλοῦσιν εἰς τὸ νὰ ὑπάγουν νὰ πίουν· τοὺς δὲ ἀνθρώπους παρακινοῦν νὰ ὑμνοῦσι τὸν Θεὸν, ὅς τις μέσα ἀπὸ τὰς ξηρὰς πέτρας ἀναβλύζει πλουσίως τὴν ὑγρὰν φύσιν τοῦ νεροῦ. (2)

13 : „ Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐ-
„ τοῦ.

Σὺ, λέγει, Κύριε, ποτίζεις τὰ βουνὰ ἀπὸ τὰς νεφέλας· ταύτας γὰρ ὀνομάζει ὑπερῷα. ἀνίσως δὲ τὰ βουνὰ ποτίζωνται, φανερὸν ὅτι καὶ οἱ κάμποι

---

(1) Ὁ δὲ Ἡσύχιος τροπολογικῶς ἑρμηνεύει τὸ ῥητὸν τοῦτο λέγων· „ Θηρία τοῦ ἀγροῦ: τουτέςι τοῦ κόσμου, τοὺς ἁμαρτωλοὺς καλεῖ· ἐπειδὴ καθάπερ τὰ ἐν ἀγρῷ θηρία χειροήθη γενέσθαι δύναται, οὕτω καὶ οἱ ἁμαρτωλοὶ μεταβληθῆναι· διόπερ καὶ ποτίζεται τοῖς προφητικοῖς ὕδασιν· ὀνάγρους δὲ τοὺς μηκέτι νωτοφοροῦντας τὴν ἁμαρτίαν ἐκάλεσεν, ἐλευθερωθέντας δὲ αὐτῆς· διόπερ αὐτοὺς καὶ διψῶντας τῶν νοητῶν ὑδάτων εἰσήγαγε· τούτους ὁ Θεὸς πρὸς τὸν Ἰὼβ ἠνίξατο· „ Τίς δέ ἐςιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον; δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν; (Ἰὼβ. λθ'. 5.) λέγει δὲ ὁ Αἰλιανός (Βιβλ. ιδ'. κεφ. 1. περὶ ζώων ἰδιότητος) ὅτι ἡ τῶν Μαυρουσίων ὄναγροι εἶναι ταχύτατοι εἰς τὸ τρέξιμον τόσον, ὁποῦ φαίνονται πῶς εἶναι πτερωτοί· ὀγλίγωρα δὲ ἀποκάμνουσιν· ὅθεν ςέκουν ἀκίνητοι, ὡσὰν νὰ ἦτον δεδεμένοι· εὐγάνουσι δὲ ἀπὸ τὰ ὀμμάτιάτων δάκρυα θολερὰ, ὄχι τόσον διατὶ ἔχουν νὰ θανατωθοῦν ἀπὸ τοὺς κυνηγοὺς, ὅσον διὰ τὴν ἀσθένειαν τῶν ποδῶν τους· οἱ δὲ κυνηγοὶ βαλόντες σχοινίον εἰς τὸν λαιμόν τους, καὶ δέσαντες αὐτοὺς ὀπίσω τῶν ἵππωντους, τραβίζουν αὐτοὺς ὡς αἰχμαλώτους. Μαυρούσιοι δὲ εἶναι οἱ νῦν καλούμενοι Μῶροι.

(2) Ἔφη δὲ ὁ Χρυσορρήμων· „ Τινὲς τοῦτο (τὸ ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνὴν) περὶ τῶν ὀρνίθων γεγράφθαι λέγουσιν, οἷον περδίκων, ἢ ἑτέρων τινων τῶν τοιούτοις ἐμφιλοχωρούντων τόποις· τινὲς δὲ τὰ ὕδατα νοοῦσι, τὰ ἐν μέσῳ τῶν πετρῶν ἠχοῦντα· καὶ γὰρ πάνυ τερπνὸν, κελαρύζοντας χειμάῤῥους ἰδεῖν, καὶ ἠρέμα ὕδωρ ψοφοῦν καὶ ταῖς ψηφίσιν ἐγκροῦον, καὶ ζέφυρον πνέοντα, καὶ διὰ τῶν φύλλων συρίζοντα· πόσης ταῦτα μουσικῆς οὐ βελτίω; ποίας λύρας; ποίας κιθάρας; καὶ μάλα εἰκότως· οὐ γὰρ ἐκ νευρῶν τέχνης ἀνθρωπίνης, ἀλλ' ἀπὸ ςοιχείων καὶ τῆς τοῦ Θεοῦ σοφίας ἡ ἁρμονία· δίδωσι δὲ τὰ ὕδατα φωνὴν, ἵνα μὴ ἁπλῶς πορευόμενα ἡσυχῆ, λανθάνῃ πολλάκις τὰ πολλὰ τῶν ἀλόγων· διὰ τοῦτο γὰρ ἦχον αὐτὰ προσέταξεν ἀποτελεῖν· ἵνα πόῤῥωθεν οἷον προσκαλῆται τὰ πρὸς τὴν χρείαν ἐπειγόμενα ζῶα.

σοι, καὶ ὅλη ἁπλῶς ποτίζεται ἡ γῆ, ὅταν συμμέτρως ἄνωθεν δίδωνται παρὰ Θεοῦ διὰ τῶν νεφελῶν ἡ βροχαῖς. (1).

„ Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὅλη ἡ γῆ, λέγει: ἤγουν τὰ ἐκ τῆς γῆς καὶ ἐπὶ γῆς ζῶα, θέλουν χορτάσουν ἀπὸ τοὺς καρποὺς τῶν ἔργων σου. οὕτω δὲ ὀνομάζει ὅλους τοὺς καρποὺς τῆς γῆς, ὄχι μόνον καθὸ βλασάνουν μὲ τὴν προσαγὴν τοῦ Θεοῦ· ἀλλὰ καὶ καθὸ οἱ τόποι, ὁποῦ γεννοῦν τοὺς τοιούτους καρποὺς, ἐργάσθησαν καὶ ἐκτίσθησαν ἀπὸ τὸν Θεόν. μερικοὶ δὲ, ὡς ὁ Εὐσέβιος, τὸ μὲν, ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων, ἐνόησαν, ὅτι λέγεται διὰ μόνα τὰ βουνά· τὸ δὲ παρὸν ῥητὸν ἐννοοῦσιν, ὅτι λέγεται καὶ διὰ τὴν ἄλλην γῆν, ὅτι θέλει ποτισθῇ καὶ αὐτὴ ἀπὸ τὸν καρπὸν τῶν ἔργων τοῦ Θεοῦ: ἤτοι ἀπὸ τὴν βροχήν. ἥτις εἶναι ὡσὰν ἕνας καρπὸς τῶν οἰκονομιῶν τοῦ Θεοῦ, κατὰ τὰς ὁποίας ὁ Θεὸς ἐργάζεται καὶ συνάγει τὰς νεφέλας ἐκ τῶν ἀτμῶν τῆς θαλάσσης, καὶ τῶν λιμνῶν, καὶ τῶν ποταμῶν, καὶ ὅλου τοῦ σοιχείου τοῦ ὕδατος. (2)

14 „ Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Ἐδῶ λέγει ὁ Δαβὶδ τὴν χρείαν, διὰ τὴν ὁποίαν γίνονται ἡ βροχαῖς. χορτάρι μὲν οὖν ὀνομάζουν μερικοὶ, ἐκεῖνο ὁποῦ βλασάνει εἰς τοὺς ἀγεωργήτους τόπους καὶ τὰ λιβάδια· χλόην δὲ, ἐκείνην ὁποῦ βλασάνει εἰς γεωργουμένους τόπους· καὶ τὸ μὲν χορτάρι ἐδόθη νὰ τὸ τρώγουν τὰ ἐλεύθερα καὶ ἄγρια κτήνη τὰ χορτοφάγα· τὴν δὲ χλόην ἐδόθη νὰ τὴν τρώγουν τὰ ζῶα, ὁποῦ δουλεύουν καὶ ὑπηρετοῦν τοὺς ἀνθρώπους: ἤγουν τὰ βόδια, τὰ ἄλογα, οἱ γαϊδάροι, τὰ πρόβατα, τὰ κατζίκια, καὶ τὰ ὅμοια ἄλλα· ταῦτα γὰρ ὅλα ὠνομάσθησαν ἀπὸ τὸν Δαβὶδ δουλεία τῶν ἀνθρώπων· διατὶ δουλεύουν εἰς τοὺς ἀνθρώπους καὶ ὑπηρετοῦν εἰς διαφόρους χρείας αὐτῶν, κατὰ τὸν Χρυσόσομον καὶ Θεοδώριτον. Μερικοὶ δὲ πάλιν ἄλλως ἐξήγησαν· καὶ χορτάρι μὲν ἐνόησαν ἐκεῖνο, ὁποῦ δὲν κάμνει κανένα καρπὸν χρήσιμον εἰς τροφὴν τῶν ἀνθρώπων· χλόην δὲ ἐκείνην, ὁποῦ κάμνει καρπὸν χρήσιμον εἰς τροφὴν τῶν ἀνθρώπων. καὶ τὸ μὲν χορτάρι βλασάνει διὰ τροφὴν τῶν κτηνῶν· ἡ δὲ χλόη βλασάνει διὰ τοὺς ἀνθρώπους, καὶ διὰ τὴν δουλείαν τῶν ἀνθρώπων· καθότι ἡ γῆ δουλεύει εἰς τοὺς ἀνθρώπους, διὰ τοὺς ὁποίους καὶ ἔγινε. (3)

„ Τοῦ

(1) Κατὰ μὲν τὸν Χρυσόσομον· „ Τινὲς λέγουν, ὅτι ἐξ ἐκείνου τοῦ ὑπερουρανίου ὕδατος ἀποῤῥήτως ϗ ἡμῖν ἀφανῶς ὄμβροι γίνονται (καθὼς ϗ ὁ Μητροφάνης Σμύρνης διϊσχυρίζεται ἐν τῇ ἑρμηνείᾳ τῆς Β΄. τοῦ Πέτρου ἐπισολῆς, ὅτι τὸ τοῦ κατακλυσμοῦ ὕδωρ ἐξ ἐκείνου τοῦ ὕδατος γέγονε) τοῦτο γάρ ἐσιν ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἐπεὶ ϗ ἀρχόμενος ἔλεγεν· „ Ὁ σεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ: τοῦ οὐρανοῦ δηλαδή· κατὰ δὲ τὸν Εὐσέβιον· Ὑπερῷά ἐσιν ὁ ἀήρ· λέγει γάρ· „ Εἰμήτῳ φίλον ὑπερῷα Θεοῦ, ὡς παρ' αὐτοῦ πεποιημένα τὸν ἀέρα νοεῖν τοῖς νέφεσι περιβαλλόμενον· ὁ δὲ Ἡσύχιος· „ Ὄρη ἀναγωγικῶς ἐννοεῖ τοὺς Προφήτας, οἵτινες οὐκ ἀφ' ἑαυτῶν, ἀλλ' ἐξ οὐρανῶν (οὓς ὁ Θεὸς ὑπερῷα τῆς κτίσεως ἔθετο) ἔχουσι τὴν χορηγίαν τοῦ Πνεύματος.

(2) Ὁ δὲ Χρυσόσομος λέγει· „ Τινὲς μὲν οὖν τὸν ὑετὸν καρπὸν τῶν ἔργων τοῦ Θεοῦ νομίζουσιν· ἐγὼ δὲ οὐ τοῦτον μόνον φημι, ἀλλὰ ϗ ἥλιον ϗ ἀέρα ϗ τροπὰς ϗ ὥρας· ἂν γὰρ μὴ πάντων ἐμπλησθῇ τούτων ἡ γῆ, οὐκ ἂν δύναιτο πρὸς ἀκμὴν τὸν καρπὸν ἀγαγεῖν· ὁ δὲ Ἡσύχιος ἔργα τοῦ Θεοῦ φησιν, οὐ μόνα τὰ δημιουργήματα, ἀλλὰ ϗ τὰ σημεῖα ϗ θαύματα, ὧν καρπὸς τὸ Εὐαγγέλιον, ἐξ οὗ τὸν ἄνθρωπον θεογνωσίᾳ ἐχόρτασε· τὸ αὐτὸ λέγει σχεδὸν ϗ ὁ Εὐσέβιος.

(3) Λέγει δὲ ὁ Νύσσης Γρηγόριος· „ Ἐνταῦθα καλὸν εἰπεῖν πρὸς τὸν τοὺς ὁμογενεῖς καταδουλούμενον· μία δουλεία τῶν ἀνθρώπων, τὰ ἄλογα· σοὶ δὲ ταῦτα ὀλίγα· διὸ τὴν φύσιν δουλείᾳ ϗ κυριότητι σχίσας, αὐτὴν ἑαυτῇ δου-

„ Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.

Ἡ γῆ, λέγει, θέλει χορτάσει ἀπὸ τὴν βροχὴν, διατί, διὰ νὰ βλαστήσῃ σιτάρι, καὶ διὰ τοῦ σιταρίου νὰ γεννήσῃ ἄρτον, τὸν ἐκ τοῦ σιταρίου κατασκευαζόμενον. (1)

ιε : „ Καὶ οἶνος εὐφραίνει καρδίαν ἀν-
„ θρώπου.

Καὶ ὁ οἶνος, λέγει : ἤγουν τὸ κρασὶ, εὐφραίνει τὴν καρδίαν τοῦ ἀνθρώπου, ἀναπαύων, τρέφων, θερμαίνων, καὶ χαροποιῶν αὐτήν. καρπὸς δὲ εἶναι καὶ τὸ κρασὶ τῆς γῆς. διατὶ ἀπὸ τὴν γῆν βλαστάνει ἡ ἄμπελος. ἀπὸ δὲ τὸν καρπὸν τῆς ἀμπέλου ὁ οἶνος κατασκευάζεται. (2)

„ Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ.

Ἡ γῆ, λέγει, χορταίνει ἀπὸ τὴν βροχὴν, διὰ νὰ ποτισθοῦν αἱ ἐλαῖαι· καὶ ἐκ τῶν ἐλαιῶν νὰ γένῃ τὸ ἔλαιον, τὸ ὁποῖον ἀπαλύνει καὶ φαιδρὸν δείχνει τὸ σκληραγωγηθὲν πρόσωπον τοῦ ἀνθρώπου ἐκείνου, ὁποῦ τὸ τρώγει, ἢ τὸ ἀλείφεται·

„ Καὶ ἄρτος καρδίαν ἀνθρώπου στη-
„ ρίζει.

Τὸ μὲν κρασὶ εὐφραίνει καὶ χαροποιεῖ τὴν καρδίαν τοῦ ἀνθρώπου· ὁ δὲ ἄρτος : ἤτοι τὸ ψωμὶ στηρίζει καὶ δυναμόνει αὐτὴν, ὅταν ἦναι ἀποκαμωμένη ἀπὸ τοὺς κόπους καὶ πεῖναν· καρπὸς δὲ τῆς γῆς εἶναι καὶ τὸ ψωμί· διότι ὁ Θεὸς ὡς δημιουργὸς ὅλων τῶν κτισμάτων, ὅλα τὰ προνοεῖται, καὶ ἄλογα καὶ λογικὰ, καὶ ἔμψυχα καὶ ἄψυχα· διὰ τοῦτο γὰρ χορταίνει τὴν γῆν ἀπὸ τὴν βροχὴν, ἵνα ἡ γῆ παχυνθεῖσα καὶ δυναμωθεῖσα, βλαστήσῃ τὴν ἁρμοδίαν τρο-

---

δουλεύειν καὶ κυριεύειν ἐποίησας, τὸν καθ' ὁμοιότητα Θεοῦ ὄντα καὶ πάσης γῆς ἄρχοντα· τίς ὁ ἀπεμπολῶν; τίς ὁ ὠνούμενος; μόνου Θεοῦ τὸ δυνηθῆναι τοῦτο· μᾶλλον δὲ, οὐδὲ αὐτοῦ τοῦ Θεοῦ· ἀμεταμέλητα γὰρ αὐτοῦ τὰ χαρίσματα· εἰδὲ ὁ Θεὸς οὐ δουλοῖ τὸ ἐλεύθερον, τίς ὁ ὑπερτιθεὶς τοῦ Θεοῦ τὴν ἑαυτοῦ δυναστείαν; εἶπε δὲ καὶ ὁ Θεολόγος Γρηγόριος· „ Πλὴν ἀρκεῖ δουλεύειν τοῖς ἐλευθέροις· καὶ τοσοῦτον εἶναι τὸ διάφορον, ὥστε τοῦ αὐτοῦ χοὸς τὸ μὲν, κρατεῖν· τὸ δὲ, ἄρχεσθαι· μὴ βαρυνέσθω δὲ ὁ ζυγὸς, μηδὲ τῆς πρώτης ἡμῶν ἁμαρτίας τὸ ἐπιτίμιον.

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Τίνος χάριν εἰπὼν ὁ Δαβίδ· „ Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, προσέθετο τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς; ὅτι τὸ αὐτὸ σπέρμα κοινὴ γίνεται ἐδωδὴ καὶ ἀνθρώποις καὶ ἀλόγοις· σκόπει δέ· καταβάλλεται σῖτος, τέως μὲν ἀνθρώπων τροφὴ μόνον· ἐπειδὰν δὲ βλαστήσῃ, ἄνεισι καὶ τὴν τῶν ἀλόγων τροφήν· ὥσπερ γὰρ αὐτὸ τὸ εἶναι δι' ἡμᾶς ἔλαβε τὰ ζῶα· οὕτω καὶ ἡ τροφὴ αὐτῶν, ἐκ τῆς ἡμετέρας τροφῆς ἔχει τὴν ἀρχήν. ὁ δὲ μέγας Βασίλειος λέγει· „ Πρῶτον μὲν βλάστησις, εἶτα βοτάνη καὶ χλόη, εἶτα χόρτου αὔξησις, ἔπειτα ἡ τοῦ σπέρματος τελείωσις· ὁ δὲ Ἡσύχιος· „ Γῆν ἐννοεῖ τὸ κυριακὸν σῶμα· ἐκεῖθεν γὰρ τὸν ἄρτον τὸν μυστικὸν ἐξήγαγεν.

(2) Λέγει δὲ ὁ θεῖος Κύριλλος· „ Φυσικὸν μὲν καὶ νηφάλιον ποτὸν ἀναγκαῖον διψῶσίν ἐστι τὸ ὕδωρ· ὁ δὲ οἶνος, χρήσιμον· κιρνᾶσθαι δὲ ἄριστον ὕδατι πλείστῳ τὸν οἶνον· θερμὸς γὰρ ὢν, καὶ χυμοὺς ἔχων ἡδεῖς, κεκραμένως ἐμμελῶς, τὰ μὲν αἰσχρὰ τῶν περιττωμάτων διατήκει θερμότητι· τοὺς δὲ δρυμεῖς καὶ φαύλους χυμοὺς ταῖς εὐωδίαις κεράννυσιν· εὖ γοῦν ἐκεῖνο εἴρηται· „ Ἀγαλλίαμα ψυχῆς καὶ εὐφροσύνη καρδίας, οἶνος ἔκτισται ἀπ' ἀρχῆς πινόμενος ἐν καιρῷ αὐτάρκης· πικρία δὲ ψυχῆς οἶνος πινόμενος πολὺς ἐν ἐρεθισμῷ καὶ ἀντιπτώματι· (Σειρ· λα'. 33.) ὁ δὲ Χρυσόστομος λέγει· „ Οὐ γὰρ εἶπε τρέφει σῶμα· καίτοι καὶ τοῦτο ποιεῖ· ἀλλὰ δεικνὺς διπλῆν αὐτοῦ τὴν ἐνέργειαν φησίν· „ Εὐφραίνει καρδίαν· ἔφη δὲ καὶ ὁ Ἰσίδωρος· „ Ὁ οἶνος φάρμακον καὶ παραμυθία τις γίνεται μετρίως πινόμενος, καὶ πρὸς τὴν χρείαν τοῦ σώματος· ὁ δὲ ταύτης ἐπέκεινα, ἄσωτος καὶ ὑβριστὴς, καὶ ἀκόλαστος κέκληται· „ Ἀκόλαστον γὰρ οἶνος καὶ ὑβριστικὸν μέθη (Παρ. κ'. 1.) ὥστε ἐὰν τὸν ὅρον ἐξέλθῃς καὶ μὴ μέτρῳ πίνῃς, τὸ φάρμακον δηλητήριον γέγονε· λέγει δὲ καὶ ὁ Ἡσύχιος· „ Οἶνος ὁ μυστικὸς εὔδηλον· ὅθεν οὐδὲ τὸ σῶμα, ἀλλὰ καρδίαν εὐφραίνει· ἔχει γὰρ ἁμαρτημάτων ἄφεσιν. (τῶν συγγνωστῶν δηλαδὴ) ἐφ' ᾧ μάλιστα ἡ καρδία τῶν ἀνθρώπων εὐφραίνεται.

τροφὴν εἰς ὅλα τὰ ζῶα. (1)

16: „ Χορτασθήσονται τὰ ξύλα τοῦ πε„ δίου· αἱ κέδροι τοῦ λιβάνου, ἃς „ ἐφύτευσας.

Απὸ τὴν βροχὴν, λέγει, ὁποῦ ἔχει νὰ χορτάσῃ ἡ γῆ, ἀπὸ αὐτὴν ἔχουν νὰ χορτάσουν καὶ νὰ χλοηφορήσουν καὶ ὅλα τὰ φυτὰ τῆς γῆς, καὶ τὰ διάφορα δένδρα. ὁμοίως καὶ οἱ κέδροι τοῦ βουνοῦ τοῦ καλουμένου λιβάνου. διὰ μέσου δὲ τῶν κέδρων, οἱ ὁποῖοι εἶναι δένδρα πλέον ὀνομαστὰ, ἐφανέρωσεν ὁ Δαβὶδ καὶ ὅλα τὰ διάφορα δένδρα, τὰ ὁποῖα ἐφύτευσας, λέγει, ἐσὺ Κύριε, μὲ τὴν προσαγήν σου. (2)

17: „ Ἐκεῖ στρουθία ἐννοσσεύσουσι· τοῦ „ Ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Επάνω, λέγει, εἰς τὰ φυτὰ καὶ δένδρα καὶ κέδρους, θέλουν κατασκευάσουν τὰ μικρὰ πουλάκια τὰς φωλεάς των. διὰ μέσου δὲ τῶν μικρῶν πουλακίων, νόησον σὺ ἀγαπητὲ, καὶ τὰ λοιπὰ πουλία· ἐπειδὴ τὰ δένδρα δὲν εἶναι μόνον εἰς τοὺς ἀνθρώπους χρήσιμα, ὕλην διδόντα εἰς κατασκευὴν οἰκιῶν καὶ καραβίων, ἀλλὰ εἶναι χρήσιμα καὶ εἰς τὰ πουλία, διὰ νὰ πετοῦν εἰς αὐτὰ, διὰ νὰ κάθωνται ἐπάνω νὰ κελαδοῦν, καὶ διὰ νὰ κατασκευάζουν ἐπάνω εἰς αὐτὰ τὰς φωλεάς των. τὸ δὲ πουλίον τὸ ὀνομαζόμενον Ἐρωδιὸς, αὐτὸ πρῶτον ἀπὸ τὰ ἄλλα, κατασκευάζει ἐπάνω εἰς τὰ δένδρα τὴν φωλεάν του. (3).

18: „ Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέ„ τρα καταφυγὴ τοῖς λαγωοῖς.

Βλέπε ἐδῶ ὦ ἀναγνῶστα, πῶς καὶ τὰ ὑψηλὰ βουνὰ, καὶ ἡ πέτραις εἶναι χρήσιμα· ὅλα γὰρ τὰ ποιήματά του προνοεῖται καὶ φροντίζει ὁ Θεὸς, ἕως καὶ αὐτὰ τὰ μικρότατα καὶ εὐτελέστατα ζῶα· διατὶ ἂν

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Πρότερον μέν τοι τὰ συνεκτικώτερα τῆς ζωῆς ἡμῶν μνήμης ἠξιώθη, ὅσα τοῖς οἰκείοις καρποῖς τὸν ἄνθρωπον δεξιούμενα, ἄφθονον παρασκευάζει τὴν δίαιταν· ἄρτος τὴν ζωὴν παρέχει· οἶνος μετὰ τούτου καὶ παραμυθίαν ἀθυμίας ἐπινοεῖ· τὸ ἔλαιον εὐεκτεῖν παρασκευάζει· καὶ τὴν ἰσχὺν ἐπιτείνει, ἀλειφῇ κεχρημένων ἡμῶν. ὁ δὲ Εὐσέβιος λέγει· „ Ἱλαρύνεται δὲ καὶ φαιδρύνεται τὸ πρόσωπον τοῦ ἔσω ἀνθρώπου ἐλαίῳ τῷ θρεπτικῷ τοῦ θείου φωτὸς, καὶ λύοντι τὰς νόσους καὶ τοὺς πόνους τῆς ψυχῆς· ἐπινοίᾳ μόνῃ διαφέροντι τοῦ ἀποδοθέντος οἴνου· ὁ γὰρ τοῦ Θεοῦ λόγος, ὥσπερ ἄμπελος, οὕτω καὶ ἐλαία ἐστι· ἐγώ φησιν, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· ἡ γὰρ αὐτοῦ διδασκαλία κατὰ διάφορον σχέσιν οἶνός τε καὶ ἔλαιόν ἐστι καὶ ἄρτος. ἔφη δὲ καὶ ὁ Ἡσύχιος· „ Ἐν τῷ χαρίσματι τῆς χορηγίας τοῦ Πνεύματος· ἐν αὐτῷ γὰρ τὰ πρόσωπα τῶν πιστῶν ἱλαρύνεται· ἐπειδὴ ὁ καρπὸς τοῦ Πνεύματος ἀγάπη χαρά· καθὼς ὁ Παῦλός φησι· στηρίζει δὲ ὁ μυστικὸς ἄρτος τὴν καρδίαν, πεποίθησιν αὐτῷ παρέχων, ὅτι σῶμα καὶ ἡμεῖς Χριστοῦ τῇ τοῦ μυστικοῦ σώματος μεταλήψει, γινόμεθα.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Καὶ τὰ ἄκαρπα δένδρα τοῦ Θεοῦ ἐστιν· ὅταν δὲ λέγῃ, ὅτι ἐφύτευσε, τοῦτο δηλοῖ, ὅτι οὐκ ἀνθρώπων πόνος, οὐδὲ ἐπιμέλεια γεωργίας, ἀλλὰ τοῦ Θεοῦ τὸ πρόσταγμα, τὸ ἐξ ἀρχῆς ἐγχειρισθὲν τῇ φύσει τῆς γῆς, τὴν τοιαύτην βλάστησιν αὐτοῖς δίδωσι. ἀλλὰ καὶ ὁ Εὐσέβιος λέγει· „ Ὅτι ὁ Ἑβραῖος καὶ οἱ λοιποὶ, ξύλα τοῦ Κυρίου εἶπον· διὰ τοῦτο, καθὸ αὐτοφυῆ καὶ οὐ χειρόκμητα, ἀλλὰ θείῳ λόγῳ βλαστήσαντα· ξύλα δὲ ἀναγωγικῶς ὁ Ἡσύχιος ἐνόησε· „ Τοὺς μελετῶντας τὸν νόμον ἡμέρας καὶ νυκτός· τοὺς παρὰ τὰς διεξόδους τῶν ὑδάτων ὡς ξύλον πεφυτευμένους· οἵτινες χορτάζουσι θεογνωσίας· κέδρους λιβάνου δὲ τοὺς ἐξ Ἐθνῶν ἡρμήνευσεν, ὧν ὁ λίβανος σύμβολον ὡς γέμων εἰδώλων· οἵτινες φυτευθέντες παρὰ τῷ ἁγίῳ Βαπτίσματι καὶ τὸν νόμον τοῦ Θεοῦ μελετήσαντες, θεογνωσίας χορτάζονται. καὶ ὁ Κύριλλος δὲ λέγει· „ Ὅτι οὐ περὶ ξύλων ὁ λόγος· περὶ ἁγίων δὲ μᾶλλον τῶν ἐρριζωμένων τῇ πίστει καὶ καρποφορούντων ἐν δικαιοσύνῃ. (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(3) Λέγει δὲ ὁ μέγας Ἀθανάσιος· „ Ὅτι ὁ Ἐρωδιὸς κατασκευάζει τὴν φωλεάν του ἐν ταῖς ὑψηλοτάταις ἐλάταις. ὁ δὲ Χρυσόστομος λέγει· „ Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ σοφίας ἔργον, ὅτι οὐ πᾶσι πάντα δένδρα ἐπιτήδεια

ἦν τὰ βουνὰ καὶ ἡ πέτραις δὲν ἐγίνοντο, διὰ νὰ κρύπτωνται τὰ ζῶα εἰς αὐτὰ, βέβαια πρὸ πολλοῦ ἤθελαν ἐκλείψουν τὰ διάφορα γένη καὶ εἴδη τῶν χορτοφάγων ζώων, κατατρωγόμενα ἀπὸ τὰ σαρκοφάγα θηρία. (1)

19: „ Ἐποίησε σελήνην εἰς καιρούς.

Ὁ Θεὸς, λέγει, ἔκαμε τὴν Σελήνην: ἤγουν τὸ φεγγάρι διὰ νὰ φωτίζῃ εἰς τὸν καιρὸν τῆς νυκτός. ὅθεν ἀλλαχοῦ εἶπεν ὁ ἴδιος Δαβίδ· „ Τὴν Σελήνην καὶ τοὺς ἀςέρας εἰς ἐξουσίαν τῆς νυκτός. (Ψαλ. ρλε'. 9)

„ Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ὁ ἥλιος, λέγει, γνωρίζει πότε νὰ βασιλεύσῃ. γνωρίζει δὲ τοῦτο, ὄχι ὡς ἔμψυχος καὶ λογικὸς, ἀλλὰ καθὸ δὲν ὑπερβαίνει τὸν ὅρον, ὁποῦ ἐδιώρισεν ὁ Θεὸς εἰς αὐτὸν, νὰ φαίνῃ μὲν τὴν ἡμέραν, νὰ κρύπτεται δὲ τὴν νύκτα· ἀλλὰ ὡσὰν λογικὸς, ἤξευρει τὴν προςαγὴν τοῦ Θεοῦ κατὰ τὸν Θεοδώριτον· μεταφορικὸν δὲ εἶναι τὸ ἔγνω, μεταφερόμενον ἀπὸ τὰ λογικὰ εἰς τὰ ἄλογα καὶ ἄψυχα. δηλοῖ δὲ ἐδῶ τὸ, ἐνεργεῖ: ἤγουν ὁ ἥλιος ἐνεργεῖ τὴν ἀνατολὴν καὶ τὴν δύσιν του. (2)

20: „ Ἔθου σκότος καὶ ἐγένετο νύξ.

Σὺ

θεια πρὸς καταγωγήν· ἀλλ' ὥσπερ αἱ τροφαὶ τῶν πετεινῶν ϗ αἱ ἐνέργειαι ϗ οἱ βίοι διάφοροι, οὕτω ϗ αἱ οἰκίαι· προσθέττει δὲ ὁ θεῖος Μάξιμος· „ Ὅτι ὁ Ἐρωδιὸς τόσην σωφροσύνην ἔχει, (καθὼς λέγουν οἱ ἱςορικοί) ὥςε ὁποῦ, ὅταν μέλλῃ νὰ συνουσιασθῇ μὲ τὸ θηλυκὸν, πενθεῖ ϗ κλαίει τεσσαράκοντα ἡμέρας· ϗ πάλιν ἀφ' οὗ συνουσιασθῇ, κλαίει ἄλλας τεσσαράκοντα· ἔχει δὲ τὴν φωλεάν του ὑψηλὰ, ὥςε νὰ μὴ σκιάζεται ὑπότινος· παράδειγμα ζωντανὸν τῆς σωφροσύνης, ἡ ὁποία ἡγεῖται ϗ ὑπερέχει πολλῶν ἀρετῶν. ὁ δὲ Ἡσύχιος· „ Στρουθία ὀνομάζει τὰς παρὰ τοῦ Διαβόλου ϗ τῶν αὐτῷ συμπραττόντων διωκομένας ψυχὰς, δι' εὐσέβειαν δυνηθείσας τὰς αὐτοῦ παγίδας διαφυγεῖν· περὶ ὧν ὁ Δαβὶδ εἴρηκεν· „ Ἡ ψυχὴ ἡμῶν ὡς ςρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἐρωδιὸν δὲ ὀνομάζει τὸν Πέτρον· ἐπειδὴ τῷ Χριςῷ διηνεκῶς ἠκολούθει· ϗ ὥσπερ ὁ Ἐρωδιὸς ἡγεῖται τῶν ςρουθίων: οὕτω ϗ ὁ Πέτρος τῶν ἄλλων Μαθητῶν ϗ Ἀποςόλων· ϗ ὥσπερ ὁ Ἐρωδιὸς δείκνυσι τοῖς ςρουθίοις, πῶς χρὴ τῶν παγίδων ὑπεράλλεσθαι τῶν θηρευτῶν: οὕτω ϗ ὁ Πέτρος τῇ ἀρνήσει παγιδευθεὶς, διὰ μετανοίας τὴν παγίδα ἐξέφυγε ϗ τοὺς ἄλλους μετανοεῖν διδάσκει.

(1) Ὅθεν εἶπεν ὁ Χρυσοῤῥήμων· „ Ἐπειδὴ γὰρ τὸ δειλὸν τῆς φύσεως, τὰς ἐλάφους, ϗ τοὺς λαγωοὺς προδίδωσι, ϗ πᾶσι ποιεῖ τοῖς θηραταῖς εὐχειρώτους, ϗ ταχύτητα ποδῶν, ϗ ἀσφάλειαν τόπων ἐχαρίσατο (ὁ Θεός·) ὡς εἰθάτερον ἦν, τὸ ἕτερον ἄχρηςον ἦν. ὁ δὲ θεῖος Μάξιμος λέγει ὑψηλότερον· „ Μιμεῖται τὴν ἔλαφον ϗ ὁ διαγνωςικὸς νοῦς, καθάπερ ὄρη τὰ ὕψη τῶν θείων νοημάτων μεταδιώκων, ϗ τὰ ἐμφωλεύοντα τῇ φύσει τῶν ὄντων πάθη ἰοβόλων δίκην τῷ λόγῳ διαφθείρων τῆς κρίσεως. ὁ δὲ Βασίλειός φησι· „ Τὸ δὲ ςερέωμα τῆς εἰς Χριςὸν πίςεως καταφυγὴ γίνεται τοῖς λαγωοῖς πέτρα, περὶ ἧς εἴρηται· „ Ἐν πέτρᾳ ὕψωσάς με. ὁ δὲ Δίδυμος λέγει· „ Τὸ γένος τῶν ἐλάφων πολεμίως ἔχει πρὸς τὸ τῶν ὄφεων γένος· σπεύδουσι γὰρ ἀνελεῖν αὐτούς· τοιοῦτοι δὲ πάντες οἱ Χριςοῦ Μαθηταὶ ἑτοίμως ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν· ἔσχον δὲ ϗ τὴν κατὰ τῶν νοητῶν ὄφεων δύναμιν ἐκ τοῦ ὀρέξαντος ἐξουσίαν αὐτοῖς πατεῖν ἐπάνω ὄφεων ϗ σκορπίων, ϗ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. ὁ δὲ Ἡσύχιος· „ Ἐλάφους μὲν, τοὺς δικαίους νοεῖ· ἐπειδὴ καθαρὰ ζῶα αἱ ἔλαφοι τυγχάνουσι· λαγωοὺς δὲ, τοὺς Ἐθνικοὺς ϗ ἁμαρτωλούς· ἐπειδὴ οἱ λαγωοὶ ἀκάθαρτα ζῶα ϗ ἀσθενῆ εἰσιν· „ Οὐκ ἔδεσθε γάρ φησι τὸν κάμηλον ϗ τὸν ὗν ϗ τὸν δασύποδα· ἤτοι τὸν λαγωόν (Δευτερ. ιδ'. 7.) ὅθεν ϗ ὁ Σύμμαχος εἶπε· „ Πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις· οἱ δὲ χοιρογρύλλιοι ἀκάθαρτά εἰσι· διὸ λέγει ὁ Σολομών· „ Καὶ οἱ χοιρογρύλλιοι ἔθνος οὐκ ἰσχυρὸν, οἳ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους· (Παρ. λ'. 26.)

(2) Ὁ δὲ Χρυσόςομος λέγει· „ Δι' οὐδὲν ἕτερον τὴν σελήνην γεγενῆσθαί φησιν, ἢ πρὸς ἀριθμὸν ϗ διάγνωσιν μηνῶν τε ϗ ἡμερῶν· τὸ γὰρ εἰς καιροὺς, τοῦτο δηλοῖ· ϗ ἐν τῇ Γενέσει δὲ, γέγραπται περὶ τῶν φωςήρων· „ Ἔςωσαν εἰς σημεῖα ϗ εἰς καιρούς· εἰς σημεῖα μὲν, κατὰ τὸν Βασίλειον, ἐπομβρίας, αὐχμῶν, πνευμάτων κινήσεως· εἰς καιροὺς δὲ, τὰς τῶν καιρῶν ἐναλλαγὰς, χειμῶνος, ἔαρος, θέρους, ϗ μετοπώρου. ὁ δὲ Ἡσύχιος· „ Σελήνην ἐννοεῖ τὴν τῶν Ἰουδαίων συναγωγὴν, ἥν τινα μέχρι καιρῶν τοῦ νόμου ϗ τῶν Προφητῶν ἔθετο ὁ Θεός· ἥλιον δὲ τὸν Χριςόν· ὅς τις ἔγνω τὴν ἑαυτοῦ δύσιν· τὸν γὰρ καιρὸν, καθ' ὃν προσῆκε τὸ πάθος οἰκονομῆσαι, ἐγίνωσκεν.

Σὺ, λέγει, Κύριε, ὥρισας νὰ γίνεται σκότος, τὸ ὁποῖον παρυφίσταται, ὅταν ἀναχωρῇ καὶ βασιλεύῃ τὸ φῶς τοῦ ἡλίου. τὸ δὲ σκότος πάλιν, ἔγινε νύξ. ὅθεν εἶπεν ὁ Μωϋσῆς· „Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν· καὶ τὸ σκότος ἐκάλεσε, νύκτα, (Γεν. ά. 5.) (1)

„Ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Βλέπε ἐδῶ ἀγαπητὲ ἀναγνῶστα, τὴν χρησιμότητα ὁποῦ ἔχει ἡ νύκτα· διατὶ αὐτὴ δὲν προξενεῖ μόνον εἰς τοὺς ἀνθρώπους ἀνάπαυσιν· οὐδὲ κάμνει αὐτοὺς δυνατωτέρους διὰ τοῦ ὕπνου καὶ τῆς ἀναπαύσεως, ἀφ' οὗ τοὺς παραλάβῃ κουρασμένους ἀπὸ τοὺς κόπους τῆς ἡμέρας· ἀλλὰ καὶ εἰς τὰ θηρία δίδει παῤῥησίαν νὰ περιπατοῦν, διὰ νὰ εὑρίσκουν τὴν ἀναγκαίαν τροφήν τους. (2).

21: **„Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ „ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐ„τοῖς.**

Εἰς τὸν καιρὸν, λέγει, τῆς νυκτὸς περιπατοῦν τὰ λεοντάρια, καὶ τῶν λεονταρίων τὰ παιδία ἀρουλιῶνται καὶ φωνάζονται μὲ ἀγρίαν φωνὴν διὰ τὴν αἰτίαν ταύτην: διὰ νὰ ἁρπάσουν δηλαδὴ καὶ νὰ εὕρουν τὴν ἀναγκαίαν τροφήν τους, τὴν παρὰ τῷ Θεῷ οὖσαν, ἢ παρὰ τοῦ Θεοῦ διδομένην εἰς αὐτά· ἀπὸ τὸν Θεὸν γὰρ δίδεται ἡ τροφὴ ὅλων τῶν ζώων. ὅθεν ἀλλαχοῦ εἶπεν ὁ ἴδιος Δαβίδ· „Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ (Ψαλ. ρλέ. 25) (3) ἢ λέγει, ὅτι τὰ λεοντάρια φωνάζοντα, ζητοῦν τρόπον τινὰ ἀπὸ τὸν Θεὸν τὴν τροφήν τους. διατὶ πολλαῖς φοραῖς πολλοὶ ἄνθρωποι παρετήρησαν καὶ εἶδον πολλὰ ζῶα, τὰ ὁποῖα ὅταν πεινοῦν, ἢ διψοῦν, ἀσηκόνουν τὴν κεφαλήν τους εἰς τὸν οὐρανὸν, καὶ μὲ ἀπόῤῥητον λόγον ἐπικαλοῦνται τὸν ποιητὴν διὰ νὰ τοὺς δώσῃ τροφήν· ὅθεν καὶ ἀλλαχοῦ εἶπεν ὁ Δαβίδ· „Διδόντι τοῖς κτήνεσι τρο-

---

σχεν, ὥστε πρὶν μὲν ἐλθεῖν τοῦτον λέγειν· „Οὔπω ἥκει ἡ ὥρα· ὅτε δὲ ἐν τῷ προσήκοντι καταλαβὼν ἦν, ἐλήλυθεν ἡ ὥρα, φησιν, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Ἀνθρώπου.

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „Καὶ τοῦτο δὲ οὐκ ἔλαττον μέρος τῆς διὰ φωτὸς εὐεργεσίας, τὸ ἀναπαῦσαι κάμνοντα τὸν ἄνθρωπον, καὶ παραχωρῆσαι τῇ νυκτί. λέγει δὲ καὶ ὁ μέγας Βασίλειος· „Ὅπερ ἐν ἡμέρᾳ ἐστιν ἡ σκιὰ, τοῦτο οἴεσθαι χρὴ ἐν νυκτὶ τοῦ σκότους εἶναι τὴν φύσιν· οὐδὲν γὰρ ἕτερόν ἐστι κατὰ τὴν φύσιν, ἢ σκίασμα γῆς· τὸ δὲ σκότος, οὐκ οὐσία τις ἐστιν, ἀλλὰ συμβεβηκός· φωτὸς γὰρ ἐστι στέρησις· αὐτὸ γὰρ τὸ ἐστερῆσθαι φωτὸς, σκότος ἐκάλεσεν ὁ Θεός. ὁ δὲ Ἀθανάσιος λέγει· „Τοῦτό, φησιν, ἵνα μὴ ἄλλον δημιουργὸν τῆς ἡμέρας καὶ ἄλλον τῆς νυκτὸς λογισώμεθα εἶναι· ὁ δὲ Ἡσύχιος· Σαφῶς φησι, τὸν τοῦ Σταυροῦ λέγει καιρὸν, ἐν ᾧ ἔδυνεν ὁ ἡμέτερος ἥλιος· τότε γὰρ σκότος ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης ἐγένετο.

(2) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „Ἐπειδὰν ἀναχωρήσῃ ὁ ἥλιός φησι, τότε τὰ θηρία ἀγελάζονται· καὶ ἔστι θαυμάσαι τοῦ Θεοῦ τὴν οἰκονομίαν, καὶ τὴν ἐν τοῖς θηρίοις διάταξιν· ὅταν γὰρ σὺ καθεύδῃς, τότε ἐκεῖνα τὴν ἔρημον ἔπεισι· καὶ ἡ νὺξ, σοὶ μὲν ἀνάπαυσιν πραγματεύεται, τοῖς δὲ θηρίοις ἄδειαν παρέχει, ὥστε τὰς πεινώσας ἐμπλῆσαι γαστέρας. ὑψηλότερον δέ φησιν ὁ μέγας Βασίλειος· „Δρυμὸν ὀνομάζει συνήθως ἡ θεία Γραφὴ, τὸν ὑλώδη τῶν ἀνθρώπων βίον τὸν τὰ ποικίλα εἴδη τῶν παθημάτων ὑλομανήσαντα· ἐν ᾧ τὰ φθαρτικὰ θηρία φωλεύει καὶ κατακρύπτεται· ὧν ἡ φύσις ἐν φωτὶ καὶ ἡλίῳ ἀνενέργητος μένουσα, διὰ τοῦ σκότους τὴν ἰσχὺν ἔχει· μετὰ γὰρ τὸ δῦναι τὸν ἥλιόν φησιν ὁ Προφήτης (ὁ Δαβὶδ δηλαδὴ) νυκτὸς ἐπιγενομένης, ἐν αὐτῇ τὰ θηρία τοῦ δρυμοῦ τῶν φωλεῶν ἀναδύεσθαι· τοῖς γὰρ σκοτεινοῖς ἐχθροῖς καιρὸς εἰς τὴν κατὰ τῶν ψυχῶν ἐπιβουλὴν ἡ νὺξ γίνεται καὶ τὸ σκότος· ἐν ᾗ τὴν πονηρὰν βρῶσιν αὐτῶν ἐκ τῶν τοῦ Θεοῦ ποιμνίων ἐργάζονται.

(3) Εἶπε δὲ ὁ θεῖος Κύριλλος· „Λέγεται καὶ τοῦτο, ὅτι οἱ λέοντες, ὅταν ἴδωσί τι τῶν ἀσθενεστέρων ζώων, πρότερον ὠρύονται· καὶ οὕτως ἐκεῖνο καταπλήξαντες, ἐπιτρέχουσι, καὶ θήραμα καὶ τροφὴν ποιοῦνται τὸ ληφθέν· διὰ τοῦτο τοίνυν κἀνταῦθα εἴρηται, ὅτι σκύμνοι ὠρύονται τοῦ ἁρπάσαι· ὁ δὲ Ἡσύχιος θηρία τοῦ δρυμοῦ καὶ σκύμνους τοὺς Δαίμονας λέγει· οἵτινες ἐν τῷ καιρῷ τοῦ πάθους τοῦ Κυρίου ὠρύοντο, νομίζοντες, ὅτι τότε ἔχουν καιρὸν κυνηγίου· διατὶ ἔβλεπον τὸν Ἰούδαν, ὁποῦ ἐπρόδωκε τὸν Κύριον· τὸν Πέτρον, ὁποῦ τὸν ἀρνήθη· τοὺς ἄλλους Ἀποστόλους, ὁποῦ ἔφυγον καὶ ἐσκορπίσθησαν· ὠρύοντο λοιπὸν οἱ Δαίμονες διὰ νὰ ἁρπάσουν καὶ νὰ ζητήσουν ἀπὸ τὸν Θεὸν τοὺς Ἀπο-

τροφὴν αὐτῶν ", καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. (Ψαλ. ρμς'. 9.)

22: „ Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθη-
„ σαν. καὶ εἰς τὰς μάνδρας αὐτῶν κοι-
„ τασθήσονται.

Ὅταν, λέγει, ἀνατείλῃ ὁ ἥλιος τὸ πρωΐ, εὐθὺς καὶ τὰ ζῶα ὅλα καὶ θηρία συμμαζόνονται, καὶ κρύπτονται μέσα εἰς τὰς φωλεάς των καὶ κατοικίας, ἐπειδὴ καὶ ἐκ φύσεως ἤξευρουν τὸν διωρισμένον εἰς αὐτὰ καιρὸν διὰ νὰ περιπατοῦν, κατὰ τὸν Χρυσόστομον.

23: „ Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον
„ αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ
„ ἕως ἑσπέρας.

Ὅταν, λέγει, ἀνατείλῃ ὁ ἥλιος, τὰ μὲν ἄλογα καὶ ἄγρια ζῶα συμμαζώνονται εἰς τὰς φωλεάς των, ὁ δὲ λογικὸς ἄνθρωπος σηκονόμενος ἀπὸ τὸν ὕπνον, εὐγαίνει ἔξω ἀπὸ τὸν οἶκόν του διὰ νὰ δουλεύῃ τὸ ἔργον καὶ τέχνην του, ἕως τὸ ἑσπέρας· τότε γὰρ πάλιν γυρίζει εἰς τὸν οἶκόν του, διὰ νὰ ἀναπαυθῇ ἀπὸ τὸν κόπον· ἤξευρει γὰρ, ὅτι ἡ μὲν ἡμέρα, ἐδιωρίσθη ἀπὸ τὸν Θεὸν εἰς τὸν ἄνθρωπον καὶ εἰς τὰ ἥμερα ζῶα· ἡ δὲ νύκτα, ἐδιωρίσθη εἰς τὰ ἄγρια ζῶα, ἵνα μὴ ἑνούμενα τὰ ἥμερα μὲ τὰ ἄγρια κατατρώγωνται καὶ διαφθείρωνται ἕνα ἀπὸ τὸ ἄλλο, κατὰ τὸν Χρυσορρήμονα. (1)

24: „ Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύ-
„ ριε! πάντα ἐν σοφίᾳ ἐποίησας.

Ἐδῶ θαυμάζων καὶ ἐκπληττόμενος ὁ Προφήτης Δαβὶδ τὰ ἔργα τοῦ Θεοῦ, φωνάζει οὕτως ἐκ διαθέσεως. Πολλὰ ἐθαυμασώθησαν Κύριε, τὰ ἔργα σου καὶ ποιήματα· ἐπειδὴ αὐτὰ ἄλλο πρὸς ἄλλο συγκρινόμενον, καὶ ὅλα πρὸς ὅλα, καλῶς πάντα ἔχουσιν εἰς ἑνὸς κόσμου σύστασιν καὶ συμπλήρωσιν, ὡς εἶπεν ὁ Θεολόγος Γρηγόριος. Καὶ ὅλα σου τὰ κτίσματα, τὰ ἔκαμες μὲ σοφίαν ἀκατάληπτον· διατὶ κανένα ἀπὸ αὐτὰ οὐδὲ τὸ μικρότατον, δὲν ἔγινε ματαίως καὶ

πε-

ποσόλους· ὅθεν ὁ Κύριος εἶπε· „ Σίμων Σίμων, ἐξῃτήσατο ὑμᾶς ὁ Σατανᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου.

(1) Προστίθησι δὲ ϗ ταῦτα ὁ Χρυσορρήμων· „ Καθευδόντων μὲν τῶν δεσποτῶν ἀνθρώπων, ἀνίσταται τὰ θηρία· ἀνισταμένων δὲ, ἀποπηδᾷ ϗ ἀναχωρεῖ· εἶδες εὐταξίαν δημιουργοῦ; διανέστη ὁ Δεσπότης, ϗ οὐδὲν εὑρίσκει τῶν λυμαινομένων· ἀλλὰ προλαβὼν ὁ ἥλιος πάντα συνήλασε τὰ ἐπιβουλεύοντα· καθάπερ γὰρ δραπέται ϗ φυγάδες ἀποπηδῶσι φαινομένου τοῦ Δεσπότου, ϗ εἰς τὰς ἰδίας καταδύσεις χωροῦσι, τοῦ ἡλίου ἀνίσχοντος· ὁ δὲ ἄνθρωπος τὸν τῆς προτεραίας διὰ τοῦ ὕπνου ἀποθέμενος κόπον, νεαρὸς αὖθις ἐν τοῖς ἔργοις ϗ πρόθυμος ἀπαντᾷ. ἔφη δὲ ϗ ὁ Θεολόγος Γρηγόριος· „ Νὺξ, ϗ ἄνθρωπος ὕπνῳ συστέλλεται· ϗ τὰ θηρία παῤῥησιάζεται, ϗ ζητεῖ τροφὴν ἕκαστον τὴν διδομένην παρὰ τοῦ κτίσαντος· ἡμέρα, ϗ τὰ θηρία συνάγεται, ϗ ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν ἐπείγεται, ϗ ἀλλήλοις ὑποχωροῦμεν ἐν τάξει, νόμῳ ϗ λόγῳ φύσεως. ὁ δὲ Ἡσύχιος τὴν ἐδικήν του ἀναγωγὴν ἀκολουθῶν λέγει, ὅτι ὅταν ὁ Χριστὸς ἀνέστη, συνήχθησαν μέν: ἤτοι ὑπεχώρησαν, ὡς εἶπεν ὁ Σύμμαχος. τὰ θηρία ϗ οἱ Δαίμονες εἰς τὰς ἑαυτῶν σκοτεινὰς μάνδρας· οἱ δὲ Ἀπόστολοι οἱ κεκρυμμένοι ὄντες διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἐξῆλθον ϗ ἐπαῤῥησιάσθησαν, λαβόντες θάῤῥος ἀπὸ τὴν ἀνάστασιν τοῦ Χριστοῦ· ϗ πάντες δὲ οἱ πιστοὶ μέχρις ἑσπέρας· ἤτοι μέχρι τέλους τῆς ζωῆς των ἐργάζονται τὸ οἰκεῖον ἔργον: ἤτοι τὴν ἀρετήν· ταύτην γὰρ ἔδωκεν ἡμῖν εἰς ἐργασίαν ὁ Κύριος· ὑψηλότατα δὲ τὸ ῥητὸν τοῦτο ἐνόησεν ὁ Θεσσαλονίκης θεῖος Γρηγόριος γράφων πρὸς τὴν Ξένην· „ Ἡμέρας δὲ διαυγασάσης, ϗ φωσφόρου ἀνατείλαντος ἐν ταῖς καρδίαις ἡμῶν, κατὰ τὸν ἐν Ἀποστόλοις Κορυφαῖον, ἔξεισι κατὰ τὸ προφητικὸν ἐκεῖνο λόγιον, ὁ ὄντως ἄνθρωπος ἐπὶ τὴν ὄντως ἐργασίαν αὐτοῦ· ϗ τῷ φωτὶ χρώμενος ὁδῷ, ἄνεισιν, ᾗ ἀνάγεται ἐπ' ὄρη αἰώνια, ϗ τῶν ὑπερκοσμίων ἐν τούτῳ τῷ φωτὶ πραγμάτων

περιττῶς· ἀλλὰ ὅλα ἔχουσι λόγους καὶ αἰτίας καὶ τέλη θαυμασὰ, διὰ τὰ ὁποῖα ἐκτίσθησαν· ἀγκαλὰ καὶ εἰς ἡμᾶς τὰ τέλη ταῦτα εἶναι ἀκατάληπτα. (1)

„Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Ὅλη ἡ γῆ, λέγει, εἶναι γεμάτη ἀπὸ τὰ θαυμασὰ καὶ ἀγαθὰ κτίσματά σου Κύριε, καθὼς εἶπεν ὁ Θεοδώριτος. (2)

25: „Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ „εὐρύχωρος· ἐκεῖ ἑρπετὰ, ὧν οὐκ „ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ „μεγάλων.

Ἰδοὺ, λέγει, αὕτη ἡ θάλασσα, ὁποῦ βλέπομεν, πόσον εἶναι μεγάλη! καὶ πόσον πλατεῖα καὶ εὐρύχωρος! διατὶ εἰς αὐτὴν εὑρίσκονται τόσα ἑρπετά: ἤγουν τόσα ὀψάρια καὶ κήτη, τὰ ὁποῖα εἶναι κατὰ τὴν ποσότητα ἀναρίθμητα· ἐκεῖ εἰς τὴν θάλασσαν εὑρίσκονται ζῶα μικρὰ καὶ μεγάλα. (3)

26: „Ἐ-

ὢ τοῦ θαύματος! ἐπόπτης καθίσαται, μὴ διαζευγνύμενος, ἢ διαζευγνύμενος τῆς τηναρχὴν συμπροηγμένης ὕλης· ὡς οἶδεν ἡ ὁδός.

(1) Λέγει δὲ ὁ μέγας Βασίλειος· „Ὅταν ἀκούσωμεν περὶ Θεοῦ, ὅτι πάντα ἐν σοφίᾳ ἐποίησε, τὴν δημιουργικὴν αὐτοῦ τέχνην διδασκόμεθα. ὁ δὲ Ἀπόςολος σοφίαν τὸν Υἱὸν ἀποκαλεῖ λέγων· „Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ· ἐν αὐτῷ οὖν τὰ πάντα ἐκτίσθη. λέγει ϗ ὁ Χρυσόςομος· „Χριςὸς Θεοῦ σοφία, ἐν ᾗ τὰ πάντα ἐγένετο ϗ διεκοσμήθη τὰ μικρὰ, τὰ μεγάλα, τὰ ἄγρια, τὰ ἥμερα, τὰ ἔγκαρπα, τὰ ἄκαρπα, τὰ ὑψηλὰ, τὰ πεδία, τὰ ὕπτια, ϗ τὰ λοιπὰ πάντα· ϗ ὅπερ ὁ Μωϋσῆς ἔλεγεν, ὅτι πάντα ὅσα ἐποίησε καλὰ λίαν, τοῦτο ϗ οὗτος ἐκείνῳ συμφώνως εἶπεν, ὅτι δὴ πάντα ἐν σοφίᾳ ἐποίησας· ὅθεν ϗ Γεώργιος ὁ Πισσίδης Ἰαμβικῶς εἶπεν·

„Ὁ τῇ τοσαύτῃ συςάσει τοῦ οὐρανοῦ,
„Ὁ νύκτα κοσμῶν ϗ ςολίζων ἡμέραν·
„Ὁ πῦρ γεωργῶν. ϗ κατασπείρων ὕδωρ·
„Τὸν ἄφθονον ῥοῦν, τὴν ἀνάργυρον δόσιν·
„Πνοῆς περιττῆς ἐξ ἐκείνου συρμάδα·
„Τὸ κοινὸν ὄμμα, τὴν πανοπτείαν κόριν·
„Ὁ τὴν ἀμυδρὰν τῆς σελήνης λαμπάδα,
„Ὅπως γένηται μίξις ὥσπερ ἐν γάμῳ·
„Εὔτεκνα δείξῃ τῶν σπαρέντων τὰ βρέφη,
„Στοιχεῖα τάττων, ἡνιοχῶν δὲ χρόνους·
„Τίς τὴν θάλασσαν ἀςατοῦσαν οὐ βλέπει;
„Τῇ γῇ περικρούουσα ϗ θυμουμένη,
„Ἀνθέλκεται δὲ ϗ φοβεῖται ϗ μένει.
„Ἡ δημιουργὸς ϗ σοφὴ παντουργία!
„Βάθρον τεθεικὼς μηδαμοῦ πεπηγμένον.
„Ὁ φῶς καθαίρων, ϗ μελαίνων ἑσπέραν.
„Ὁ λεπτόσωμον ἐκχέων τὸν ἀέρα.
„Οὐ πλούσιος γὰρ οὐ πένης οὐχ ἁρπάσῃ.
„Ὁ τὸν γίγαντα τοῦτον ἥλιον κτίσας·
„Ὃς ἐςὶ κοινὸς ἐργεπείκτης τῶν κάτω.
„Ἐκ τοῦ πυραυγοῦς ζωπυρήσας ἡλίου,
„Καὶ συζυγέντων πρὸς τὸ τίκτειν τῶν δύο.
„Λαβοῦσα θερμὸν ἡ σελήνη νυμφίον.
„Ἐν ἑπτακύκλοις ἡμερῶν περιδρόμοις·
„Ἡ πολλάκις ζέουσα τῇ ψυχρᾷ ζέσει,
„Θρασύνεται μὲν ϗ πλατύνει τὸ ςόμα·
„Ὡς μεγαλύνθη τοῦ Θεοῦ τῶν κτισμάτων.

εἶπε δὲ ϗ ὁ Θεοδώριτος· „Ἕκαςον τῶν εἰρημένων λογισάμενος ὁ Προφήτης, ϗ τὴν πολλὴν τοῦ Θεοῦ κηδεμονίαν καταμαθὼν, ἐν μέσῳ τῆς διηγήσεως τὸν ὕμνον ἀνέπεμψε, θαυμασὰ ϗ λίαν ἀξιάγαςα ϗ σοφίας μεςὰ φήσας εἶναι ἅπαντα τὰ τοῦ Θεοῦ ποιήματα· εὗρε γὰρ τὴν ὑπό τινων δυσσεβῶν διαβαλλομένην νύκτα, σφόδρα χρησιμωτάτην· ϗ τὰ ἄκαρπα ξύλα, χρείαν ἑτέραν εἰσφέροντα· ϗ τῶν θηρίων τὰ γένη, εἰς πολλὰ τοῖς ἀνθρώποις ἁρμόδια. Διὰ τοῦτο ϗ ὁ Θεολόγος Γρηγόριος ἑρμηνεύων διατὶ λέγεται λόγος ὁ Υἱός φησιν· „Εἰδὲ ϗ διὰ τὸ ἐνυπάρχειν τοῖς οὖσι (τὸν λόγον τοῦ Θεοῦ) λέγοι τις, (αὐτὸν λόγον) οὐχ ἁμαρτήσεται τοῦ λόγου· τί γὰρ ἐςιν, ὃ μὴ λόγῳ συνέςηκεν; (Λόγ. β'. περὶ Υἱοῦ) ϗ πάλιν λέγει· „Σοφία δὲ λέγεται ὁ Υἱὸς, ὡς ἐπιςήμη θείων τε ϗ ἀνθρωπίνων πραγμάτων· πῶς γὰρ οἷόν τε τὸν πεποιηκότα, τοὺς λόγους ἀγνοεῖν, ὧν πεποίηκεν; (αὐτόθι.)

(2) Προσφυέςερον δὲ γράφεται παρὰ τῷ Νικήτᾳ· „Τὸ ἐπληρώθη, ὅμοιον ὡς εἰ ἔλεγε· περὶ τῆς γῆς ϗ τῶν ἐν αὐτῇ κτισμάτων, ἀρκούντως ἡμῖν εἴρηται· πεπλήρωται γὰρ ὁ περὶ αὐτῆς λόγος, ϗ πέρας ἔχει· ἐπὶ δὲ τὴν γείτονα θάλασσαν φέρε μεταβῶμεν. ὁ δὲ Ἡσύχιος ἀναγωγικώτερον εἶπε· „Τῆς κτίσεως: τουτέςι τοῦ ἐγκαινισμοῦ ϗ τῆς ἀνανεώσεως· εἴτις γὰρ ἐν Χριςῷ καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά.

(3) Λέγει δὲ ὁ Χρυσορρήμων· „Οὐ γὰρ κενοὺς τοὺς χώρους ἐποίησεν ὁ Θεὸς, ἀλλὰ ζώων παντοίων ἐνέπλησε.

τὸν

26: „ Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν „ αὐτῷ.

Ἐκεῖ, λέγει, εἰς τὴν θάλασσαν πλέουν καὶ διαπερνοῦν διάφορα καΐκια καὶ καράβια· ἐκεῖ εὑρίσκεται καὶ ὁ δράκων: ἤγουν τὸ κῆτος, τὸ ὁποῖον σὺ ἔκτισας Κύριε, διὰ νὰ παίζῃ καὶ νὰ σκιρτᾷ εἰς αὐτῷ: ἤγουν ἐν τῷ ὕδατι τῆς θαλάσσης· δράκοντα δὲ ὠνόμασε τὸ κῆτος· διατὶ εἶναι πολλὰ μεγαλώτατον ἀνάμεσα εἰς τὰ θαλασσινὰ ὀψάρια καὶ ζῶα, καθὼς καὶ ὁ δράκων εἶναι πολλὰ μεγάλος ἀνάμεσα εἰς τὰ χερσαῖα ζῶα, κατὰ τὸν Θεοδώριτον. (1)

27: „ Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι „ τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον.

Ὅλα, λέγει, τὰ ζῶα καὶ τὰ λογικὰ καὶ τὰ ἄλογα, καὶ τὰ χερσαῖα, καὶ τὰ πετεινὰ καὶ τὰ ἀμφίβια ἐλπίζουσιν εἰς ἐσένα Κύριε, διὰ νὰ δώσῃς εἰς αὐτὰ τὴν ἀναγκαίαν τροφήν τους· καὶ αὐτὰ γὰρ τὰ ἄλογα, μὲ κάποιαν τινὰ φυσικὸν λόγον ἐλπίζουν νὰ λάβουν τὴν τροφήν τους ἀπὸ τὸν Θεὸν ἐν καιρῷ χρείας· καθὼς ἀνωτέρω εἴπομεν, ἑρμηνεύοντες τό· „ Καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

28: „ Δόντος σου, αὐτοὶ συλλέξουσιν. „ ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότη- „ τος.

Οἱ—

τὸν ἀέρα, τὴν γῆν, τὴν θάλασσαν, τὸν μὲν, ὀρνίθων μόνον· τὴν δὲ, τετραπόδων καὶ πτερωτῶν· τὴν δὲ, ἀπείρων ἰχθύων, ὧν οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, καὶ τροφὴ τοῖς μείζοσιν οἱ ἐλάττονες γίνονται, καὶ τὸ γένος οὐ δαπανᾶται. καὶ ὁ Θεοδώριτος· „ Καὶ τοῦτο δὲ τῆς θείας κηδεμονίας τεκμήριον, τὸ τὰ σμικρὰ γένη τοῖς μεγάλοις συνδιαιτᾶσθαι, καὶ μὴ παντελῶς ὑπ' ἐκείνων καταναλίσκεσθαι· βόσκονται γὰρ οἱ δυνατώτεροι τοὺς καταδεεστέρους, καὶ οὐκ ἠνάλωσεν, ἀλλὰ νικᾷ τὴν δαπάνην ἡ πρόσοδος. λέγει δὲ καὶ ὁ Βασίλειος· „ Τούτοις (τοῖς ἰχθῦσι δηλαδὴ) ἐοίκασιν, ὅσοι τῶν ἀνθρώπων τοὺς καταδεεστέρους καταπίνουσιν· ἀλλ' ἐκεῖ μὲν οὐκ ἔγκλημα τὸ γινόμενον· φύσεως γὰρ τὸ συμβαῖνον· σὺ δὲ οὐδεμίαν ἕξεις ἀπολογίαν ὁ λόγῳ καὶ νόμῳ τετιμημένος, καὶ πρὸς τὴν τῶν ἀλόγων σύγχυσιν ἑαυτὸν ἐξάγων.

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Διὰ ναυπηγικῆς τέχνης καὶ κυβερνητικῆς ἐπιστήμης παρ' ἀλλήλων κομιζόμεθα τὰ ἐνδέοντα· καὶ τὸν παρ' ἡμῖν φυόμενον καρπὸν χορηγοῦμεν ἑτέροις, καὶ δεχόμεθα τὸ παρ' ἐκείνοις γινόμενον· ὥστε, μήτε τὸ περιττεῦον εἶναι ἀνόνητον, μήτε τὸ ἐνδέον ἀνεπινόητον. ὁ δὲ Κύριλλος· „ Νηῒ μὲν παρεικάζει τὴν μίαν καὶ Καθολικὴν Ἐκκλησίαν· πλοῖα δὲ ὀνομάζει τὰς κατὰ μέρος Ἐκκλησίας· θάλασσαν τὸν ἀνθρώπινον βίον· ἑρπετῶν δὲ γένος τὴν πολυειδῆ καὶ πολυπρόσωπον τῶν ἀνθρώπων πληθύν· πλωτῆρας δὲ, τοὺς ἡγιασμένους καὶ πιστοὺς Χριστιανούς· δέχονται γὰρ αἱ Ἐκκλησίαι τοὺς πιστεύοντας ὡς πλοῖα, καὶ διανηχόμεναι τὴν νοητὴν ταύτην θάλασσαν, ἀποκομίζουσιν αὐτοὺς καθάπερ εἰς ἄλλην γῆν καὶ χώραν, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ εἰς τὴν πατρίδα τῶν ἁγίων· σύνεστι δὲ τοῖς πλωτῆρσι καὶ ὁ Χριστός· ὅταν οὖν χειμὼν καὶ κλύδων γένηται ἐν τῇ θαλάσσῃ, καὶ ὁ Χριστὸς οἰκονομικῶς δοκῇ νυστάζειν, τότε προσήκει βοᾷν· ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς Κύριε; διαναστήσεται γὰρ καὶ ἐπιτιμήσει τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ γενήσεται γαλήνη. ὁ δὲ Χρυσόστομος· „ Μεγάλην φησὶ τὴν θάλασσαν εἶπεν, ὅτι μείζων ἐστὶ τῆς γῆς· εἴγε ὡς ἱμάτιον αὐτῇ περιβέβληται. ὁ δὲ Ἡσύχιος θάλασσαν μεγάλην ἐννοεῖ ἀναγωγικῶς, τὴν μεγάλην χάριν τοῦ Βαπτίσματος, ὡς μεγάλα περιέχουσαν Μυστήρια· εὐρύχωρον, ὅτι πάντας δέχεται τοὺς ἀνθρώπους· ἑρπετὰ δὲ τοὺς ἁμαρτωλοὺς, τοὺς ἐν τῷ Βαπτίσματι τὰ ἁμαρτήματα ἀποπλύνοντας, καὶ τὰ ζῶα τὰ μικρὰ μετὰ τῶν μεγάλων: ἤτοι τοὺς μετρίως δικαίους καὶ καθ' ὑπερβολήν· πάντας γὰρ τὸ Βάπτισμα δέχεται· οὐ γὰρ μόνον ἁμαρτωλοὶ, ἀλλὰ καὶ οἱ δίκαιοι τοῦ λουτροῦ τῆς παλιγγενεσίας χρῄζουσιν· ἐπειδὴ, εἴ τις οὐκ ἀναγεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. ὁ δὲ Βασίλειος πλοῖα ὀνομάζει, τοὺς διὰ τῶν σωμάτων ἐν τῷ ἁλμυρῷ κλύδωνι τοῦ βίου τούτου σαλευομένους· καὶ ἔστιν ἐπαινούμενα πλοῖα, τὰ διαβαίνοντα τὴν θάλασσαν, ἀλλὰ μὴ ἐναπομένοντα αὐτῇ, μηδὲ καταβαπτιζόμενα τοῖς κύμασιν· οἱ γὰρ ἐν σαρκὶ ὄντες καὶ μὴ κατὰ σάρκα στρατευόμενοι, καταπατοῦντες τὸν κλύδωνα τοῦ βίου, ποιοῦσιν ἐργασίαν ἐν ὕδασι πολλοῖς, συγκαταβαίνοντες ἐπὶ τῷ κερδῆσαί τινας τῶν βεβυθισμένων. Περὶ δὲ τοῦ δράκοντος λέγει ὁ Χρυσορρήμων· „ Ἔπλα-

Ὅταν, λέγει, ἐσὺ Κύριε, δώσῃς τὴν ἀναγκαίαν τροφὴν εἰς τὰ ζῶα, τότε καὶ αὐτὰ τὴν συμμαζόνουσι, καὶ παρηγοροῦν τὴν πεινάν τους· καὶ ὅταν ἐσὺ ἀνοίξῃς τὴν χεῖρά σου: ἤτοι τὴν χορηγὸν καὶ ἀφθονοπάροχον δύναμίν σου, τότε καὶ ὅλα τὰ κτίσματα λογικὰ καὶ ἄλογα, χορταίνουν ἀπὸ τὴν ἐδικήν σου πρόνοιαν καὶ ἀγαθότητα. (1)

29: „Ἀποστρέψαντος δέ σου τὸ πρόσω-„πον, ταραχθήσονται· ἀντανελεῖς „τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι „καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέ-„ψουσι.

Ὅταν δὲ, λέγει, ἐσὺ Κύριε, γυρίσῃς τὸ πρόσωπόν σου ἀπὸ τὰ κτίσματα: ἤγουν τὴν ἐπισκοπὴν καὶ πρόνοιάν σου, τότε καὶ τὰ κτίσματά σου ὑστερούμενα τῆς ἐδικῆς σου προνοίας καὶ ἀγαθότητος, θέλουν ταραχθοῦν, λυπούμενα διὰ τὴν ὑστέρησιν. Ὅταν δὲ ἐσὺ λάβῃς τὸ πνεῦμα: ἤγουν τὴν ψυχὴν τῶν ἀνθρώπων, καὶ χωρίσῃς αὐτὴν ἀπὸ τὰ σῶμά των, τότε καὶ τὰ σώματα τῶν ἀνθρώπων θέλουν νεκρωθοῦν, καὶ θέλουν διαλυθοῦν εἰς τὴν γῆν, ἀπὸ τὴν ὁποίαν καὶ ἐπλάσθησαν· περὶ τῶν ἀνθρώπων γὰρ εἶναι ξεχωριστὰ ὁ λόγος οὗτος καὶ ὄχι περὶ τῶν ἄλλων ζώων. (2)

30: „Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ „κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ „πρόσωπον τῆς γῆς.

Ἐ-

πλασας φησι, δράκοντα ἐμπαίζειν αὐτῷ: τουτέστι τὸν Διάβολον· οὐδὲ σοὶ ταύτης ἐφθόνησε τῆς ἐξουσίας· ἔμπαιξον ϗ σὺ εἰ θέλεις· δύνασαι γὰρ ὡς στρουθίον δῆσαι αὐτόν. Καὶ ὁ Βασίλειος. „Πεποίηται μὲν οὖν ὁ κοινὸς ἡμῶν πολέμιος εἰς τὸ καταπαίζεσθαι ὑπὸ τῶν ἁγίων· νῦν δὲ περιστρέψας ἡμῖν, ἅπερ αὐτὸς πάσχειν ὤφειλε, κυριεύει ἡμῶν διὰ τῶν ἐμπαιγμῶν. ἀλλὰ ϗ ὁ Ἀθανάσιος ϗ ὁ Κύριλλος δράκοντα ἐνόησαν τὸν λευϊαθᾶν: ἤγουν τὸν ἄρχοντα τῶν ἐν τοῖς ὕδασι κατὰ τὸν Ἰώβ· ταυτὸν εἰπεῖν τὸν Σατανᾶν... Καὶ μὴν ϗ δράκοντα, οὐ μᾶλλον τὸ κῆτος καλεῖ, ἀλλὰ τὸν ἀρχέκακον Σατανᾶν· ὃν ϗ εἰς οὐδὲν ἕτερον φησι πεποιῆσθαι, ἢ εἰς τὸ καταπαίζεσθαι, ὡς γέγραπται ἐν τῷ Ἰώβ· „Οὐκ ἔστι γὰρ, φησιν, οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ· πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν Ἀγγέλων μου (Ἰώβ. μά. 33.) ὅς πικρός ἐστι ϗ ἰοβόλος, ϗ πρὸς τούτῳ δειλός· ἀεὶ γὰρ φεύγειν ἔθος αὐτῷ· δεινός τε ϗ φιλοκακοῦργος· σκολιοδρομεῖ γὰρ ὥσπερ, τὸ θηρίον· ἐπὶ τέλει δὲ, ὑπὸ τῆς μαχαίρας τοῦ Θεοῦ ἀναλωθήσεται· ἐμπαίζειν δὲ αὐτῷ γράφεται· ἀντὶ τοῦ ἐν αὐτῇ τῇ θαλάσσῃ· ἐπειδὴ κατὰ τὸν Θεοδώριτον, ἀρσενικῶς αὐτὴν ϗ ὁ Ἑβραῖος ϗ ὁ Σύρος καλεῖ· ὡς ϗ ἀνωτέρω εἶπεν· „Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἀντὶ, αὐτῆς τῆς θαλάσσης. λέγει δὲ ϗ ὁ Ἱερὸς Αὐγουστῖνος ἐν τῇ ιε΄. εὐχῇ· „Αὐτός ἐστι Κύριε, ὁ δράκων ὁ μέγας ϗ φοινικοῦς ὁ ἀρχαῖος ὄφις, ὁ Σατανᾶς ϗ Διάβολος ἐπικεκλημένος· ἔχων κεφαλὰς ἑπτὰ ϗ κέρατα δέκα· ὃν ἔπλασας ἐμπαίζειν τῇ θαλάσσῃ ταύτῃ τῇ μεγάλῃ ϗ εὐρυχώρῳ, ϗ τοῖς πλοίοις· ἐν ᾗ ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμός· ϗ ζῶα μικρὰ μετὰ μεγάλων, διάφορα δαιμονίων γένη, ἃ νυκτὸς ϗ ἡμέρας, οὐδὲν ἕτερον δρῶσιν, ἢ περιέρχονται ζητοῦντα τίνα καταπίῃ, εἰ μὴ σὺ λυτρώσῃ.

(1) Ὁ δὲ Χρυσόστομος σὺν τῷ Θεοδωρίτῳ λέγει· „Τὴν μέντοι χεῖρα ἐπὶ τῆς μεταδοτικῆς ἐνεργείας ἔθος ἐστὶ τῇ Γραφῇ λαμβάνειν, κἀνταῦθα τοίνυν τὴν χορηγητικὴν τῶν ἀγαθῶν δύναμιν, χεῖρα προσηγόρευσε· ϗ τὴν εὐκολίαν τῆς τῶν ἀγαθῶν χορηγίας διὰ τοῦ ἀνοίγειν ἐδήλωσεν· ὥσπερ γὰρ εὐπετὲς εἴσω νενευκότας ἐκτεῖναι δακτύλους (ἤτοι ἀνοῖξαι τὴν χεῖρα) οὕτως αὐτῷ ῥᾴδιον τῶν ἀγαθῶν ἁπάντων δωρήσασθαι τὴν φοράν· (διὰ τοῦτο ἱστορεῖται, ὅτι ἐγίνετο τοιοῦτον θαῦμα ἐπὶ τῆς χειρὸς τοῦ τιμίου Προδρόμου· ϗ ὅταν αὐτὴ ἄνοιγε ϗ ἐξαπλόνετο, τοῦτο ἦτον σημεῖον, ὅτι ἐκεῖνον τὸν χρόνον ἔμελλε νὰ γένῃ εὐτυχία· ὅταν δὲ ἐσυστέλλετο, τοῦτο ἦτον σημεῖον, ὅτι ἐκεῖνον τὸν χρόνον ἔμελλε νὰ γένῃ δυστυχία) ὁ δὲ Ἡσύχιος λέγει· „Πάντα τὰ ἀγαθὰ τῇ χειρὶ τοῦ Θεοῦ περιέσφιγκται· ἵν' ὅταν ἀνοίξῃ, πάντα πληροῖ ϗ χορτάζῃ χρηστότητος· ἄνοιξιν δὲ αὐτοῦ χειρῶν ϗ τὴν ἔκτασιν τὴν ἐπὶ τοῦ Σταυροῦ προσήκει λογίζεσθαι, ἀφ' ἧς πάντα ἐπλήσθη χρηστότητος: τουτέστι φιλανθρωπίας· ἐπειδὴ πᾶσα ἁμαρτία διὰ Σταυροῦ συγκεχώρηται.

(2) Ὁ δὲ Ἀθανάσιος λέγει· „Δείκνυσι διὰ τούτων, ὡς αὐτός ἐστι ϗ θανάτου ϗ ζωῆς Δεσπότης. ὁ δὲ Μάξιμός φησιν· „Αἱ ζωαὶ τῶν ἀλόγων ϗ τῶν φυτῶν οὐκ εἰσὶ θεῖαι· ἀλλὰ τοῦ ἐνύλου πυρός τε ϗ πνεύματος· περὶ τούτων οὖν μόνων εἴρηται τὸ τοῦ Δαβίδ· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, ϗ ἐκλείψουσι ϗ τὰ ἑξῆς· ἐπὶ γὰρ τῆς αἰσθη-

Ἐσὺ, λέγει, Κύριε, θέλεις ἀποςείλῃς τὸ ζωοποιὸν καὶ ἅγιον πνεῦμά σου, καὶ ἔτζι διὰ τῆς αὐτοῦ ἐνεργείας θέλουν ἀνασηθοῦν ὅλοι οἱ ἄνθρωποι· νοεῖται καὶ ἄλλως, ὅτι σὺ Κύριε θέλεις ἀποςείλῃς τὸ πνεῦμά σου, τὸ ὁποῖον ἐπιφοιτᾷ εἰς τοὺς Χριςιανοὺς διὰ τοῦ ἁγίου Βαπτίσματος· καὶ ἔζι θέλουν κτισθοῦν οἱ τοῦτο λαμβάνοντες εἰς καινούριαν καὶ πνευματικὴν κτίσιν, καὶ εἰς νέον λαὸν, ἀποδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον κατὰ τὸν Ἡσύχιον· ὥςε τὸ ῥητὸν τοῦτο νοεῖται καὶ διὰ τὴν ἐκ νεκρῶν ἀνάςασιν, καὶ διὰ τὴν παλιγγενεσίαν τοῦ ἁγίου Βαπτίσματος.

„ Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς „ γῆς.

Διὰ τῆς ἀποςολῆς, λέγει, τοῦ ἁγίου σου πνεύματος, θέλεις ἀνακαινίσεις Κύριε, τὸ πρόσωπον: ἤτοι τὸ κάλλος τῆς γῆς· τὸ ὁποῖον εἶναι οἱ ἐκ τῆς γῆς ἄνθρωποι, κατὰ τὸν Χρυσόςομον καὶ Σεβῆρον. νοεῖται δὲ καὶ ἄλλως· ὅτι καὶ ἡ γῆ θέλει ἀνακαινισθῇ ἐλευθερωθεῖσα ἀπὸ τὴν δουλείαν τῆς φθορᾶς κατὰ τὸν Παῦλον. καὶ ὁ Πέτρος δὲ εἶπε· „ Γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν. (Β'. Πετ. γ'. 13.) (1)

31: „ Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας.

Ἂς ἦναι, λέγει, ἡ δόξα τοῦ Κυρίου αἰώνιος καὶ ἀτελεύτητος, ὅςτις ἀπὸ τὰς ἄνω εἰρημένας εὐεργεσίας, ἄλλας μὲν ἔκαμεν· ἄλλας δὲ, κάμνει ἕως τοῦ νῦν· καὶ ἄλλας θέλει κάμῃ εἰς τὸ μέλλον. (2)

„ Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔρ„ γοις αὐτοῦ.

Ὁ Κύριος, λέγει, θέλει εὐφρανθῇ, τόσον διὰ τὴν κτίσιν καὶ δημιουργίαν τοῦ Κόσμου, ὅσον καὶ διὰ τὰ ἔργα, ὁποῦ ἐκατώρθωσε καὶ μέλλει νὰ κατορθώσῃ διὰ τῆς ἐνσάρκου του οἰκονομίας. (3)

22: „ Ὁ

σθητικῆς μόνης ψυχῆς καὶ τῆς φυτικῆς ζωῆς, ταῦτα δέχεται ὁ μέγας Διονύσιος· περὶ γὰρ τῆς τῶν νοητῶν ζωῆς, ἢ τῆς καθ' ἡμᾶς, οὐ νοεῖ ταῦτα· τὴν γὰρ ζωὴν ταύτην οὐσιωδῶς δημιουργήσας εἰς ἀθανασίαν ὁ Θεὸς καὶ τοῖς νοητοῖς, καὶ ταῖς ψυχαῖς ἡμῶν, οὐκ ἂν ἀφέλοι αὐτῶν τὸ ζῆν· (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(1) Λέγει δὲ ὁ Βασίλειος. „ Ἀποςολὴν δὲ καλεῖ τοῦ Πνεύματος, τὴν πρὸς τὸ ἐνεργεῖν αὐτοῦ συγκατάβασιν, οὐ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν· ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, ὑφ' οὗ τὸ πρόσωπον τῆς γῆς ἀνακαινίζεται. ὁ δὲ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης λέγει· „ Καὶ ζῶα καὶ φυτὰ κατ' ἔσχατον ἀπήχημα τῆς ζωῆς ἔχουσι τὸ εἶναι, ἧς ἀνταναιρουμένης κατὰ τὸ λόγιον, ἐκλείπει πᾶσα ζωή· πρὸς ἣν τὰ ἐκλελοιπότα τῇ πρὸς τὸ μετέχειν αὐτῆς ἀσθενείᾳ, πάλιν ἐπιςρεφόμενα, παλίνζωα γίνεται· τὸ δὲ δὴ θειότατον, ὅτι καὶ ὅλους ἡμᾶς ψυχάς φημι, καὶ τὰ συζυγῆ σώματα πρὸς παντελῆ ζωὴν καὶ ἀθανασίαν ἐπήγγελται μεταθήσειν· πρᾶγμα τῇ παλαιότητι μὲν ἴσως παρὰ φύσιν δοκοῦν, τῇ δὲ ἀληθείᾳ καὶ θεῖον καὶ ὑπὲρ φύσιν, τὴν καθ' ἡμᾶς, οὐ τὴν πανσθενῆ· αὐτῇ γὰρ οὐδεμία ζωὴ παρὰ φύσιν ἢ ὑπὲρ φύσιν· ὥςε οἱ περὶ τούτων τῆς παρανοίας Σίμωνος ἀντιῤῥητικοὶ λόγοι ἀπεληλάσθωσαν. λέγει δὲ καὶ ὁ Κύριλλος· ἀκούω τινος λέγοντος· „ Πνεῦμα θεῖον τὸ ποιῆσάν με. ψάλλει δὲ καὶ Δαβὶδ περὶ τῶν ἐν γῇ κειμένων· „ Ἐξαποςελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται· ὅτε τοίνυν δημιουργεῖ τὸ Πνεῦμα καὶ ἀνακαινίζει τὸ ἠφανισμένον, ἀναπλάττων εἰς τὸ ἐν ἀρχαῖς, μία δὲ φύσις ἡ τῶν ὅλων δημιουργὸς, ἡ ὑπερτάτη τε καὶ ἀνωτάτη, πῶς οὐκ ἀνάσιοι οἱ τῶν θείων θρόνων τὸ Πνεῦμα κατακομίζοντες; καὶ δοῦλον εἶναι λέγοντες ὡς πεποιημένον, τὸ κατὰ φύσιν ἰδίαν ἐλεύθερον;

(2) Λέγει δὲ ὁ Νύσσης Γρηγόριος· „ Τάχα δὲ μνησθεὶς τῆς ἀναςάσεως, συνῆψεν αὐτῇ τὴν δόξαν Κυρίου, τὴν ἐν τῷ μέλλοντι αἰῶνι γενησομένην, ὅταν αὐτῷ κάμψῃ πᾶν γόνυ· ἡμεῖς δὲ μαθόντες ἐν ὀλίγῳ διὰ τοῦ Προφήτου τὸν τρόπον τῆς χάριτος (τῆς ἀναςάσεως δηλαδὴ) δι' ὧν φησιν· „ Ἐξαποςελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται, λέγομεν σὺν τῷ Προφήτῃ· ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, τοῦ τὰ μὲν τῶν εἰρημένων ποιήσαντος, τὰ δὲ, ποιοῦντος, τὰ δὲ, ποιήσοντος.

(3) Κατὰ γὰρ τὸν Δίδυμον καὶ Νύσσης Γρηγόριον· „ Παρήγαγεν ὁ Θεὸς εἰς τὸ εἶναι τὰ γεγονότα, οὐχ ὡς προ-

32: „ Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποι-
„ ῶν αὐτὴν τρέμειν.

Τοῦτο τὸ ῥητὸν πληροῦται, ὅταν γίνωνται σεισμοί· διατὶ ὁ μὲν Θεὸς βλέπει εἰς τὴν γῆν μὲ ὀργὴν διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων· ἡ δὲ γῆ μὴ ὑποφέρουσα τὴν μετ᾽ ὀργῆς θεωρίαν τοῦ Θεοῦ, σείεται καὶ τρέμει, κατάτινα φυσικὴν, ἢ μᾶλλον εἰπεῖν, κατάτινα ὑπερφυσικὴν καὶ ἀκατάληπτον συναίσθησιν, ὡς λέγει ὁ Ἀθανάσιος. (1)

„ Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ κα-
„ πνίζονται.

Ὁ Θεὸς, λέγει, ἅπτεται καὶ ἐγγίζει εἰς τὰ βουνά· ὅθεν αὐτὰ μὴ ὑποφέροντα τὴν τοῦ Θεοῦ παρουσίαν, καπνίζουν, καθὼς καὶ τὸ χορτάρι καπνίζει ὅταν ἐγγίξῃ εἰς τὴν φωτίαν. τοῦτο δὲ ἐμπράκτως ἠκολούθησεν εἰς τὸ ὄρος Σινᾶ· τὸ ὁποῖον ἐκαπνίζετο ὅλον, ὡς λέγει ἡ Γραφή. „ Τὸ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι ἐπ᾽ αὐτὸ τὸν Θεὸν ἐν πυρὶ, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡσεὶ καπνὸς καμίνου. (Ἐξ. 19. 18.) Θεοπρεπῶς δὲ πρέπει νὰ νοοῦμεν καὶ τὸ, ὁ ἐπιβλέπων, καὶ τὸ, ὁ ἁπτόμενος.

33: „ Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου·
„ Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἕως, λέγει, ὁποῦ ζῶ καὶ εἶμαι εἰς τὸν παρόντα κόσμον, θέλω μελῳδῶ καὶ θέλω ψάλω εἰς τὸν Θεόν μου. παλλιλογίας δὲ σχῆμα ἐμεταχειρίσθη ὁ Δαβὶδ, τὸ αὐτὸ νόημα εἰπὼν, χάριν σαφηνείας περισσοτέρας, καὶ εἰς σημεῖον τῆς πρὸς Θεὸν θερμῆς αὐτοῦ διαθέσεως (2) τὸ γὰρ ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ταυτὸν εἶναι μὲ τὸ, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

34: „ Ἡ

προσδεόμενός τινος· ἀλλ᾽ ἵνα, αὐτὰ μὲν αὐτοῦ ἀναλόγως μετέχοντα, ἀπολαύῃ· αὐτὸς δὲ εὐφρανθῇ, ὁρῶν αὐτὰ εὐφραινόμενα... τῆς τοῦ Θεοῦ εὐφροσύνης οὐκ ἐμπαθοῦς οὔσης· ἀπαθὲς γὰρ τὸ θεῖον· ᾧ γὰρ μηδὲν ἐξ ἀδοκήτου συμπίπτειν δύναιτ᾽ ἂν, καὶ ᾧ μηδεμία κακία παρενοχλεῖ· πᾶσα δὲ ἀρετὴ, καὶ πᾶν εἴτι καλὸν ἕπεται, οὗτος εὐφραίνοιτο ἂν κατὰ λόγον, εὐφροσύνην ἀπαθῆ καὶ ἀκίνητον· ἀρετῆς γὰρ καὶ ἀγαθότητος ὀπαδὸς εὐφροσύνη. καὶ ὁ Χρυσορρήμων δὲ λέγει· „ Δείκνυσιν οὖν ὁ Δαβὶδ τὸν Θεὸν τῇ ζωῇ τῶν ὄντων χαίροντα, οὐ τῇ ἀπωλείᾳ· οὐ γὰρ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων. λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Τὴν ἐσομένην τῶν ἀνθρώπων θεογνωσίαν διὰ τούτων ἐθέσπισε· τῆς γὰρ προτέρας ἀπάτης τῶν ἀνθρώπων ἀπαλλαγέντων, καὶ δεξαμένων τοῦ Θεοῦ τὴν ἐπίγνωσιν, εὐφρανθήσεται ὁ Θεὸς οὐ προσκυνούμενος, ἀλλὰ σῳζομένους ὁρῶν.

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Σὺ δέ μοι ἐννόησον, ἡλίκον μέγεθος σώματος ἐπιβλέπων σαλεύει, καὶ στόχασαι ἐντεῦθεν τὸ ἄφατον τῆς δυνάμεως· βασιλεὺς, ἐὰν βουληθῇ μεταστῆσαι πέτραν, ἐὰν μὴ χρήσηται μαγγανείαις (ἤτοι μηχαναῖς) μετακινῆσαι αὐτὴν οὐ δύναται· αὐτὸς δὲ ἐπιβλέπων ἐπὶ τὴν γῆν, ποιεῖ αὐτὴν τρέμειν ὡς ἐπὶ τῶν σεισμῶν. ὁ δὲ Ἀθανάσιος λέγει· „ Τάχα δὲ εἰπὼν περὶ ἀναστάσεως, ἐνταῦθα καὶ τὴν καθόλου κρίσιν ἐπισυνάπτει· ἥτις καὶ φόβον παρέξει πᾶσι τοῖς ἐπὶ γῆς· ὄρη δὲ τὰς ἀντικειμένας Δυνάμεις καλεῖ, ἃς καὶ συγκαύσει κατὰ τὸν τῆς κρίσεως καιρὸν, οὗ καὶ σύμβολον ὁ καπνός.

(2) Λέγει δὲ ὁ Χρυσόστομος· „ Ὠδὴν ἐνταῦθά φησιν, οὐ τὴν διὰ ῥημάτων, ἀλλὰ τὴν διὰ τῶν ἔργων· ἐπειδὴ γὰρ εὗρεν ἑαυτὸν ὁ Δαβὶδ πολλῶν ὄντα ὑπεύθυνον τῷ Θεῷ, καὶ ἀντίδοσιν οὐδεμίαν ἀξίαν δυνάμενον καταβαλεῖν, ἣν ἔχει, ταύτην κατατίθησι· τὸ διηνεκῶς ὑμνεῖν· τὸ πᾶσαν ἐν τούτῳ δαπανῆσαι τὴν ζωήν· ἀκουέτωσαν οἱ ἐν πραγματείαις καὶ καπηλείαις διὰ πάσης κατασηπόμενοι τῆς ἡμέρας, καὶ οὐδὲ ἅπαξ εἰς εὐχὴν τρεπόμενοι, ὅσων εἰσὶν ὑπεύθυνοι τῷ Θεῷ· τοῦτο τῆς ζωῆς τὸ κέρδος, τὸ εὐλογεῖν τὸν Θεόν· ἐπὶ τούτῳ καὶ ζῆν ἄξιον. ὁ δὲ Θεοδώριτός φησιν· „ Εἰκότως δὲ προσέθηκε τὸ ἐν τῇ ζωῇ μου, καὶ τὸ ἕως ὑπάρχω· οὐ γάρ ἐστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων αὐτοῦ· ἐν δὲ τῷ Ἅιδῃ τίς ἐξομολογήσεται; „ Πολλὴν δὲ ἐμφαίνει, κατὰ τὸν Εὐσέβιον, διάθεσιν καὶ οἰκείωσιν πρὸς Θεὸν ἡ προσθήκη· οὐ γὰρ εἶπε ψαλῶ τῷ Θεῷ, ἀλλὰ τῷ Θεῷ μου· ἔοικε γὰρ φάσκειν· τῷ κτίσαντί με, καὶ θρέψαντι, καὶ πάντων αἰτίῳ μοι γεγονότι τῶν ἀγαθῶν· ᾠδὴν δὲ ἐνταῦθα λέγει, οὐ τὴν διὰ τῶν ῥημάτων, ἀλλὰ καὶ τὴν διὰ τῶν ἔργων.

34: „ Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου· „ ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυ- „ ρίῳ.

Ἄμποτε, λέγει, νὰ ἀρέσῃ εἰς τὸν Θεὸν ἡ διαλεξίς μου, ἡ διὰ τῶν ᾠδῶν καὶ τῶν Ψαλμῶν γινομένη: ἤγουν ἡ πρὸς τὸν Θεὸν συνομιλίαμου, καὶ οἱ διαλογισμοί μου· ἐὰν γὰρ ἀρέσῃ εἰς τὸν Θεὸν ἡ συνομιλίαμου, θέλω εὐφρανθῶ καὶ ἐγὼ ὁ συνομιλῶν αὐτῷ καὶ διαλεγόμενος· διατὶ ὁ Θεὸς εὐαρεστήθη εἰς αὐτήν. (1)

35: „ Ἐκλίποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, „ καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐ- „ τούς,

Ἄμποτε, λέγει, νὰ χαθοῦν οἱ ἁμαρτωλοὶ ἀπὸ τὴν γῆν καὶ οἱ ἄνομοι, καὶ νὰ γένουν, οἱ μὲν ἁμαρτωλοὶ, δίκαιοι· οἱ δὲ ἄνομοι, νὰ γένουν ἔννομοι· ὥςε ὁποῦ νὰ μὴν εἶναι πλέον αὐτοὶ τοιοῦτοι, καθὼς εἶναι, ἁμαρτωλοὶ καὶ ἄνομοι, ἀλλὰ νὰ μεταβληθοῦν διὰ μετανοίας. εὔχεται λοιπὸν ὁ Προφήτης νὰ μὴν ἀφανισθοῦν καὶ νὰ χαθοῦν οἱ ἄνθρωποι· ἀλλὰ νὰ ἀφανισθῇ καὶ νὰ χαθῇ ἡ κακία τῶν ἀνθρώπων, κατὰ τὸν Χρυσόςομον καὶ Θεοδώριτον. ἢ ἁμαρτωλοὺς καὶ ἀνόμους λέγει τοὺς δαίμονας. ἢ λέγει νὰ χαθοῦν ἐκεῖνοι, ὁποῦ μένουν κατὰ τὴν κακίαν ἀνιάτρευτοι καὶ ἀδιόρθωτοι· διατὶ αὐτοὶ, μεταδίδουσι τὴν κακίαν τους καὶ εἰς τοὺς ἄλλους καλοὺς· καθὼς καὶ οἱ πανουκλιασμένοι μεταδίδουν τὴν πανοῦκλαν εἰς τοὺς ὑγιεῖς. (2)

„ Εὐλόγει ἡ ψυχήμου τὸν Κύριον.

Ὅμοιον μὲ τὴν ἀρχὴν ἔκαμεν ὁ Δαβὶδ καὶ τὸ τέλος τοῦ Ψαλμοῦ τούτου· ἀπὸ δοξολογίας γὰρ ἄρχισε, καὶ πάλιν εἰς δοξολογίαν ἐτελείωσε, κατὰ τὸν Χρυσόςομον, καὶ Θεοδώριτον, καὶ Ἡσύχιον. αὕτη μὲν εἶναι ἡ ἐξήγησις, ὁποῦ ἐγὼ ἔκαμα εἰς τὸν παρόν-

(1). Τί δέ ἐςιν ἡδυνθείη; λέγει ὁ Χρυσοῤῥήμων· εὐπρόσδεκτος γένοιτο, ἀρέσοι· ἡδίςη καὶ τερπνοτάτη ὀφθείη τῷ Θεῷ· ἄρα ἡ εὐχὴ οὐδὲν ἕτερόν ἐςιν, ἢ διάλεξις πρὸς Θεόν· ἐννόησον τοίνυν τὴν ψαλμῳδίαν, ἐν ἑαυτῇ τὴν ἀμοιβὴν ἔχουσαν· τί γὰρ ἴσον γένοιτ' ἂν τοῦ τῷ Θεῷ διαλέγεσθαι; ὁ δὲ Βασίλειος λέγει· „ Διόπερ συνειδὼς ἑαυτῷ τὴν θείαν διαλεκτικὴν ἔχοντι, ἔλεγεν ὁ Δαβὶδ τό· „ Ἡδυνθείη σοι ἡ διαλογή μου· ἡ γὰρ τῶν ἐριςικῶς καὶ φιλονείκως ἐπεμβαινόντων τοῖς πράγμασι διαλεκτικὴ, οὐχ ἡδεῖα, ἀλλὰ παραπικραίνουσά ἐςι. λέγει δὲ πάλιν ὁ Χρυσοῤῥήμων· „ Καλὰ μὲν καὶ τὰ ὁρώμενα, καὶ τέρπει οὐρανὸς, καὶ εὐφραίνει ἥλιος, καὶ γῆ ἀνίησι σπέρματα καὶ φυτά: ἀλλ' ἐγὼ τούτων πάντων, ἐπὶ τῷ ποιήσαντι πλέον εὐφραίνομαι· τοῦτό μοι τρυφή· τοῦτό μοι εὐφροσύνη· τοῦτο ἡδονή· τοῦτο τὰ μύρια ἀγαθά. καὶ πάλιν ὁ αὐτὸς Χρυσόςομος· „ Πῶς ἂν γένοιτο ἡδυνθῆναι τῷ Θεῷ τὴν ἡμῶν διαλογήν; εἰ βίος εἴη καθαρός· εἰ ψυχὴ φιλοσοφοῦσα· ὅταν γὰρ πᾶσαν ἀναλώσῃς τὴν ἡμέραν προσευχόμενος, τῆς πολιτείας ἀντιπραττούσης, οὐκ ἀκουσθήσῃ ῥαδίως· οὐ μόνον αὐτὸς, ἀλλ' οὐδὲ ἕτερος ὑπὲρ σοῦ τοῦτο ποιῶν· ταῦτα δὲ λέγω, οὐχ' ἵνα μὴ προσευχώμεθα, οὐδ' ἵνα μὴ ψάλλωμεν· ἀλλ' ἵνα μετὰ τοῦ ψάλλειν καὶ βίου καὶ πολιτείας ἐπιμελώμεθα· καὶ ὁ Ἡσύχιος εἶπεν· „ Ἐὰν γὰρ ὁ Θεὸς ἐπὶ ταῖς ἡμετέραις ἀρεσθῇ λέξεσι, τότε καὶ ἡμεῖς εἰκότως ἐπ' αὐτῷ εὐφραινόμεθα· ἀγαθὰ παρ' αὐτοῦ, τὰ μὲν λαμβάνοντες, τὰ δὲ προσδεχόμενοι· καὶ τὸ, χαίρετε ἐν Κυρίῳ πάντοτε, ἀποπληρῶσαι δυνάμεθα.

(2) Ὅθεν εἶπεν ὁ Χρυσοῤῥήμων· „ Ὥςε ἐνταῦθα οὐ τὴν οὐσίαν ἀφανισθῆναι εὔχεται, οὔτε τοὺς ἀνθρώπους πανωλεθρίᾳ παραδοθῆναι· ἀλλὰ τὴν κακίαν· ἀλλὰ τὴν πονηρίαν· ἐκλίποι ὁ ἁμαρτωλὸς, ὥςε μὴ εἶναι ἁμαρτωλὸς, ἀλλὰ μετατεθῆναι· μὴ ὑπάρχοι ὁ ἄνομος, ὥςε μὴ εἶναι ἄνομος, ἀλλὰ μεταβληθῆναι· τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαί· οὐχ' ὑπὲρ ἑαυτῶν μόνον, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης τὰς δεήσεις ἀναφέρουσιν. ὁ δὲ Θεοδώριτος· „ Ἐκλίποιεν ἐν ἐκείνῳ τῷ καιρῷ· ἀκούσονται γάρ· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι· ὁ δὲ Νύσσης· „ Τάχα, φησὶ, τὴν μετὰ τὴν ἀνάςασιν διὰ τοῦ Δαβὶδ σημαίνει κατάςασιν, ὅτε καὶ εὐφραίνεσθαι τὸν Κύριον ἐπὶ τοῖς ἔργοις αὐτοῦ λέγει· ἐκλιπόντων τῶν ἁμαρτωλῶν ἀπὸ τῆς γῆς· πῶς γάρ τις ἐξ ἁμαρτίας ὀνομασθήσεται, τῆς ἁμαρτίας οὐκ οὔσης;

ρόντα Ψαλμὸν τοῦτον. ἠξεύρω δὲ καὶ τὰς ἀλληγορίας ὁποῦ μερικοὶ ἐποίησαν εἰς τὸν Ψαλμὸν τοῦτον· θεληματικῶς ὅμως τὰς ἀφῆκα καὶ δὲν τὰς ἀνέφερα· διατὶ εἶναι β βιασμέναις καὶ δυσκολοπαράδεκταις. (1)

ΨΑΛΜΟΣ ΡΔ'.

„ Ἀλληλούϊα.

Εἴπομεν εἰς τὸ Προοίμιον ἐν Κεφαλαίῳ Ε'. διὰ τοὺς Ψαλμοὺς ἐκείνους, ὁποῦ ἔχουσιν ἐπιγραφὴν τὸ, ἀλληλούϊα· θέλει νὰ εἰπῇ δὲ τὸ ἀλληλούϊα· „ Αἰνεῖτε τὸν ὄντα: ἤτοι τὸν Κύριον· παρακινεῖ δὲ ὁ Ψαλμὸς οὗτος τοὺς ἀνθρώπους νὰ δοξολογοῦν τὸν Θεόν· καὶ διδάσκει τοὺς ἐξ Ἐθνῶν Χριστιανοὺς διὰ τὰς εὐεργεσίας ἐκείνας, μὲ τὰς ὁποίας εὐεργέτησεν ὁ Θεὸς τὸν παλαιὸν λαὸν τῶν Ἑβραίων· καὶ ποῖος ἦτον ὁ λαὸς αὐτὸς πρότερον, καὶ ποῖον ἔκαμεν αὐτὸν ὁ Θεὸς ὕστερον. (2)

1. „ Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐ-
„ πικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.

Τοῦτο τὸ ῥητὸν εἶναι ὅμοιον μὲ τό· „ Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅπερ ἐξηγήσαμεν εἰς τὸν ϟθ'. Ψαλμόν· εὐχαριστεῖτε, λέγει, ὦ ἄνθρωποι τὸν Κύριον· ἐπειδὴ καὶ τόσον εὐεργετήθητε ἀπὸ αὐτόν· καὶ ἐπικαλεῖσθε πάντοτε τὸ ὄνομα τοῦ λυτρωτοῦ καὶ δεσπότου σας. (3)

„ Ἀ-

---

(1) Λέγει δὲ ὁ Ἡσύχιος· „ Ταύτης καὶ ἡμεῖς τῆς εἰς Θεὸν εὐλογίας μετὰ σπουδῆς ἐχώμεθα· εὐλογία γὰρ διηνεκής, εἰς εὐζωΐαν ῥυθμίζει τὸν βίον τὸν ἡμέτερον.

(2) Λέγει δὲ ὁ Νύσσης Γρηγόριος σὺν τῷ Εὐσεβίῳ· „ Τῶν ἐπιγεγραμμένων Ἀλληλούϊα, πρῶτος ὁ παρὼν τυγχάνει Ψαλμός· τὸ μὲν οὖν ἀλληλοὺ, αἶνος νοεῖται, ὃς εἰς Θεὸν τὴν ἀναφορὰν ἔχει· τὸ δὲ ἴα, ἓν τῶν ἑρμηνευτικῶν τῆς θείας φωνῆς ἐστιν ὄνομα· αἱ πολλαὶ δὲ τῶν τοιούτων ἐπιγραφῶν τοῖς τελευταίοις μάλιστα τῆς βίβλου Ψαλμοῖς ἐφευρίσκονται· (ἤτοι ἐν τῷ ε'. Βιβλίῳ τοῦ Ψαλτηρίου) δι' ὧν ἐστι νοεῖν, ὅτι τοῖς ἤδη πρὸς τὸ τέλειον φθάσασι τῆς κατ' ἀρετὴν πολιτείας, ἁρμόζει τὸ αἰνεῖν τὸν Θεὸν, καὶ ἐν τούτοις εἶναι, ἐν οἷς καὶ ἡ τῶν Ἀγγέλων φύσις εἶναι πεπίστευται· οὔτε γὰρ ἐκείνων μεμαθήκαμεν ἀσχολίαν ἄλλην τινὰ πλὴν τοῦ αἰνεῖν τὸν Θεὸν, οὔτε τῆς κατ' ἀρετὴν τελείοις ἕτερόν τι σπουδάζεται, ἢ τὸ τὴν ζωὴν ἑαυτῶν αἶνον εἶναι Θεοῦ παρασκευάσαι. ὁ δὲ Ἀθανάσιος λέγει· „ Ὅτι προστάττει ἐν τῷ παρόντι Ψαλμῷ τοῖς ἁγίοις Ἀποστόλοις τὸ Πνεῦμα τὸ ἅγιον, τῷ ἐξ Ἐθνῶν λαῷ φανερὰς ποιῆσαι πάσας τὰς θαυματουργίας, ἃς πεποίηται ἐπὶ τῆς αὐτοῦ παρουσίας ὁ Κύριος.

(3) Λέγει δὲ ὁ Χρυσόστομος· „ Ἂν γὰρ ἐξομολογήσῃ φησι, καὶ ἀπόθῃ τὰ ἁμαρτήματα, δυνήσῃ μετὰ παῤῥησίας τὸ ὄνομα αὐτοῦ καλέσας, μεγάλα ἐργάσασθαι ἀγαθά. καὶ ὁ Ἡσύχιος· „ Οὐ μάτην δὲ ἐξομολογεῖσθαι πρότερον, καὶ δεύτερον ἐπικαλεῖσθαι βούλεται· ἀλλ' ἵνα καθαροὶ διὰ τῆς ἐξαγορεύσεως γενόμενοι, ἐκ καθαροῦ ὀργάνου τὸν ὕμνον προσενέγκωμεν.

„ Ἀπαγγείλατε ἐν τοῖς Ἔθνεσι τὰ ἔρ-
„ γα αὐτοῦ.

Τοῦτο τὸ ἴδιον σχεδὸν λέγει ὁ Δαβὶδ, καὶ εἰς τὸν ϟς'. Ψαλμόν· „ Ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι τὴν δόξαν αὐτοῦ· ἔργα δὲ καὶ δόξα τοῦ Θεοῦ εἶναι ἐκεῖνα τὰ θαυμάσια, ὁποῦ λέγει παρακάτω ὁ Δαβίδ.

2: „ Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ.
„ Διηγήσασθε πάντα τὰ θαυμάσια
„ αὐτοῦ.

Εἰς πολλὰ μέρη εἴπομεν, ὅτι τὸ μὲν ᾄσατε δηλοῖ, τὸ νὰ μελῳδῇ τινας μὲ μόνην τὴν φωνήν· τὸ δὲ ψάλατε δηλοῖ, τὸ νὰ μελῳδῇ τινας καὶ νὰ κρούῃ μαζὶ καὶ τὸ ὄργανον τοῦ Ψαλτηρίου· μελῳδήσατε λοιπὸν, λέγει, μὲ τὴν φωνὴν, καὶ ψάλατε μὲ τὸ ὄργανον εἰς τὸν Θεὸν, καὶ διηγεῖσθε εἰς ὅλους ὅλα τὰ θαυμάσια αὐτοῦ· καθὼς καὶ ἐν τῷ ϟς'. Ψαλμῷ εἶπεν· „ Ἀναγγείλατε ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.

3: „ Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ
„ αὐτοῦ.

Μέγα φρονεῖτε καὶ καυχᾶσθε, λέγει, εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, ἀπὸ τὸ ὁποῖον καὶ ἐσεῖς ὀνομάζεσθε Χριστιανοί· ὁ λόγος γὰρ οὗτος λέγεται εἰς τοὺς Ἀποστόλους, καὶ εἰς τοὺς διαδόχους τῶν Ἀποστόλων Ἀρχιερεῖς καὶ διδασκάλους. (1)

„ Εὐφρανθήτω καρδία ζητούντων τὸν
„ Κύριον.

Ἂς εὐφρανθῇ, λέγει, ἡ καρδία ἐκείνων, ὁποῦ ζητοῦν καὶ ἐπικαλοῦνται τὸν Κύριον· διατὶ θέλουν βοηθηθοῦν ἀπὸ τὴν ζήτησιν ταύτην καὶ ἐπικάλεσιν. (2)

4: „ Ζητήσατε τὸν Κύριον καὶ κραταιώ-
„ θητε· ζητήσατε τὸ πρόσωπον αὐτοῦ
„ διαπαντός.

Στερεωθῆτε, λέγει, καὶ ἐνδυναμωθῆτε εἰς τὸ νὰ ζητῆτε πάντοτε τὸν Κύριον· καὶ μὴ ἀμελῆτε εἰς τοῦτο κατὰ τὸν Θεοδώριτον· ζητήσατε δὲ τὸ πρόσωπον τοῦ Κυρίου: ἤτοι τὸν Κύριον κατὰ περίφρασιν· ἢ τὴν θείαν ἐπισκοπήν του· ἢ τὸν Υἱόν του, τὸν Ἰησοῦν Χριστόν· ὁ ὁποῖος εἶναι πρόσωπον καὶ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρὸς, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ κατὰ τὸν Δίδυμον· „ Ὁ ἑωρακὼς γάρ φησιν, ἐμὲ, ἑώρακε τὸν Πατέρα. (Ἰωάν. ιδ'. 6.) (3)

5: „ Μνή-

(1) Ὅθεν εἶπε ϗ ὁ Παῦλος· „ Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω· τοῦτο ϗ ὁ Ἱερεμίας ϗ ἡ Ἄννα λέγει, κατὰ τὸν Θεοδώριτον.

(2) Ἔφη δὲ ὁ θεῖος Αὐγουστῖνος· „ Εὐφρανθήτω τοίνυν ἡ καρδία τῶν ζητούντων σε Κύριε· εἰ ἐν τῷ ζητεῖν εὐφροσύνη ἐστιν, ὁποία εὐφροσύνη ἔσται ἐν τῷ εὑρίσκειν; ζητήσω τοίνυν ἀεὶ θερμῶς ϗ ἀπαύστως τὸ πρόσωπόν σου· ὅπως ἀνοιγῇ μοι πύλη ϗ θύρα δικαιοσύνης.

(3) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Τί ἐστι τὸ ζητεῖν τὸν Κύριον; τὸ τὰ ἐκείνου φρονεῖν· τὸ ἀεὶ αὐτὸν λογίζεσθαι· τὸ ἀεὶ ἐν διανοίᾳ ἔχειν· τὸ μηδέποτε παύεσθαι ὁμιλοῦντα αὐτῷ διὰ προσευχῆς ϗ τῶν ἀγαθῶν πράξεων· ὁ γὰρ ζητῶν, ἐπὶ διανοίας ἔχει τὸ ζητούμενον. δεῖ τοίνυν τὸν μέλλοντα ζητεῖν τὸν Κύριον ἐξομολογεῖσθαι πρότερον δι' εἰλικρινοῦς μετανοίας ϗ τῶν ταύτης καρπῶν· ὁ γὰρ τοιοῦτος ϗ ζητεῖν δύναται, ϗ ζητῶν εὑρεῖν κατὰ τὴν ὑπόσχεσιν·

σὺ

5 : „ Μνήσθητε τῶν θαυμασίων αὐτοῦ, „ ὧν ἐποίησε· τὰ τέρατα αὐτοῦ καὶ „ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.

Ἐνθυμεῖσθε, λέγει, τὰ θαυμάσια ἔργα, τὰ ὁποῖα ἔκαμεν ὁ Θεός· καὶ διδάσκοντες τὰ Ἔθνη εὐαγγείλατε αὐτά· ὁμοίως ἐνθυμεῖσθε καὶ τὰ τέρατα τοῦ Θεοῦ: ἤτοι τὰ ὑπερφυσικὰ θαύματα καὶ σημεῖα· ὁμοίως δὲ καὶ τὰ κρίματα: ἤγουν τὰς κρίσεις καὶ ἀποφάσεις τοῦ Θεοῦ, τὰς ὁποίας ἐφανέρωσε διὰ τοῦ νόμου του· ἀδιάφορος δὲ εἶναι ἡ σύνταξις τοῦ μνήσθητε· ἀνωτέρω γὰρ μὲ γενικὴν ἐσύνταξεν αὐτό, κάτω δὲ μὲ αἰτιατικήν. (1)

6 : „ Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ· „ υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.

Ὦ σπέρμα, λέγει, τοῦ Ἀβραάμ· καὶ ὦ υἱοὶ ἐκλεκτοὶ τοῦ Ἰακώβ· ὀνομάζει δὲ ἔτζι τοὺς Ἀποστόλους κατὰ τὸν Ἀθανάσιον· διατὶ οἱ Ἀπόστολοι καὶ δοῦλοι ἦτον τοῦ Χριστοῦ, τοῦ ἐκ τοῦ σπέρματος τοῦ Ἀβραὰμ καὶ Ἰακὼβ καταγομένου, κατὰ τό· „ Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ Κύριος καὶ ὁ διδάσκαλος (Ἰωάν. ιγ΄. 14.) οἱ αὐτοὶ δὲ ἦτον καὶ ἐκλεκτοὶ τοῦ Χριστοῦ· κατὰ τό· „ Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς· (Ἰωάν. ιε΄. 16.) ὡς λέγει ὁ Εὐσέβιος.

7 : „ Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

Ὁ Χριστὸς; λέγει, εἶναι ὁ Κύριος καὶ ὁ Θεὸς ἡμῶν· καὶ αἱ κρίσεις καὶ ὁ νόμος αὐτοῦ, δὲν ἐδόθησαν μόνον εἰς τοὺς Ἰουδαίους, ἀλλὰ καὶ εἰς ὅλα τὰ Ἔθνη τῆς γῆς.

8 : „ Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης „ αὐτοῦ· λόγου, οὗ ἐνετείλατο εἰς χι„ λίας γενεάς.

Ὁ Θεὸς, λέγει, ἐνθυμήθη τὴν αἰώνιον διαθήκην του τὴν ἀμετακίνητον καὶ ἀναλλοίωτον· ἀρχίζωντας δὲ ὁ Δαβὶδ ἄνωθεν ἀπὸ τὸν Ἀβραὰμ, ἀπα-

οὐ γὰρ πάντων ἐστὶ τὸ εἰδέναι ζητεῖν· εἰ γὰρ ἐπὶ λίθων τιμίων, τῶν εἰδότων χρεία· ϗ ἐπὶ κολυμβητῶν πολλῆς τῆς ἐπιστήμης δεῖ, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ; πολλὰ γὰρ τὰ κωλύοντα αὐτὸν εὑρεῖν· ϗ πραγμάτων ὄχλος, ϗ σαρκὸς ἐπαναστάσεις· ϗ νοσήματα ψυχῆς· ϗ Δαιμόνων ἐπιβουλαί· ϗ ῥαθυμία γνώμης· κᾂν ἀπαλλαγῶμεν τούτων ἁπάντων, ταχέως αὐτὸν εὑρήσομεν, ϗ τὴν κακίαν ἀποδυσόμεθα, ϗ τὴν ἀρετὴν ἑλόμεθα. λέγει δὲ ὁ Θεοδώριτος σὺν τῷ Εὐσεβίῳ· „ Ζητήσατε διὰ παντὸς, οὐ τρίτον τοῦ ἐνιαυτοῦ κατὰ τὸν ὑπὸ Μωσέως δοθέντα νόμον, ἐνώπιον αὐτοῦ φαινόμενοι· ἀλλὰ παρὰ πάντα τὸν βίον· ἔφη δὲ ϗ ὁ Ἡσύχιος· „ Ἰσχὺν ἀναλαβεῖν τῇ ψυχῇ τῇ τῶν ἡδονῶν ἐγκρατείᾳ βούλεται τοῦτον, ὅς τις ζητεῖ τὸν Κύριον· πρόσωπον δὲ οὐ τὸ τῆς οὐσίας λέγει· (τοῦτο γὰρ οὐδεὶς ὄψεται, φησι, πρὸς Μωσέα ϗ ζήσεται) ἀλλὰ πρόσωπον τοῦ Θεοῦ ἡ εἰς αὐτὸν γνῶσις. ὁ δὲ Χρυσόστομος· „ Πρόσωπόν φησιν, ἐνταῦθα τὴν ἐπιφάνειαν, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν βοήθειαν, τὴν συμμαχίαν, τὴν περὶ αὐτὸν ἔννοιαν.

(1) Ὅθεν ὁ Νικήτας φησί· „Ταύτην δὲ αὐτοῖς τὴν τιμωρίαν ἐπήγαγε, τοὺς ἄλλους σωφρονεῖν ἀναγκάζων· τῶν γὰρ φοβερῶν, τὰ μὲν ὡς ἀγωνίσματα, εἰς ἐπίδειξιν ἀνδρίας προβάλλεται· ὡς τῷ Ἰὼβ ἡ τῶν ὑπαρχόντων στέρησις· τὰ δὲ, ὡς θεραπεία τῶν ἡμαρτημένων· ὡς τῷ Δαβὶδ ἡ περὶ τὸν οἶκον αἰσχύνη, παρανόμου ἐπιθυμίας δίκην ἀποτιννύντι· τὰ δὲ, ἐπὶ τῷ σωφρονεστέρους τοὺς ὑπολειπομένους ποιῆσαι· οἷα τὰ κατὰ Δαθὰν καὶ Ἀβειρών· ἐνταῦθα γὰρ, οὐκ αὐτοὶ τῷ τρόπῳ τῆς κολάσεως βελτίους γεγόνασι· πῶς γὰρ οἱ καταβάντες εἰς Ἅδου; οὓς χάσματα γῆς ἐπὶ μήκιστον εὐρυνόμενα κατέχωσε καὶ συνέσχεν; ἀλλὰ τοὺς λοιποὺς σωφρονεστέρους τῷ παραδείγματι πεποιήκασιν, ἰδόντας συγγενείας αὐτάνδρους ὑποσυρομένας, καὶ παγγενῆ καταπινομένας, καὶ οἰκίας ζώντων, τῆς γῆς διανοιχθείσης, εἰς ᾅδου κατερχομένας. περιέσχηκε δὲ λέγει ὁ Εὐσέβιος· „Ὅτι ὅταν μὲν οἱ Ἑβραῖοι παρεπίκραναν τὸν Θεὸν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, ἐγνώρισεν αὐτοῖς τὴν δυναστείαν αὐτοῦ· ὁμοίως καὶ ὅταν ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ, ἔδωκε τὸ αἴτημα αὐτῶν· ὅταν δὲ παρώργισαν τὸν Μωϋσῆν καὶ τὸν Ἀαρὼν, ἐπαίδευσεν αὐτούς· καὶ ἀνοίχθη ἡ γῆ καὶ κατέπιε τὸν Δαθὰν καὶ τὸν Ἀβειρών· οὐκ ἔδει γὰρ καταφρονηθῆναι τοὺς τοῦ Θεοῦ θεράποντας· καὶ ἐπειδὴ χρηστότης καὶ ἀποτομία ἐστὶ παρ' αὐτῷ, πρῶτον τὰ τῆς χρηστότητος παρέσχετο· καὶ ἐπειδὴ οὐκ ὠφελήθησαν, τὰ τῆς ἀποτομίας αὐτοῖς ἐπήγαγεν· ὅθεν κατὰ τὸν Ἡσύχιον, „Ἐπειδὴ ἐφαύλισαν τὸν τὴν ἐρυθρὰν διασχίσαντα, διὰ τοῦτο αὐτοὶ, τῆς γῆς σχισθείσης, ἀπώλοντο.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „Οὐχ ἁπλῶς τοῦ ὄρους Χωρὴβ ἐμνημόνευσεν, ἀλλὰ τὴν τῆς ἀσεβείας διδάσκων ὑπερβολήν· ἐν τούτῳ γὰρ ὤφθη τῶν ὅλων ὁ Κύριος· ἐν τούτῳ δείματος αὐτοὺς ἐνέπλησε μετὰ πλείστου πυρὸς φανεὶς, καὶ μετὰ τοσούτου δέους τὴν νομοθεσίαν προσφέρων· ἐν τούτῳ καὶ αὐτοὶ τετολμήκασι τὴν ἀσέβειαν. προσεκύνησαν δὲ τῷ γλυπτῷ· ἑτέρας γὰρ καὶ τοῦτο παραπληξίας κατηγορία· ὃ γὰρ ἑώρων διὰ τέχνης ἀνθρωπίνης εἶδος δεξάμενον, τούτῳ τὸ σέβας τὸ θεῖον προσήνεγκαν.

(3) Ὅθεν λέγει ὁ Θεοδώριτος· „Τοῦ δὲ μόσχου, αὐτὸ ἄλογος ἡ φύσις, καὶ ὁ χόρτος τροφὴ, καὶ ἡ δουλεία δέδωται

[illegible] διὰ [illegible] τῶν εἰρημένων [illegible] αὐτοὶ [illegible] λέγει, οἱ [illegible], ἄλλαξαν τὸν ἀληθῆ καὶ ζῶντα Θεὸν αὐτῶν [illegible] τὸ ὁμοίωμα ἑνὸς μοσχαρίου.

21: „ Καὶ ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σώ-
„ ζοντος αὐτοὺς, τοῦ ποιήσαντος
„ μεγάλα ἐν Αἰγύπτῳ,

22: „ Θαυμάσια ἐν γῇ Χὰμ· φοβερὰ ἐπὶ
„ θαλάσσης ἐρυθρᾶς.

23 Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτοὺς,
„ εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔ-
„ στη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ,
„ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ
„ τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς.

Προσκυνήσαντες, λέγει, οἱ Ἑβραῖοι τὸ χωνευτὸν μοσχάρι, ἀλησμόνησαν τὸν Θεὸν, ὁποῦ τοὺς ἐλύτρωσεν ἀπὸ τὴν Αἴγυπτον, καὶ ἔκαμε τόσα μεγάλα θαύματα δι' αὐτοὺς, τόσον εἰς τὴν Αἴγυπτον, ὅσον καὶ εἰς τὴν ἐρυθρὰν θάλασσαν καὶ εἰς τὴν ἔρημον· ὅθεν ὁ Θεὸς εἶπε πρὸς τὸν Μωϋσῆν νὰ τὸν ἀφήσῃ, διὰ νὰ ἐξολοθρεύσῃ ὅλους τοὺς Ἑβραίους· οὕτω γὰρ εἶπε πρὸς αὐτόν· „ Ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς ἐκτρίψω αὐτούς. (Ἐξ. λβ. 9.) διὰ τοῦτο καὶ ὁ Μωϋσῆς παρακαλῶν καὶ δυσωπῶν τὸν Θεὸν ἔλεγε[1]· „ Δέομαι Κύριε, ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην, καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυσοῦς. καὶ νῦν, εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας. (Ἐξ. λβ. 31.)

λέγουσι δὲ [illegible], ὅτι [illegible] καὶ λέγει ἡ Γραφὴ ἕνα μόσχον, ἀλλ' ὅμως πολλοὶ μόσχοι ἔγιναν· διὰ τοῦτο καὶ οἱ Ἑβραῖοι ἔλεγον χορεύοντες· „ Οὗτοι οἱ θεοί σου Ἰσραὴλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου (Ἐξ. λβ. 4.) καὶ ὁ Μωϋσῆς δὲ χρυσοῦς θεοὺς εἶπεν, ὡς ἀνωτέρω εἴρηται. ἄλλοι δὲ νοοῦσιν, ὅτι τὸ πληθυντικὸν ἐμεταχειρίσθη ἀντὶ ἑνικοῦ, κατὰ τὴν συνήθειαν τῆς Ἑβραϊκῆς γλώσσης. (ε)

24: „ Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητὴν·
„ οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ.

Ἀπεστράφησαν, λέγει, καὶ κατεφρόνησαν οἱ Ἑβραῖοι τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας· ἐπειδὴ καὶ δὲν ἐπίστευσαν εἰς τὰ λόγια καὶ ὑποσχέσεις, ὁποῦ ἔδωκεν ὁ Θεὸς εἰς τοὺς προπάτοράς των περὶ τῆς γῆς ταύτης. τὴν καταφρόνησιν δὲ ταύτην τῆς γῆς τῆς ἐπαγγελίας θέλεις εὕρῃς εἰς τὴν βίβλον τῶν Ἀριθμῶν ἐν κεφαλ. ιδ. ὅταν γυρίσαντες οἱ δώδεκα κατάσκοποι ἀπὸ τὴν γῆν τῆς ἐπαγγελίας, ἐδιηγοῦντο περὶ αὐτῆς, οἱ δὲ Ἑβραῖοι ἀκούσαντες ἐδειλίασαν, καὶ ἔκλαιον.

25: „ Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμα-
„ σιν αὐτῶν· οὐκ εἰσήκουσαν τῆς φω-
„ νῆς Κυρίου.

Μέσα, λέγει, εἰς τὰ τζαδίρια των ἐγόγγυσαν

---

[a] [illegible] -φημένη ἀνθρώποις, ἡ εἰκὼν εὐτελεστέρα πολλῷ· οὐ γὰρ μόνον ἄλογος, ἀλλὰ καὶ ἄψυχος· οὐκ ἐνεργεῖν, οὐ μυκᾶσθαι, οὐκ ἐσθίειν ἰσχύουσα· ἀλλ' ὅμως τὴν οὕτως ἀδρανῆ, τοῦ Θεοῦ τῶν ὅλων προτετιμήκασιν. ὁ Σεβῆρος δὲ λέγει· „ Ὅτι ὁ Δαβὶδ οὐ λέγει τὸ ὁμοίωμα τοῦ ζώου μόνον, ἀλλὰ καὶ τῆς τραπέζης αὐτοῦ μέμνηται λέγων· „ Ἐσθίοντος χόρτον, καθαπτόμενος τῶν ἀναισθήτων.

(1) Λέγει δὲ ὁ Χρυσορρήμων σὺν τῷ Θεοδωρίτῳ· „ Ἴδιον τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸ μὴ σιωπῇ τὰς κολάσεις ἐπάγειν· ἀλλὰ προκηρύττειν διὰ τῶν ἀπειλῶν, προκαλουμένου εἰς μετάνοιαν τοὺς ἡμαρτηκότας· ὡς πεποίηκε Νινευΐταις διὰ τοῦ Ἰωνᾶ· καὶ ἐν Εὐαγγελίῳ ἐπὶ τῆς ἐν παραβολῇ συκῆς. οὕτως οὖν κἀνταῦθα δεκτέον τὴν πρόῤῥησιν, οὐκ ἀπόφασιν τοῦ πάντως ἐκβησομένου· ἀλλ' ἀπειλὴν ἐπιστροφὴν ἐμποιοῦσαν ἀπὸ τῆς ἁμαρτίας· ἡμαρτηκότι γὰρ τῷ Ἰσραὴλ, οὐ σιωπῇ ἐπήγαγε τὸν ἀφανισμόν· ἀλλὰ κινῶν εἰς τὴν ὑπὲρ τοῦ λαοῦ ἱκεσίαν τὸν ἑαυτοῦ θεράποντα, προεκήρυσσε λέγων· ἔασόν με, καὶ τὰ ἑξῆς. τοῦτο δὲ οὕτως εἶπε πρὸς τὸν Μωϋσῆν, ὅπως τὸ γνήσιον δειχθῇ τῆς τοῦ Μωσέως περὶ τὸν λαὸν διαθέσεως.

σαν οἱ Ἑβραῖοι· ἔφη γὰρ τὸ βιβλίον τῶν ἀριθμῶν· „ Καὶ ἀναλαβοῦσα πᾶσα ἡ συναγωγὴ ἔδωκε φωνὴν, καὶ ἔκλαιεν ὁ λαὸς ὅλην τὴν νύκτα ἐκείνην· καὶ διεγόγγυζον ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν (Ἀριθ. ιδ. 1.) ὅταν δηλαδὴ οἱ δώδεκα κατάσκοποι, ὁποῦ ἐςάλθησαν νὰ ἰδοῦν τὴν γῆν τῆς ἐπαγγελίας, γυρίσαντες ὀπίσω ἐδιηγήθησαν εἰς τὸν λαὸν διὰ τὴν δύναμιν τῶν Ἐθνῶν, ὁποῦ ἐκατοίκουν εἰς αὐτήν· ἐγόγγυσαν, λέγει, καὶ δὲν ἤκουσαν τὴν φωνὴν τοῦ Κυρίου, οὐδὲ ἐπίςευσαν εἰς αὐτήν, ἡ ὁποία ὑπέσχετο νὰ δώσῃ εἰς αὐτοὺς τὴν εἰρημένην γῆν.

26: „ Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐ-
„ τοὺς τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ
„ ἐρήμῳ.

27: „ Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα
„ αὐτῶν ἐν τοῖς Ἔθνεσι, καὶ δια-
„ σκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.

Ὁ Θεὸς, λέγει, ἐκίνησε κατὰ τῶν Ἑβραίων τὴν χεῖρά του: ἤγουν τὴν κολαστικὴν καὶ τιμωρητικήν του δύναμιν διὰ νὰ τοὺς θανατώσῃ, καὶ νὰ καταφυτεύσῃ τὰ τέκνα τῶν γογγυςῶν Ἑβραίων εἰς τὴν γῆν τῶν Ἐθνῶν: τῶν Χαναναίων δηλαδὴ καὶ τῶν λοιπῶν· καὶ νὰ διασκορπίσῃ αὐτὰ εἰς τὰς χώρας αὐτῶν· εἶπε γὰρ, φησι, Κύριος πρὸς Μωϋσῆν· „ Ὅτι πάντες οἱ ἄνδρες, οἱ ἐπείρασάν με τοῦτο δέκατον, καὶ οὐκ εἰσήκουσαν τῆς φωνῆς μου, ἢ μὴν οὐκ ὄψονται τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, ἀλλ' ἢ τὰ τέκνα αὐτῶν, ἅ ἐςι μετ' ἐμοῦ ὧδε. (Ἀριθ. ιδ. 22.)

28: „ Καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ,
καὶ ἔφαγον θυσίας νεκρῶν,

Τελετὴ, λέγει καὶ ὡσὰν ἑορτὴ καὶ πανήγυρις ἔγιναν οἱ Ἰουδαῖοι εἰς τὸ Βεελφεγὼρ· ἢ ἐμυήθησαν εἰς τὸ Βεελφεγὼρ· τὸ ὁποῖον ἦτον Εἴδωλον τῶν Μαδιανιτῶν, καθὼς ἱςορεῖται ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν· „ Ἐτελέσθη γὰρ, φησιν, Ἰσραὴλ τῷ Βεελφεγὼρ (Ἀριθ. κε. 3.) ὅταν ἐπιθυμήσαντες οἱ Ἑβραῖοι τὰς θυγατέρας τῶν Μωαβιτῶν, καὶ Μαδιανιτῶν ἐπείσθησαν ἀπὸ αὐτὰς νὰ προσκυνήσουν τὰ εἴδωλά των· ὅθεν καὶ ἔφαγον τὰς θυσίας τῶν νεκρῶν: ἤγουν ἐκείνας, ὁποῦ ἐπροσφέροντο εἰς τὰ νεκρὰ καὶ ἀναίσθητα, καὶ ἀνενέργητα εἴδωλα, κατὰ τὸν Χρυσόςομον καὶ Θεοδώριτον. (1)

29: „ Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπι-
„ τηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη
„ ἐν αὐτοῖς ἡ πτῶσις,

Οἱ Ἑβραῖοι, λέγει, μὲ τὰ ἀνωτέρω πονηρὰ ἔργα

(1) Λέγει δὲ ὁ Ἀθανάσιος· „ Τὸ Βεελφεγὼρ εἴδωλόν ἐςιν Ἀμμανιτῶν· ὁ καλούμενος παρ' Ἕλλησι Κρόνος, καὶ ὁ Ἀπολλινάριος δὲ λέγει· „ Εἴδωλον δὲ Βάαλ ἐν τόπῳ Φεγώρ· Ἕλληνες δὲ τὸν Βάαλ Βὴλ ὀνομάζουσιν, ὅν φασιν εἶναι τὸν Κρόνον· φαίνεται δὲ ὅτι τὸ Φογὼρ ὀνομάζεται καὶ Φογόρ· „ Ἐχθραίνετε γὰρ εἶπεν ὁ Μωϋσῆς πρὸς τὸν λαὸν, ἐχθραίνετε τοῖς Μαδιηναίοις, καὶ πατάξατε αὐτοὺς, ὅτι ἐχθραίνουσιν ὑμῖν ἐν δολιότητι, ὅσα δολιοῦσιν ὑμᾶς διὰ Φογὼρ καὶ διὰ Χασβὶ θυγατέρα ἄρχοντος Μαδιάμ (Ἀριθ. κε΄. 17.) ἔςι δὲ τὸ Φογὼρ ὄρος καθὼς γέγραπται· „ Καὶ παρέλαβε Βαλὰκ τὸν Βαλαὰμ ἐπὶ κορυφὴν τοῦ Φογὼρ τὸ παρατεῖνον εἰς τὴν ἔρημον· (Ἀριθ. κγ΄. 28.) φαίνεται λοιπὸν, ὅτι ἐπειδὴ εἰς τὸ ὄρος Φογὼρ ἦτον ςημένον τὸ Εἴδωλον τοῦ Βάαλ, διὰ τοῦτο ὠνόμασεν αὐτὸ ἀνωτέρω ὁ Μωϋσῆς Φογὼρ, κατὰ συνεκδοχὴν ἀπὸ τοῦ τόπου τὸ ἐντοπιζόμενον Εἴδωλον δηλοποιῶν· ὅθεν καὶ ὁ Θεοδώριτος εἶπε· „ Φεγὼρ μὲν ἐκαλεῖτο τοῦ εἰδώλου ὁ τόπος, Βάαλ δὲ τὸ Εἴδωλον· τοῦτον δέ φασι Κρόνον καλεῖσθαι τῇ Ἑλλάδι φωνῇ. θυσίας δὲ νεκρῶν προστίθησι ὁ Θεοδώριτος, τὰς καλουμένας παρ' Ἕλλησι χοὰς, ἃς τοῖς νεκροῖς προσφέρειν εἰώθασιν· ἢ καὶ διατὶ μὲ νεκρομαντείας ἐποίουν τελετὰς εἰς τὰ Εἴδωλα, καὶ μνήμας νεκρῶν ἀνδρῶν ἀνέφερον· ὡς ἄλλος λέγει.

ἔρημον ἐπαρώργισαν τὸν Θεὸν, καὶ διὰ τοῦτο ἔ-
πεσαν ἀπὸ αὐτοὺς πολλοὶ ἤγουν ἀπέθανον. (1)

[illegible]

30 „ Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο καὶ
„ ἐκόπασεν ἡ θραῦσις.
31 „ Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύ-
„ νην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ
„ αἰῶνος.

[illegible]

Ὅταν, λέγει, οἱ Ἑβραῖοι ἔπεσαν εἰς τὰς θυγατέρας τῶν Μωαβιτῶν, τότε ὁ Φινεὲς βλέποντας ἕνα Ἰσραηλίτην Ζαμβρὶ ὀνομαζόμενον, πορνεύοντα ἀδιάντροπα μὲ μίαν Μαδιανίτισσαν Χασβὴ καλουμένην, ἔμπροσθεν τοῦ Μωϋσέως καὶ τῶν υἱῶν Ἰσραὴλ, ἐσηκώθη ἀπὸ τὴν συναγωγὴν, καὶ πέρνωντας σειρομάστην: ἤγουν κοντάρι, ἐκτύπησε καὶ διεπέρασε πέραν καὶ πέραν τὸν Ἰσραηλίτην μαζὶ μὲ τὴν Μαδιανίτισσαν· καὶ ἔτζι ἔπαυσεν ἡ ὀργὴ τοῦ Θεοῦ: ἤτοι ἡ πτῶσις καὶ ὁ θάνατος τοῦ λαοῦ· ὁ δὲ Φινεὲς ἦτον υἱὸς Ἐλεαζάρου υἱοῦ Ἀαρὼν ἤγουν ἔγγονος τοῦ Ἀαρών· ὅθεν ὁ ζῆλος αὐτὸς, ὁποῦ ἔδειξεν ὁ Φινεὲς, ἐλογίσθη εἰς ἀρετὴν καὶ ἀνδραγαθίαν μεγάλην· διὰ τοῦτο καὶ στέφανον ἔλαβεν ἀπὸ τὸν Θεὸν, νὰ ἔχῃ τὴν ἱερωσύνην αἰώνιον, αὐτὸς καὶ τὰ τέκνα του· καὶ ὄχι μόνον ταῦτα, ἀλλὰ καὶ πάντοτε εὐφημίζεται τὸ ὄνομά του διὰ τὸν φόνον ἐκεῖνον, ὁποῦ ἔκαμε διὰ τὴν εὐσέβειαν· καὶ ὅρα εἰς τὸ κε΄: κεφάλαιον τῶν Ἀριθμῶν. (2)

32 „ Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος
„ ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς
„ δι' αὐτούς.
33 „ Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐ-
„ τοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλε-
„ σιν αὐτοῦ.

[illegible]

Οἱ Ἑβραῖοι, λέγει, παρώργισαν τὸν Θεὸν εἰς τὴν ἔρημον Κάδης· ἐπειδὴ γὰρ ἐκεῖ ἐδίψησεν ὁ λαὸς, καὶ ἐπαραπονεῖτο καὶ ἐγόγγυζε καὶ ἀντιλογεῖ, διὰ τοῦτο καὶ τὸ νερὸν ἐκεῖνο, ὁποῦ ἔρρευσεν ἐκ τῆς πέτρας, ὠνομάσθη ὕδωρ ἀντιλογίας· ἐκακώθη δὲ ὁ Μωϋσῆς διὰ τοὺς Ἑβραίους· διατὶ ἐπροστάχθη μὲν αὐτὸς ἀπὸ τὸν Θεὸν νὰ πάρῃ τὴν ῥάβδον του, καὶ νὰ συνάξῃ ὅλον τὸν λαὸν, καὶ νὰ λαλήσῃ πρὸς τὴν ἐκεῖ ἀντικρὺ εὑρισκομένην πέτραν διὰ νὰ εὐγάλῃ νερὸν λαβὼν ὅμως τὴν ῥάβδον του, καὶ συνάξας τὸν λαὸν εἶπε πρὸς αὐτούς· „ Ἀκούσατέ μου ὦ ἀπειθεῖς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομαι ὑμῖν ὕδωρ; (Ἀριθ. κ΄. 10.) ἔπειτα ἐκτύπησε τὴν πέτραν μὲ τὸ ῥαβδί του δύω φοραῖς, καὶ εὐγῆκε νερὸν πολύ· ἐπειδὴ λοιπὸν δὲν ἐλάλησε πρὸς τὴν πέτραν, καθὼς εἶπεν αὐτῷ ὁ Θεὸς, εἰς δόξαν Θεοῦ ἀλλὰ ἐλάλησε πρὸς τὸν λαὸν μὲ ἀγανάκτησιν καὶ ὀλιγωρίαν, διὰ τοῦτο ἐκακοπριήθη ἀπὸ τὸν Θεόν· ὅστις εἶπε πρὸς τὸν Ἀαρὼν, καὶ πρὸς τὸν Μωϋσῆν· ἐπειδὴ δὲν ἐπιστεύσατε εἰς ἐμένα νά με ἁγιάσετε: ἤγουν νά με δοξάσετε ἔμπροσθεν εἰς τοὺς υἱοὺς Ἰσραὴλ, διὰ τοῦτο δὲν θέλετε ἐμβάσετε ἐσεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν τῆς ἐπαγγε-

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Ἐνταῦθα αἰνίττεται, ὅτι οὐ ταῦτα μόνον ἡμάρτανον, ἀλλὰ διηνεκῶς· ἅπερ ἅπαντα κατὰ μέρος διηγήσασθαι οὐκ ἀνέχεται· οὐ γὰρ πρότερον, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, μυριοστὸν δὲ αὐτοὺς ἁμαρτάνοντας καὶ διαφόρως ἀσεβοῦντας ἔφερεν ὁ μακρόθυμος.

(2) Λέγει δὲ ὁ Φίλων Ἰουδαῖος, ὅτι τὸ παράδειγμα τοῦ Φινεὲς μιμησάμενοι καὶ μερικοὶ ἄλλοι, ζηλωταὶ τῆς εὐσεβείας καὶ ἐγκρατείας, κατὰ προσαγὴν τοῦ Μωϋσέως, ἐσκότωσαν εἰκοσιτέσσαρας χιλιάδας Ἑβραίους εἰς μίαν ἡμέραν, τοὺς προσκυνήσαντας καὶ θυσιάσαντας εἰς τὰ Εἴδωλα· καὶ ἔτζι ἐκαθάρισαν τὸ γένος τῶν Ἑβραίων ἀπὸ τὸν κοινὸν μολυσμόν· „ Τοῦτο θεασάμενοί τινες τὸ παράδειγμα, τῶν ἐγκράτειαν καὶ θεοσέβειαν ἐζηλωκότων, προστάξαντος Μωσέως, ἐμιμήσαντο, καὶ πάντας τοὺς τελεσθέντας τοῖς χειροποιήτοις συγγενεῖς καὶ φίλους ἡβηδὸν ἀνελόντες, τὸ μίασμα τοῦ Ἔθνους ἐκκαθαίρουσι· φασὶ γοῦν τετρακισχιλίους πρὸς τοῖς δισμυρίοις ἀναιρεθῆναι ἐν μιᾷ ἡμέρᾳ· τοῦτο τὸ ἴδιον λέγει καὶ ἡ Γραφή· „ Καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ πληγῇ τέσσαρες καὶ εἴκοσι χιλιάδες· (Ἀριθ. κε΄. 9.) οὐδὲ [illegible] σκόπει, λέγει ὁ Χρυσόστομος, πῶς οὐδέτερος αὐτῶν (ἤτοι οὔτε ὁ Μωϋσῆς οὔτε ὁ Φινεὲς) [illegible] ἁπλῶς ἐπιτυγχάνει τῆς ὑπὲρ τῶν ἡμαρτηκότων συγγνώμης· ταῦτα δὲ λέγω, ἵνα μὴ ταῖς εὐχαῖς τῶν ἁγίων θαῤῥῶμεν μόνον, ἀλλὰ καὶ τὴν παρ' ἑαυτῶν εἰσφέρωμεν μετάνοιαν.

γελίας, τὴν ὁποίαν ἔδωκε εἰς αὐτούς. ἡ αἰτία δὲ ὁποῦ ὡμίλησεν ὁ Μωϋσῆς ἔτζι ἦτον, διατὶ προλαβόντες οἱ Ἰσραηλῖται ἐπίκραναν τὴν ψυχὴν τοῦ Μωϋσέως, μὲ τὸ νὰ ἐγόγγυζαν καὶ ἐλοιδόρουν αὐτόν· ἐκ τούτου γὰρ ἀναγκασθεὶς, ὠλιγώρησεν· ἤγουν ὀλίγον ἐφρόντισε διὰ τὴν προσταγὴν ὁποῦ τοῦ ἔδωκεν ὁ Θεός. διέστειλε δὲ ἐν τοῖς χείλεσιν αὐτοῦ θέλει νὰ εἰπῇ, ὅτι διστακτικῶς ἐλάλησεν ὁ Μωϋσῆς καὶ μὲ ἀμφιβολίαν, μὴ πιστεύωντας, ὅτι ἐξάπαντος ἔχει νὰ εὔγῃ ὕδωρ ἀπὸ τὴν πέτραν· νομίζω γὰρ, ὅτι ὑπέλαβε, πῶς δὲν θέλει εὐγάλῃ ὕδωρ ἡ πέτρα· διατὶ οἱ Ἑβραῖοι συχνὰ ἐφαίνοντο ἀχάριστοι πρὸς τὸν Θεὸν, τὸν εὐεργετοῦντα αὐτοὺς μὲ τόσας καὶ τόσας εὐεργεσίας. (1)

34: „ Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη, ἃ „ εἶπε Κύριος αὐτοῖς.

35: „ Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ „ ἔμαθον τὰ ἔργα αὐτῶν.

Οἱ Ἑβραῖοι, λέγει, δὲν ἐξωλόθρευσαν ὅλα τὰ ἔθνη, ὁποῦ ἦσαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας καθὼς εἶπεν εἰς αὐτοὺς ὁ Θεὸς, ἵνα μὴ μάθωσι τὰ ἔργα αὐτῶν τὰ πονηρὰ, καὶ τοῖς εἰδώλοις λατρεύσωσιν, ὡς ἱστορεῖ περὶ τούτων ἡ βίβλος τῶν Κριτῶν. ἀλλὰ καὶ πρὸς τούτοις σμίγοντες μὲ τὰ ἔθνη, ἔμαθον τὰ ἔργα ἐκείνων τὰ πονηρὰ καὶ ἀσεβῆ· ἄρα δὲ καὶ [illegible] „ Καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν. (2)

36: „ Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐ„ τῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάν„ δαλον.

37: „ Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ „ τὰς θυγατέρας αὐτῶν τοῖς Δαιμο„ νίοις.

38: „ Καὶ ἐξέχεαν αἷμα ἀθῶον, αἷμα υἱ„ ῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυ„ σαν τοῖς γλυπτοῖς Χαναάν.

Οἱ

(1) Ὅθεν λέγει ὁ Χρυσόστομος· „ Ἐφ' ᾧ καὶ Μωσῆς ἀπωδύρετο πρὸς τοὺς Ἰσραηλίτας λέγων· „ Καὶ Κύριος ὁ Θεὸς ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ' ὑμῶν· καὶ ὤμοσεν, ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην τοῦτον, καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς δίδωσί σοι ἐν κλήρῳ. (Δευτ. δ'. 21.) καὶ πάλιν· „ Καὶ ὑπερεῖδε Κύριος ἐμὲ ἕνεκεν ὑμῶν, καὶ οὐκ εἰσήκουσέ μου· καὶ εἶπε Κύριος πρός με· ἱκανούσθω σοι· μὴ προσθῇς ἔτι λαλῆσαι τὸν λόγον τοῦτον (Δευτ. γ'. 26.) μονονουχὶ λέγων· „ Νήφετε καὶ σωφρονεῖτε· εἰ γὰρ ἐμοῦ τοῦ νομοθέτου οὐκ ἐφείσατο διὰ τὴν ἁμαρτίαν ἐκείνην, ἐννοήσατε ποίαν ὑποστήσεσθε τιμωρίαν ὑμεῖς, εἰ τοῖς αὐτοῖς ἐπιμένετε κακοῖς. Ἐντεῦθεν μανθάνομεν, ὅτι κἂν μεγάλα τις ἁμάρτῃ, λαθὼν δὲ ἐργάσηται τοῦτο, καὶ μηδένα σκανδαλίσῃ, ἐλάττονα δίδωσι δίκην, τοῦ καταδεέστερα μὲν ἡμαρτηκότος, μετὰ παῤῥησίας δὲ καὶ τοῦ πολλοὺς σκανδαλίσαι. θαυμάζει δὲ καὶ ὁ μέγας Βασίλειος λέγων· „ Ἐγὼ μὲν ὅταν ἴδω τὸν μέγαν τοῦ Θεοῦ θεράποντα Μωϋσέα ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας, οὐδενὸς ἕνεκεν ἑτέρου, ἀλλ' ἵνα μόνον εἴπῃ γογγύζοντι τῷ λαῷ δι' ἀπορίαν ὕδατος· „ Μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξομαι ὑμῖν ὕδωρ; τούτου μόνου ἕνεκα εὐθὺς ἀπειλὴν δεχόμενον εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι, ἥτις ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον· ὅταν ἴδω τοῦτον παρακαλοῦντα καὶ μὴ συγχωρούμενον. ὄντως μὲν ὁρῶ Θεοῦ ἀποτομίαν κατὰ τὸν Ἀπόστολον· ὄντως δὲ ἐκεῖνο ἀληθὲς εἶναι πείθομαι τό· „ Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; δοκεῖ μὲν οὖν, κατὰ τὸν Θεοδώριτον, ὡς τιμωρίαν ἐπιθεῖναι τῷ Μωϋσῇ τὴν ἔξω τῆς ἁγίας γῆς τελευτὴν τῶν ὅλων ὁ πρύτανις· ἕτερα δὲ οἰκονομῶν ἐπραγματεύσατο ταῦτα· πρῶτον μὲν γὰρ τὴν τῶν Ἰουδαίων ἐπιστάμενος ἄνοιαν, οὐκ εἴασε δι' αὐτοῦ πᾶσαν τὴν ὑπόσχεσιν πέρας λαβεῖν, ἵνα μὴ αὐτὸν Θεὸν ὑπολάβωσιν· διά τοι τοῦτο καὶ τὸν τάφον αὐτοῦ λαθεῖν ἐποίησεν ὁ Θεός· πρὸς δὲ τούτῳ, καὶ τῆς νομοθεσίας ἠβουλήθη δεῖξαι τὸ πρόσκαιρον, ἀπὸ τῶν αὐτῷ τῷ νομοθέτῃ συμβάντων. καὶ ὁ θεῖος δὲ Κύριλλος λέγει· „ Ἑτέρως δὲ παραδεξόμεθα, Μωϋσῆν μὲν εἰς τὸν νόμον, εἰς Ἱερωσύνην δὲ τὸν Ἀαρὼν, τὸ δὲ τῆς ἐν νόμῳ λατρείας πρόσωπον τῇ Μαριὰμ περιθήσομεν. οὐ τοίνυν, οὔτε ὁ νόμος, οὔτε ἡ κατ' αὐτὸν Ἱερωσύνη, οὔτε ἡ ἐν σκιαῖς λατρεία εἰς τὸν τῶν ἁγίων κλῆρον, καὶ εἰς τὴν ἀληθεστέραν τῆς ἐπαγγελίας γῆν ἡμᾶς εἰσκομίσει· οὐ γὰρ δι' αἱμάτων εὐαρεστήσομεν· βαδιούμεθα δὲ μᾶλλον εἰς τὴν ἄνω πόλιν, καὶ εἰς τὸν τῶν Πατέρων ἥξομεν κλῆρον, καθηγητὴν ἔχοντες τὸν Χριστὸν, ὡς Ἰουδαῖοι τὸν Ἰησοῦν τοῦ Ναυῆ.

(2) Οὐ μόνον, λέγει ὁ Χρυσόστομος, οὐκ ἐξωλόθρευσαν, ἀλλὰ καὶ ἀνεμίγησαν αὐτοῖς, καὶ πρὸς τὴν ἀσέβειαν κατεμόλησαν· καὶ οὐ μόνον ἐκείνους οὐκ ἐποίησαν βελτίους, ἀλλὰ καὶ αὐτοὶ ἐξ ἐκείνων ἐγένοντο χείρους.

Οἱ Ἑβραῖοι, λέγει, ἐλάτρευσαν εἰς τὰ εἴδωλα τῶν Ἐθνῶν· καὶ ἔτζι ἐγεννήθησαν τὰ εἴδωλα εἰς σκάνδαλον αὐτῶν. ἡ λατρεία ὁπού ἐπρόσφερον εἰς τὰ εἴδωλα, ἔγινεν εἰς αὐτοὺς ἐμπόδιον τῆς τοῦ Θεοῦ ἐπισκοπῆς καὶ βοηθείας· καὶ ἀκολούθως ἔγινεν εἰς πτῶσιν αὐτῶν. ἐθυσίασαν δὲ οἱ Ἑβραῖοι τοὺς υἱοὺς καὶ τὰς θυγατέρας των εἰς τὰ Δαιμόνια, ἐκχέοντες τὸ ἀθῶον καὶ ἀναίτιον αἷμα αὐτῶν· ἀκόλουθον δὲ ἦτον νὰ κάμνουν οἱ Ἑβραῖοι ταῦτα· διατὶ ἔμαθον τὰ ἔργα τῶν Ἐθνῶν, τὰ γὰρ Ἔθνη κατά τινας καιροὺς ἐθυσίαζον τοὺς υἱοὺς των εἰς τὰ εἴδωλα. (1)

„ Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς
„ αἵμασι·

39: „ Καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν·
„ καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύ-
„ μασιν αὐτῶν.

Τὸ ἐμιάνθη εἶναι ἑρμηνευτικὸν τοῦ ἐφονοκτονήθη· ἐμολύνθη, λέγει, ἡ γῆ ἀπὸ τοὺς φόνους καὶ τὰ αἵματα, καὶ ἀπὸ τὰ πονηρὰ ἔργα τῶν Ἑβραίων· ὅθεν αὐτοὶ χωρισθέντες ἀπὸ τὸν Θεὸν, ἐκολλήθησαν εἰς τὰ Δαιμόνια· τὴν λατρείαν γὰρ τῶν εἰδώλων καὶ Δαιμόνων πορνείαν καὶ μοιχείαν ὀνομάζει καὶ ὁ Δαβὶδ, καὶ ἄλλοι Προφῆται· πλὴν νοεῖται ὁ λόγος καὶ διὰ τὰς σαρκικὰς ἀκολασίας αὐτῶν. (2)

40: „ Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν
„ λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν
„ κληρονομίαν αὐτοῦ.

41: „ Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας
„ ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ
„ μισοῦντες αὐτούς.

Ὅθεν διὰ τὴν δαιμονολατρείαν, λέγει, καὶ τὰ παράνομα ἔργα τῶν Ἑβραίων, ὠργίσθη ὁ Κύριος ἐπάνω εἰς τὸν λαόν του, καὶ ἐσιγχάθη τὴν κληρονομίαν του· ἤτοι αὐτοὺς πάλιν τοὺς Ἑβραίους· διὰ τοῦτο καὶ παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖρας τῶν ἐχθρῶν τους, καὶ ἐκυρίευσαν αὐτοὺς, καθὼς ταῦτα ἱστορεῖ ἡ βίβλος τῶν Κριτῶν. (3)

42: „ Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐ-
„ τῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς
„ χεῖρας αὐτῶν.

43: „ Πλεονάκις ἐῤῥύσατο αὐτοὺς, αὐτοὶ
„ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βου-
„ λῇ αὐτῶν· καὶ ἐταπεινώθησαν ἐν
„ ταῖς ἀνομίαις αὐτῶν.

Πολλαῖς φοραῖς, λέγει, ὁ Θεὸς ἐλύτρωσε τοὺς Ἑβραίους ἀπὸ τὰς χεῖρας τῶν ἐχθρῶν τους, ὡς

μαρ-

---

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Διπλοῦν τὸ ἔγκλημα, ὅτι τε ἔθυσαν υἱοὺς, καὶ ὅτι ἀθώους· μάλιστα μὲν γὰρ οὐδὲ ὑπευθύνους ὄντας κολάζειν ἐχρῆν· νῦν δὲ καὶ ἀθώους· καὶ τρίτον ἔτι τούτου χαλεπώτερον, ὅτι καὶ Δαιμονίοις· καὶ οἱ μὲν Δαίμονες ἔλεγον σφάξαι τέκνα, καὶ ὑπήκουον· ὁ δὲ Θεὸς ἔλεγεν ἀπολέσαι Ἔθνη, καὶ ἀντέλεγον· ἐβούλετο δὲ τοῦτο ὁ Θεὸς, ἵνα μὴ πάλιν διδασκάλους ἔχωσι πονηρίας.

(2) Ὅθεν λέγει ὁ Θεοδώριτος· „ Πορνείαν ἐνταῦθα οὐ τὴν ἀκολασίαν μόνον, ἀλλὰ καὶ τὴν τῶν Εἰδώλων λατρείαν καλεῖ. λέγει δὲ ὁ Χρυσόστομος· „ Συνεχῶς ταύτην (τὴν εἰδωλολατρείαν) πορνείαν μάλιστα καλεῖν εἰώθασιν οἱ Προφῆται, ὁμοῦ τοῦ Θεοῦ τὴν κηδεμονίαν ἐνδεικνύμενοι, καὶ τὴν ἐκείνων ἀγνωμοσύνην· ὁπόσην γὰρ ἀνὴρ περὶ γυναῖκα ἐνεδείξατο πρόνοιαν, τοσαύτην ὁ Θεὸς περὶ ἐκείνους· ἀλλὰ καὶ οὕτως ἀπεσκίρτησαν, καὶ περὶ τὰ Εἴδωλα ἐκαμμάνησαν. ὁ δὲ Ἡσύχιος, τὴν ἀπὸ Θεοῦ ἀποστασίαν πορνείαν καλεῖ.

(3) Λέγει γὰρ ὁ Χρυσοῤῥήμων· „ Ἐπειδὴ οὐκ εἰς δέον ἐχρήσαντο τῇ ἐλευθερίᾳ, ποιεῖ δούλους αὐτοὺς τῶν βαρβάρων· ἵνα ταύτῃ γένωνται βελτίους, ὅπερ οὖν καὶ συνέβη· τότε γὰρ καὶ συνεστάλησαν, καὶ ἐπιεικέστεροι κατέστησαν. λέγει δὲ ὁ Εὐσέβιος· „ Οὐ παραδίδωσι Κύριος τὸν λαὸν αὐτοῦ, ἐὰν μὴ πρότερον βδελύξηται αὐτόν· βδελύσ-

μαρτυρεῖ ἡ βίβλος τῶν Κριτῶν · αὐτοὶ ὅμως ἐλύπησαν τὸν λυτρωτήν τους Θεὸν μὲ τὴν πονηράν τους βουλήν, καὶ μὲ τὴν ἀχάριςον γνώμην τους · καὶ ἐκατάπεσαν καὶ ἀδυνάτησαν ἀπὸ τὰς πολλὰς ἀνομίας των. (1)

44: „ Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι
„ αὐτοὺς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι
„ τῆς δεήσεως αὐτῶν.

45: „ Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ,
„ καὶ μετεμελήθη κατὰ τὸ πλῆθος
„ τοῦ ἐλέους αὐτοῦ.

46: „ Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς
„ ἐναντίον πάντων τῶν αἰχμαλωτευ-
„ σάντων αὐτούς.

Ὁ Θεός, λέγει, εἶδε πῶς ἐθλίβοντο οἱ Ἑβραῖοι, καὶ εἰσήκουσε τῆς δεήσεώς των · ὅθεν ἐνθυμήθη τὴν διαθήκην καὶ ἐπαγγελίαν, ὁποῦ ἔδωκεν εἰς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ ὡς πολυέλεος μετέβαλε τὴν ὀργήν του εἰς ἔλεος. τοῦτο γὰρ δηλοῖ τὸ μεταμελήθη · διὰ τοῦτο οἰκτείρησε καὶ ἠλέησεν αὐτοὺς, ὄχι κρυφίως καὶ ἀφανῶς, ἀλλὰ φανερὰ καὶ μὲ παῤῥησίαν, ὥςε ὁποῦ ἔμαθον τὸ πρὸς αὐτοὺς θεῖόν του ἔλεος ὅλοι ἐκεῖνοι, ὁποῦ ἐσκλάβωσαν τοὺς Ἑβραίους · διότι καθὼς ἡ βίβλος τῶν Κριτῶν ἱςορεῖ, διάφορα Ἔθνη κατὰ διαφόρους καιροὺς ἐσκλάβωσαν αὐτούς. ἐγίνε δὲ τοῦτο κατὰ τὸν Εὐσέβιον καὶ Ἀθανάσιον, καὶ ἐπὶ τοῦ βασιλέως Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου, καθὼς ὁ Ἔσδρας ἱςόρησεν. (2)

47: „ Σῶσον ἡμᾶς Κύριε ὁ Θεὸς ἡμῶν,
„ καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν Ἐ-
„ θνῶν, τοῦ ἐξομολογήσασθαι τῷ
„ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυ-
„ χᾶσθαι ἐν τῇ αἰνέσει σου.

48: „ Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ
„ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶ-
„ νος · καὶ ἐρεῖ πᾶς ὁ λαὸς γένοιτο
„ γένοιτο.

Ἐδῶ πάλιν γυρίζει εἰς τὴν προτέραν παρακάλεσιν ὁ Δαβίδ · νομίζω δὲ, ὅτι ἡ παρακάλεσις αὐτὴ γίνεται ἐκ προσώπου τῆς ἐξ Ἐθνῶν Ἐκκλησίας. ἴσως δὲ καὶ ἐκ προσώπου ἐκείνων τῶν Ἑβραίων, ὁποῦ ἐσκορπίσθησαν εἰς διαφόρους τόπους ὕςερα ἀπὸ τὴν αἰχμαλωσίαν τῶν Βαβυλωνίων · συμμάζωξον, λέγει, ἡμᾶς ὦ Κύριε, διὰ νὰ σὲ εὐχαριςοῦμεν ὡς λυτρωτὴν καὶ ἐλευθερωτήν μας · καὶ διὰ νὰ καυχώμεθα εἰς τὸ νὰ σὲ δοξάζωμεν · διότι μέγα πρᾶγμα εἶναι τῇ ἀληθείᾳ, τὸ νὰ σὲ αἰνῇ τινάς. καὶ καύχησις ἀληθινὴ εἶναι εἰς ἐκείνους, ὁποῦ σὲ αἰνοῦσι · διατὶ αὐτοὶ ἀξιόνονται νὰ γίνωνται ὑμνηταὶ τοῦ τοιούτου Παντοδυνά-

σεται δὲ αὐτὸν διὰ τὰς προλελεγμένας πράξεις · ἐπειδὰν δὲ ὁ Κύριος παραδῷ, τὶς οὐ δύναται αὐτοῦ κυριεύσειν; ἤτοι πᾶς κυριεύει αὐτοῦ.

(1) Λέγει δὲ ὁ Ἡσύχιος · „ Ὁμοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὕμνησε, καὶ τὴν ἐκείνων κακίαν ἐτραγῴδησεν · ὁ μὲν γὰρ, εὐεργετῶν καὶ ῥυόμενος αὐτοὺς τῶν λυπηρῶν οὐκ ἐπαύετο · οἱ δὲ, καὶ παροργίζοντες αὐτὸν, καὶ παραπικραίνοντες ὁμοίως ἐπέμενον.

(2) Οὗτοι γὰρ οἱ βασιλεῖς ἐλεήσαντες τοὺς Ἑβραίους, ὄχι μόνον ἠλευθέρωσαν αὐτοὺς ἀπὸ τὴν αἰχμαλωσίαν, ἀλλὰ καὶ χρήματα ἔδωκαν εἰς τὴν οἰκοδομὴν τοῦ θείου ναοῦ · μεταμέλειαν δὲ καλεῖ τὴν τῆς παιδείας παῦλαν, κατὰ τὸν Θεοδώριτον. λέγει δὲ ὁ Ἡσύχιος · „ Ὁρᾷς ἡλίκον ἐςὶν εὐμένεια Θεοῦ; ὅπως ἡμῖν καὶ τοὺς ἐχθροὺς εὐμενεῖς ἐργάζεται, καὶ οὐδὲ τινὰς, ἀλλὰ πάντας; καὶ οἱ λαβόντες αἰχμαλώτους πολέμιοι, οὗτοι σπλάγχνα πατέρων περὶ τοὺς αἰχμαλωτισθέντας ἀναλαμβάνουσιν; ὥςε δῆλον, τὸ μὲν, ὀργῆς εἶναι Θεοῦ · τὸ δὲ, φιλανθρωπίας · ἀμφοῖν γὰρ εἰς διόρθωσιν χρήζομεν.

νύμου καὶ ἀπειραγάθου Θεοῦ. αἰνετός, λέγει, καὶ εὐφημητὸς εἶναι πάντοτε ὁ Θεός. καὶ ὅλος ὁ λαὸς θέλει εἰπῇ τοῦτο: ἤγουν τό· „Εὐλογητὸς ὁ Κύριος· ἢ τὸ, γένοιτο εὐλογητός. (1)

ΨΑΛΜΟΣ ΡϚ΄.

„Ἀλληλούϊα.

Καὶ οὗτος ὁ Ψαλμὸς ἔχει τὴν ἰδίαν ἐπιγραφὴν, ὁποῦ εἶχε καὶ ὁ πρότερος Ψαλμός. διατὶ καὶ οὗτος διηγεῖται τὰς εὐεργεσίας τοῦ Θεοῦ, καθὼς καὶ ἐκεῖνος, κατὰ τὸν Ἡσύχιον καὶ Δίδυμον. (2)

1: „Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι „χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ „ἔλεος αὐτοῦ.

2: „Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυ„ρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐ„χθροῦ.

3: „Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐ„τοὺς, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν „καὶ βοῤῥᾶ καὶ θαλάσσης.

Τὸ ἴδιον τοῦτο προοίμιον ἔχει καὶ ὁ πρότερος Ψαλμὸς, καὶ ὅρα τὴν ἐξήγησιν τούτου ἐκεῖ. ἂς εἰποῦν, λέγει, ἐκεῖνοι, ὁποῦ ἐλυτρώθησαν ἀπὸ τὸν Κύριον. τί νὰ εἰποῦν; ὅτι εἶναι χρηστὸς ὁ Κύριος. (3) πά-

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Εἶδες τῆς αἰχμαλωσίας τὸν καρπόν; εἶδες τῆς ἐπανόδου τὸ κέρδος; τοσαύτην ἐδώκαμεν δίκην, φησιν· ἀπάλλαξον οὖν τῶν πολεμίων· δὸς μετὰ τῶν προσηκόντων νόμων τοὺς εἰωθότας ὕμνους ἀναφέρειν τῷ ὀνόματι τῷ σῷ· δὸς καλλωπίζεσθαι ἐν τῇ λατρείᾳ τῇ σῇ. περὶ δὲ τοῦ γένοιτο γένοιτο, φησὶ ὁ Θεοδώριτος· „ Προσήκει δὲ τὸν λαὸν ἅπαντα τὸ, ἀμὴν τῇ τῶν ὑμνούντων ἐπιφέρειν φωνῇ· τὸ γὰρ γένοιτο γένοιτο ἀμὴν ἀμὴν ὁ Ἑβραῖος καλεῖ· ὅθεν ϗ τὸ ἔθος ἐν τῇ Ἐκκλησίᾳ μεμένηκε, τὸ τῇ δοξολογίᾳ τοῦ ἱερέως διὰ τοῦ ἀμὴν συντίθεσθαι τὸν λαόν· ϗ τὴν ἐντεῦθεν κοινωνίαν προσφέρειν, ϗ τὴν εὐλογίαν λαμβάνειν. λέγει δὲ ὁ Ἡσύχιος· „ Ἐν τούτοις ϗ τὴν τετάρτην βίβλον τῶν Ψαλμῶν, Ἑβραίων παῖδες ὁρίζονται, τέλος ἔχουσαν, ὥσπερ αἱ προλαβοῦσαι τρεῖς, τὸ, γένοιτο γένοιτο.

(2) Κατὰ δὲ τὸν Θεοδώριτον, ὁ Ψαλμὸς οὗτος ϗ τὴν τῶν Ἰουδαίων ἐλευθερίαν θεσπίζει, ϗ τὴν πάντων ἀνθρώπων σωτηρίαν προαγορεύει. κατὰ δὲ τὸν Ἀθανάσιον, ὁ Ψαλμὸς οὗτος τὰ τοῦ Ἰησοῦ τοῦ Ναυῆ, ϗ τὰ τῶν Κριτῶν ἐμφαίνει.

(3) Λέγει δὲ ὁ Εὐσέβιος· „ Τῷ Κυρίῳ ἐξομολογήσασθαι δεῖ, κατά τε τὸ ὁμολογεῖν τὰ ἑαυτῶν πλημμελήματα ὡς ἰατρῷ· κατά τε τὸ εὐχαριστεῖν αὐτῷ ἐπὶ ταῖς εἰς ἡμᾶς εὐεργεσίαις, τὸ ἐχέγγυον τῆς περὶ αὐτοῦ φιλανθρωπίας ἔχοντας· ϗ ὅτι μὴ μόνον χρηστός ἐστιν, ἀλλὰ ϗ παρατείνει τὸ ἔλεος αὐτοῦ εἰς πάντα τὸν παρόντα αἰῶνα.

πόθεν δὲ ἐλυτρώθησαν; ἀπὸ τὰς χεῖρας τοῦ Διαβό-
λου. ὁ λόγος δὲ οὗτος νοεῖται διὰ τοὺς Χριςιανοὺς,
ὁποῦ ἐπίςευσαν εἰς τὸν Χριςὸν κατὰ τὸν Ἀθανάσι-
ον καὶ τὸν Εὐσέβιον, οἵτινες Χριςιανοὶ συνήχθησαν
εἰς τὴν τοῦ χριςοῦ ἐκκλησίαν ἐκ πάντων τῶν Ἐθνῶν·
ἀγκαλὰ καὶ οἱ Ἰουδαῖοι φιλονεικοῦσιν, ὅτι ὁ Ψαλμὸς
οὗτος νοεῖται διὰ τοὺς Ἑβραίους ἐκείνους, ὁποῦ ἐ-
λευθερώθησαν ἀπὸ τὴν σκλαβίαν τῆς Βαβυλῶνος.
μερικὰ δὲ ἀντίγραφα ἔχουσιν· „Ἐκ χειρὸς ἐχθρῶν:
ἤτοι τῶν Δαιμόνων. ὁ Κύριος, λέγει, ἐσυνάθροισε
τοὺς χριςιανοὺς εἰς μίαν ἐκκλησίαν ἀπὸ διαφόρους χώ-
ρας καὶ Ἔθνη: ἤγουν ἀπὸ τὰ τέσσαρα ἄκρα τοῦ
Κόσμου. θάλασσαν δὲ, τὸν νότον καὶ τὴν μεσημ-
βρίαν ἐννοεῖ· διατὶ ἀπὸ τὸ μέρος τοῦ νότου, θάλασ-
σα περικυκλοῖ τὴν Παλαιςίνην. ἀναφέρει δὲ τὰ τέσ-
σαρα μέρη τοῦ Κόσμου, ἐπειδὴ εἰς πᾶσαν τὴν γῆν
ἐξῆλθεν ὁ φθόγγος τῶν Ἀποςόλων, καὶ εἰς τὰ πέ-
ρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. (Ψαλ. ιη.
4) (1).

4: „Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύ-
„δρῳ, ὁδὸν πόλεως κατοικητηρίου
„οὐχ εὗρον. (2)

οἱ ἐξ Ἐθνῶν, λέγει, Χριςιανοὶ ἐπλανήθη-
σαν πρότερον εἰς μίαν πολιτείαν καὶ ζωὴν, ἔρημον
μὲν ἀπὸ κάθε καρπὸν ἀρετῆς, ἄνυδρον δὲ, διατὶ ἦτον
ἄχαριςον διδασκαλίας Θεϊκῆς. πόλις δὲ κατοικη-
τηρίου εἶναι ὁ οὐρανὸς, τοῦ ὁποίου τὴν ςράταν δὲν
εὑρῆκαν οἱ Ἐθνικοὶ, ἐπειδὴ ἐπλανῶντο εἰς τὴν ἀσέ-
βειαν καὶ κακίαν. ςράτα δὲ τοῦ οὐρανοῦ εἶναι ἡ Θε-
ογνωσία, καὶ ἡ εὐσέβεια καὶ αἱ ἀρεταί.

5: „Πεινῶντες καὶ διψῶντες· ἡ ψυχὴ αὐ-
„τῶν ἐν αὐτοῖς ἐξέλιπε.

Οἱ Ἐθνικοὶ, λέγει, ἦτον πρότερον πεινα-
σμένοι καὶ διψασμένοι· διατὶ δὲν εἶχον Θεογνωσίαν,
ἢ διδασκαλίαν, ἥτις τρέφει καὶ ποτίζει τὰς λογικὰς
ψυχάς· ὅθεν καὶ ἡ ψυχή των κατετρίβη καὶ ἠσθένη-
σε πολλὰ ἐν τῇ ἁμαρτίᾳ. (3)

6: „Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ
„θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀ-
„ναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς.
7: „Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐ-
„θεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κα-
„τοικητηρίου.
8: „Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ
„ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐ-
„τοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.
9: „Ὁ-

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „Οὐκ εἶπεν οἱ σωθέντες ἁπλῶς, ἀλλ' οἱ λελυτρωμένοι· δεικνὺς, ὅτι λύτρα κα-
τέθηκεν ὑπὲρ αὐτῶν· ἐπὶ μὲν γὰρ ἡμῶν, τὸ αἷμα ἐξέχεεν· ἐπὶ δὲ ἐκείνων, ἄκουσον τοῦ Προφήτου λέγοντος·
„Καὶ δώσω ἀνθρώπους ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου (Ἡσ. μγ'. 4.) τοὺς αὐτοὺς κακώσαντας
ἐξέδωκεν: ἤτοι τοὺς κακώσαντας τοὺς Ἰουδαίους, εἰς τιμωρίαν ἐξέδωκεν ὁ Θεός. εἶπε δὲ καὶ ὁ Ἀθανάσιος· „Ἐκ
τῶν τεσσάρων κλιμάτων τῆς οἰκουμένης συνήχθησαν τὰ Ἔθνη, τὰ πάλαι ἔρημα θεογνωσίας τυγχάνοντα, καὶ μηδὲ
νοτίδος θείας μεταλαβόντα, ἀλλ' ἐν πολλῷ δίψει τυγχάνοντα.
(2) Ὁ δὲ Εὐσέβιος πόλιν κατοικητηρίου ὠνόμασε, τὴν ἀρετὴν καὶ Θεοῦ σοφίαν. ὁ δὲ Θεοδώριτος, πόλιν λέγει τὴν
εὐσεβῆ πολιτείαν.
(3) Λέγει δὲ ὁ Ἀθανάσιος· „Οὐδὲ γὰρ εἶχον ἄρτον τὸν ςηρίζοντα καρδίαν ἀνθρώπου, οὐδὲ τὸ ὕδωρ τὸ ζῶν,
περὶ οὗ λέλεκται· „Ὁ πίνων ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. καὶ ὁ Ἡσύχιος·
„Ὅταν ψυχὴ λιμώξῃ καὶ διψήσῃ, ἀκοὴν λόγου θείου καὶ διδασκαλίαν οὐκ ἔχουσα, ἀναγκαίως ἐκλείπει καὶ ἐλαττοῦ-
ται· ἐπειδὴ τροφὴ ψυχῆς ὁ τῆς θεογνωσίας ἄρτος. τὸν λιμὸν δὲ τοῦτον ἠπείλησεν ὁ Θεὸς τοῖς Ἰουδαίοις κατὰ
τὸν Θεοδώριτον· „Ἰδοὺ ἐπάγω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος· ἀλλὰ λιμὸν τοῦ ἀκοῦ-
σαι λόγον Κυρίου. (Ἀμ. η'. 11.)

9: „Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυ„χὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.

Οἱ Προφῆται, λέγει, ἐφώναξαν πρὸς τὸν Θεὸν διὰ τὰ Ἔθνη, κατὰ τὸν Εὐσέβιον. ὁμοίως καὶ οἱ θεῖοι Ἄγγελοι οἱ προϊστάμενοι εἰς τὸ καθὲ ἔθνος, καὶ διὰ τοῦτο ὁ Θεὸς εἰσήκουσεν αὐτῶν, καὶ ἐλύτρωσε τὰ Ἔθνη: ἤτοι τοὺς ἐξ Ἐθνῶν Χριστιανοὺς, ἀπὸ τὴν τυραννίδα τῶν Δαιμόνων· καὶ ὡδήγησεν αὐτοὺς εἰς τὴν ἴσιαν στράταν, ἥτις ἀναβιβάζει εἰς οὐρανόν· ταύτην γὰρ προτίτερα δὲν ἐδύναντο νὰ εὕρουν οἱ Ἐθνικοὶ, μὲ τὸ νὰ εὑρίσκοντο εἰς τὴν πλάνην· ὁ γὰρ Κύριος, γενόμενος ἄνθρωπος, ἐδίδαξεν αὐτοὺς τὴν ἀλήθειαν. ὡδήγησε δὲ αὐτοὺς καὶ διὰ νὰ εὕρουν τὴν πόλιν τοῦ κατοικητηρίου: ἤγουν τὸν οὐρανόν. διὰ τοῦτο οἱ ἐξ Ἐθνῶν χριστιανοὶ, ἂς εὐχαριστοῦν καὶ ἂς διηγοῦνται εἰς τοὺς μὴ ἠξεύροντας ἀνθρώπους τὰ θαυμάσια, ὁποῦ ἔδειξαν εἰς αὐτούς. διατί; ὅτι ἐχόρτασε τὰς εὐχέρους καὶ πεινασμένας ψυχὰς τῶν ἀπὸ θεῖον ἄρτον, καὶ ἀπὸ ζωόρρητον πόμα: δηλαδὴ ἀπὸ τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου, καὶ ἀπὸ τὰ πνευματικὰ ἀγαθὰ καὶ μυστήρια. (1)

10: „Καθημένους ἐν σκότει καὶ σκιᾷ θα„νάτου, πεπεδημένους ἐν πτωχείᾳ „καὶ σιδήρῳ.

11: „Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ „Θεοῦ, καὶ τὴν βουλὴν τοῦ ὑψίστου „παρώξυναν.

Ἂς διηγοῦνται, λέγει, οἱ ἐξ Ἐθνῶν Χριστιανοὶ τὰ ἐλέη τοῦ Θεοῦ· διατὶ ὁ Θεὸς ἐγέμωσεν ἀπὸ ἀγαθὰ καὶ ἐφώτισεν αὐτοὺς, ὁποῦ ἐκάθηντο εἰς τὸ σκότος τῆς πλάνης, ἥτις εἶναι εἰκὼν τοῦ θανάτου· ἐπειδὴ αὐτὴ χωρίζει τὴν ψυχὴν ἀπὸ τὴν ἀληθινὴν ζωὴν, καθὼς καὶ ὁ θάνατος χωρίζει αὐτὴν ἀπὸ τὴν πρόσκαιρον ταύτην ζωήν. ἂς διηγοῦνται πρὸς τούτοις τὰ ἐλέη τοῦ Θεοῦ· διατὶ αὐτοὶ ἦτον πεπεδημένοι, μὲ πτωχείαν μὲν τῶν ἀρετῶν, μὲ σίδηρον δὲ: ἤγουν μὲ ἅλυσον δυνατὴν καὶ βαρεῖαν τῶν ἁμαρτιῶν· λέγει γὰρ ὁ παροιμιαστής· „Σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. (Παρ. ε΄. 22) ἐλύθησαν δὲ ἀπὸ τὰ δεσμὰ ταῦτα, παρὰ τοῦ Σωτῆρος Χριστοῦ. ἂς διηγοῦνται δὲ ἀκόμη οἱ Χριστιανοὶ τὰ ἐλέη τοῦ Θεοῦ· διατὶ αὐτοὶ πρότερον παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ: ἤγουν τὸν Θεὸν, ὁποῦ ἔλεγε καὶ ἐδίδασκεν αὐτοὺς διὰ τὴν σωτηρίαν τους· ἐδίδασκε γὰρ ὁ Θεὸς ὅλους τοὺς ἀνθρώπους τὸ καλὸν καὶ τὴν ἀρετὴν διὰ μέσου τοῦ φυσικοῦ λόγου καὶ τῆς συνειδήσεως, καὶ διὰ μέσου τοῦ γρα-

(1) Λέγει δὲ ὁ Νύσσης· „Δῆλον δὲ, ὅτι οὔτε τροφὴν τὸν ἄρτον, οὔτε πόσιν τὸ ὕδωρ ἡ προφητεία λέγει· ἀλλὰ τροφὴν μὲν, τὴν ἀληθῆ βρῶσιν· πόσιν δὲ, τὸ πνευματικὸν ἐκεῖνο πόμα· ταῦτα δὲ τὰ δύω ὁ Κύριος γίνεται καταλλήλως τοῖς δεομένοις ἑαυτὸν ἐμπαρέχων, τροφὴ μὲν τοῖς πεινῶσι, πηγὴ δὲ τοῖς διψῶσι γινόμενος. τίς οὖν εὑρέθη τῆς τοιαύτης ἀμηχανίας ἡ λύσις; τῆς πλάνης; τῆς ἐρημίας; τῆς ἐν ἀνύδρῳ ταλαιπωρίας; τῆς ἐκ τοῦ λιμοῦ γινομένης λειποθυμίας; ὢ τοῦ θαύματος! μία φωνὴ πρὸς τὸν Θεὸν ἐπιστρεπτικῶς γινομένη, ταῦτα πρὸς τὸ καλὸν μετεποίησε· φησὶ γάρ· καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς. ὅθεν καὶ ὁ Χρυσόστομος· „Ὅρα πάλιν, φησὶ, τοῦ Θεοῦ τὴν κηδεμονίαν· οὐδὲν πλέον ἐποίησαν, ἀλλ' ἐβόησαν μόνον, καθάπερ ἐν Αἰγύπτῳ, καὶ μετὰ προθυμίας αὐτὸν ἐκάλεσαν, καὶ πάντα ἐλύθη τὰ δεινά· οὐ κατορθώματα ἐπεδείξαντο, ἀλλ' εὐχὴν μόνην γνησίαν· τὴν δὲ εὐχὴν ἡ θλίψις εἰργάσατο. Καὶ ἡμεῖς τοίνυν, ὅταν ἐξερχώμεθα τοῦ παρόντος βίου, οὐ σώματι, ἀλλὰ τρόπῳ καὶ πολιτείᾳ καὶ βίῳ, μὴ θορυβώμεθα, εἰ διὰ πειρασμῶν εἰς τὸν οὐρανὸν μέλλομεν ἐπανιέναι· εἰ γὰρ οἱ τοσαῦτα γενόμενοι ἐν Βαβυλῶνι ἔτη, μέλλοντες τὴν αὐτὴν ἀπολαμβάνειν χώραν, δυσκολίαν ὑπέμειναν κατὰ τὴν ἀποδημίαν· πολλῷ μᾶλλον ἡμᾶς δι' ἐρήμου πορευομένους, ἔνθα οὐκ ἔστι πόλις, καὶ οὐκ ἔστιν ὁδὸς πλατεῖα, ἀλλὰ στενὴ καὶ τεθλιμμένη; διὸ νήφειν δεῖ καὶ ἐγρηγορέναι, καὶ συνεχῶς τὸν Θεὸν καλεῖν, ὥστε ἡμῖν ἐπικουφίζειν τῆς ὁδοιπορίας τὴν ταλαιπωρίαν· καὶ ταχέως ἡμᾶς εἰς τὴν πόλιν τοῦ κατοικητηρίου ἐπαναγαγεῖν· ἐκείνη γὰρ ἡ πόλις, τοῦ κατοικητηρίου· αὕτη δὲ, παροικίας καὶ ξενισμοῦ. ὁ δὲ Εὐσέβιος λέγει· „Πρῶτον νόσημα ἦν αὐτοῖς, τὸ τῆς πλάνης· δεύτερον, ὅτι οὐχ εὗρον πόλιν κατοικητηρίου· καὶ τρίτον, ὅτι ἦσαν πεινῶντες καὶ διψῶντες καὶ ἐκλείποντες· ὅθεν ὁ Κύριος, πρῶτον, ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν· δεύτερον, ἔδειξεν

νόμου τοῦ δοθέντος εἰς τοὺς Ἰουδαίους. καὶ διὰ Προφητῶν, καὶ εὐεργεσιῶν, καὶ ἀπειλῶν, καὶ πληγῶν, καὶ τῶν λοιπῶν· ἀπὸ τὰ ὁποῖα ὅλα ἓν πρᾶγμα ἐσπουδάζετο, τὸ νὰ ἀφανισθῇ ἡ κακία, ὡς λέγει ὁ Θεολόγος Γρηγόριος· „ Ὑφ᾽ ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν· καὶ διατὶ αὐτοὶ παρώξυναν τὸν Θεὸν, ὅστις ἐβούλετο τὴν σωτηρίαν τους· λόγια γὰρ Θεοῦ, τὸν λέγοντα Θεὸν πρέπει νὰ ἐννοοῦμεν ἐδῶ ὁμοίως καὶ βουλὴν ὑψίστου; τὸν βουλόμενον Ὕψιστον κατὰ περίφρασιν.

12: „ Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρ-
„ δία αὐτῶν· ἠσθένησαν, καὶ οὐκ ἦν
„ ὁ βοηθῶν.

13: „ Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ
„ θλίβεσθαι αὐτοὺς. καὶ ἐκ τῶν ἀ-
„ ναγκῶν αὐτῶν ἔσωσεν αὐτούς.

14: „ Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους
„ καὶ σκιᾶς θανάτου, καὶ τοὺς δε-
„ σμοὺς αὐτῶν διέῤῥηξεν.

15: „ Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ
„ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια
„ αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

16: „ Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ
„ μοχλοὺς σιδηροῦς συνέθλασεν.

Ἡ ψυχὴ, λέγει, τῶν Ἐθνῶν πιστευσάντων ἐταλαιπώρησεν ἀπὸ τοὺς κόπους τῆς ἁμαρτίας· (1) ἀσθένησαν κατὰ τὴν ψυχήν, καὶ τινὰς δὲν ἦτον νὰ τοὺς λυτρώσῃ ἀπὸ τὴν τυραννίδα τοῦ Διαβόλου. διὰ τοῦτο ἐφώναξαν πρὸς τὸν Θεὸν ἐν τῇ θλίψει αὐτῶν, καὶ ὁ Θεὸς τοὺς ἐλύτρωσεν ἀπὸ τὰς ἀνάγκας των. τοῦτο δὲ τὸ ἴδιον εἶπε καὶ ἀνωτέρω ὁ Δαβίδ· μᾶλλον δὲ τέσσαρες φοραῖς λέγει τοῦτο εἰς τὸν παρόντα Ψαλμὸν, διὰ νὰ φανερώσῃ μὲ τοῦτο, τὸ μέγεθος τῆς τοῦ Θεοῦ εὐεργεσίας. ὁμοίως τοὺς ἐλύτρωσε καὶ ἀπὸ τὸ σκότος τῆς πλάνης, ἡ ὁποία εἶναι σκιὰ τοῦ θανάτου, ὡς ἀνωτέρω εἴρηται. Διὰ τοῦτο ἂς διηγοῦνται ὅλοι οἱ Ἐθνικοὶ τὰ ἐλέη, ὁποῦ ἔκαμεν ὁ Θεὸς εἰς αὐτούς· καθὼς ἀνωτέρω καὶ τοῦτο εἴρηται· μᾶλλον δὲ τέσσαρες φοραῖς τοῦτο λέγει ὁ Δαβὶδ εἰς τὸν παρόντα Ψαλμὸν, διὰ νὰ κάμῃ αὔξησιν τῆς πρὸς Θεὸν εὐχαριστίας. Καὶ διατὶ νὰ διηγοῦνται τὰ ἐλέη τοῦ Θεοῦ; ἤτοι τοῦ Χριστοῦ; διατὶ ὁ Χριστὸς, λέγει, ἐσύντριψε τὰς δυνατὰς πόρτας καὶ ἀσυντρίπτους τοῦ Ἅδου· διατὶ ὁ Χριστὸς καταβὰς εἰς τὸν Ἅδην ἐτζάκισεν αὐτὰς, καὶ εὔγαλεν ἀπὸ ἐκεῖ τὰς ψυχὰς, ὁποῦ ἦτον κρατημέναις κατὰ τὸν Ἀθανάσιον. ὁμοίως ἐτζάκισε καὶ τοὺς σιδηρένιους μπεράτας τῶν τοῦ Ἅδου πυλῶν. πόρται δὲ τοῦ Ἅδου καὶ μπεράται, εἶναι τὸ ἄφυκτον τοῦ Ἅδου καὶ ἀνελευθέρωτον κατὰ τὸν Θεοδώριτον· ἐπειδὴ ἀπὸ τὸν Ἅδην τινὰς νὰ ἐλευθερωθῇ δὲν ἐδύνετο. (2)

17: „ Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομί-
„ ας αὐτῶν· διὰ γὰρ τὰς ἀνομίας αὐ-
„ τῶν ἐταπεινώθησαν.

18: „ Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐ-
„ τῶν

ξεν αὐτοῖς, πῶς χρὴ βαδίζειν εἰς πόλιν κατοικητηρίου· καὶ τρίτον, ἐχόρτασε τὴν πεινῶσαν ψυχὴν αὐτῶν. ὁ δὲ Ἀθανάσιος ὁδὸν λέγει τὴν εἰς Χριστὸν πίστιν· πόλιν δὲ κατοικητηρίου τὴν Ἐκκλησίαν, ἢ τὴν ἐπουράνιον Ἱερουσαλήμ. Ὅρα δὲ, λέγει ὁ Χρυσοῤῥήμων, τίνα ἀπαιτεῖ μισθόν· δι᾽ ἔργων εὐεργετουμένους διὰ λόγων τὴν ἀντίδοσιν ζητεῖ, καὶ κελεύει πᾶσιν ἐξαγγέλλειν τὰ γεγενημένα· τίνος ἕνεκεν; καὶ διατί; ἵνα αὐτοί τε εὐγνώμονες γίνωνται, ἑτέρους τε εἰς τὸν αὐτὸν ἄγωσι ζῆλον.

(1) Ὅθεν λέγει ὁ Χρυσοῤῥήμων· „ Εἶδες ἀπὸ τοῦ φαρμάκου πῶς δείκνυσί σοι τοῦ νοσήματος τὴν φύσιν; τὸ γὰρ εἰπεῖν· ἐταπεινώθη ἐν κόποις, ἔδειξεν ἐξ ἀλαζονείας οὖσαν τὴν καταφρόνησιν.

(2) Λέγει δὲ ὁ Ἀθανάσιος· „ Τὸ διέῤῥηξε τοὺς δεσμοὺς αὐτῶν, τὴν ἀθρόαν τῆς ἁμαρτίας καθαίρεσιν δείκνυσι. καὶ ὁ Χρυσόστομος· „ Ὁρᾷς ταχίστην ἀπαλλαγήν; οὐκ ἔλυσε τὰ δεσμά· ἀλλὰ διέῤῥηξε: τουτέστι μετὰ πολλῆς τῆς ἐξουσίας ἀπὸ τῶν πολεμίων αὐτοὺς ἀνήγαγε· καὶ τὰ δεσμὰ διέῤῥηξεν, ὡς μηδὲ ἑτέρους δυνηθῆναι δεθῆναι πά-

„ τῶν . καὶ ἤγγισαν ἕως τῶν πυλῶν „ τοῦ θανάτου.

19 : „ Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ „ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀ- „ ναγκῶν αὐτῶν ἔσωσεν αὐτούς·

Ὁ Θεός, λέγει, ἐβοήθησε τοὺς ἐξ Ἐθνῶν πιστεύοντας, εἰς καιρὸν ὁποῦ ἀκόμη ἐπεριπάτουν εἰς τὴν ἀνομίαν (1) διατὶ αὐτοὶ ἐταλαιπωρήθησαν καὶ ἐφάνηκαν ἄξιοι ἐλέους καὶ ἀντιλήψεως· διατὶ αὐτοὶ ἐσιχάθησαν κάθε φαγητὸν ψυχικόν : λόγον θεῖον δηλαδὴ καὶ διδασκαλίαν, διὰ τὴν ὑπερβολὴν τῆς ἀσθενείας των· ἐπειδὴ αὐτοὶ ἐδυσαρεστοῦντο καὶ ἀπεδέχοντο ἀκόμη καὶ πρὸς αὐτὰ τὰ τῶν Ἑλλήνων καὶ φιλοσόφων δόγματα (2) καὶ ἔφθασαν ἕως εἰς τὰς πόρτας τοῦ ψυχικοῦ θανάτου, ὅστις παραδίδει τὰς ψυχὰς εἰς τὴν αἰώνιον κόλασιν· πόρτας δὲ θανάτου λέγει τὰς μεγάλας καὶ θανασίμους ἁμαρτίας κατὰ τὸν Δίδυμον καὶ Ἡσύχιον, αἵτινες φέρουσι τὸν ἄνθρωπον εἰς τὸν ψυχικὸν θάνατον· ἢ πόρτας θανάτου, λέγει τὸν θάνατον κατὰ περίφρασιν. ἔπειτα πάλιν λέγει, ὅτι οἱ Ἐθνικοὶ ἐφώναξαν πρὸς τὸν Θεὸν εἰς τὴν θλῖψιν τους, καὶ τοὺς ἐλύτρωσεν, ὡς εἴπομεν ἀνωτέρω. (3)

20 : „ Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ „ ἰάσατο αὐτούς· καὶ ἐῤῥύσατο αὐ- „ τοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ὁ Θεός, λέγει, ἀπέστειλε τὸν ἐνυπόστατον λόγον του : ἤτοι τὸν υἱόν του· ἐπειδὴ ὁ ὑφεστὼς καὶ ζῶν λόγος ἀποστέλλεται, καὶ οὐχὶ ὁ ἀνυπόστατος καὶ εἰς ἀέρα διαλυόμενος : ὁποῖος εἶναι ὁ ἐδικός μας προφορικὸς λόγος· διὰ τοῦτο καὶ αὐτὸς ὁ ἴδιος ἐνυπόστατος λόγος ἔλεγε συνεχῶς, ὅτι ὁ Πατὴρ ἀπέσταλκέ με· αὐτὸς λοιπὸν ἰάτρευσε κάθε νόσον καὶ κάθε μαλακίαν, καὶ ἐλύτρωσε τοὺς Ἐθνικοὺς ἀπὸ τὰς ἁμαρτίας των (4)

21 : „ Ἐ.

πάλιν ἐν αὐτοῖς· ὥσπερ δὲ οὐκ ἔλυσεν εἶπεν, ἀλλὰ διέῤῥηξεν : οὕτω ϗ τὰς πύλας οὐκ ἤνοιξεν, ἀλλὰ συνέτριψεν· οὐδὲ ἀνεῖλε τοὺς μοχλούς, ἀλλὰ συνέθλασεν.

(1) Ὅθεν ϗ ὁ Παῦλος εἶπεν· „ Ἔτι γὰρ ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. ὁ δὲ Νύσσης λέγει· „ Ὅτι ταπείνωσίς ἐστιν ἡ ἀνομία· ϗ καλῶς λέγει· συμφέρεται γάρ τις ϗ ἄλλου Προφήτου λόγος τῷ τοιούτῳ νοήματι· ὅς φησιν ἐπὶ ταλάντου μολίβδου καθῆσθαι τὴν ἀνομίαν, ἐνδεικνύμενος, ὅτι βαρεῖά τις ἐστι ϗ κατωφερὴς ἡ κακία, τὸν ἐν ὑψηλοῖς διὰ τὴν πρὸς τὸ θεῖον ὁμοίωσιν ὄντα εἰς τὸν βόθυνον ἑαυτῆς συγκαθέλκουσα. λέγει δὲ ὁ Δίδυμος· „ Ὅτι ὁ στίχος οὗτος τό· „ Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν, ἐφαρμόζεται τῷ ἐν τῷ Σταυρῷ μετανοήσαντι λῃστῇ· ἔτι γὰρ ἐν ὁδῷ ἀνομίας ὄντος αὐτοῦ (διὰ λῃστείαν γὰρ κατακέκριτο) ϗ ταπεινωθέντος κολάσει διὰ τὰς ἀνομίας ἃς εἶχεν, ἀντελάβετο αὐτοῦ ὁ Κύριος εἰπών. „ Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ.

(2) Διὰ τοῦτο ὁ Θεοδώριτος λέγει· „ Οὐ γὰρ ἦν ὁ διατρέφειν αὐτοὺς πειρώμενος λόγος· οὗ δὴ χάριν, οἱ μέν, Σωκράτους κατεψηφίσαντο θάνατον· οἱ δέ, Ἀνάξαρχον ξένῃ τιμωρίᾳ παρέπεμψαν· ἄλλοι, τοὺς Πυθαγόρου διαδόχους πικρῶς αἰκισάμενοι, πρόωρον αὐτοῖς ἐπήγαγον θάνατον· ἀλλ' ὅμως ϗ τούτοις ὁ τῶν ὅλων Θεὸς παρεσκεύασε μεταδοῦναι τῆς ἀθανάτου τροφῆς. λέγει δὲ ὁ Νύσσης· „ Ἔφθασε δὲ ϗ μέχρι τῶν τοῦ θανάτου πυλῶν ὁ λόγος, χεῖρα σωτηρίας ὀρέγων τοῖς μέχρι τούτου καταπεπτωκόσι, διὰ τὸ τὴν παντοδύναμον ἐκείνου τροφὴν ἀποστραφῆναι· περὶ ἧς τῷ Ἀδὰμ ἐῤῥέθη· „ Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ· ὡς γὰρ ἐκεῖ πᾶν ξύλον ὀνομάζει τὸ πλήρωμα παντὸς ἀγαθοῦ· οὕτως ἐνταῦθα τὴν ἀληθῆ ϗ παντοδύναμον βρῶσιν, πᾶν βρῶμα ὀνομάζει ὁ λόγος· οὗ ἡ ἀποστροφὴ ποιεῖ τὴν ἀσθένειαν τὴν εἰς θάνατον λήγουσαν· ἀλλὰ πάλιν ἡ πρὸς Θεὸν φωνὴ εἰς πανήγυριν τὴν συμφορὰν ἀναστρέφει· φησὶ γάρ· „ Καὶ ἐκέκραξαν πρὸς Κύριον ϗ τὰ ἑξῆς. Καὶ ὁ Ἡσύχιος πᾶν βρῶμα λέγει, τὴν λογικὴν τροφήν· ταύτης γὰρ πᾶν εἶδος ὁ ἄνθρωπος ἐβδελύξατο· οὔτε γὰρ φυσικὸν νόμον, οὔτε γραπτὸν ἐφύλαξαν· ϗ διὰ τοῦτο ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.

(3) Ὁ δὲ Χρυσόστομος λέγει· „ Ἴδε συνεχῶς, πῶς τίθησι τῆς θλίψεως τὸ κέρδος· διὰ γὰρ τοῦτο καθ' ἕκαστον λέγει, ὅτι μετὰ τὴν κραυγὴν ἐσώθησαν· ϗ ὅτι πιστεύσαντες, πρὸς τὸν Θεὸν κατέφυγον· ἵνα δείξῃ πολλὴν τὴν ἐκ τῆς αἰχμαλωσίας γινομένην ὠφέλειαν.

(4) Λέγει δὲ ὁ Νύσσης σὺν τῷ Διδύμῳ· „ Ὁρᾷς ζῶντα ϗ λόγον ἐνυπόστατον, ἐπὶ σωτηρίᾳ τῶν ἀπολλυμένων ἀπο-

21 : „ Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ
„ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ
„ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Πάλιν καὶ ἐδῶ λέγει, τὸν ἴδιον λόγον, ὅπου εἶπε δύω φοραῖς ἀνωτέρω.

22 : „ Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέ-
„ σεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα
„ αὐτοῦ ἐν ἀγαλλιάσει.
23 : „ Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν
„ πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕ-
„ δασι πολλοῖς.
24 : „ Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ
„ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ.

Οἱ ἐξ Ἐθνῶν Χριστιανοὶ, λέγει, ὅς θύσουν εἰς τὸν Θεὸν θυσίαν λογικὴν καὶ εὐαγγελικὴν κατὰ τὸν Θεοδώριτον, αἰνοῦντες καὶ εὐλογοῦντες καὶ εὐχαριστοῦντες αὐτόν (1) καὶ αὐτοὶ, ὅπου ἠξεύρουν τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ, ἂς τὰ διηγοῦνται εἰς ἐκείνους, ὅπου δὲν τὰ ἠξεύρουν· καὶ οἱ παλαιότεροι, ἂς τὰ διηγοῦνται εἰς τοὺς νεωτέρους. ἔργα δὲ νοησοῦ τὰς εὐεργεσίας τοῦ Χριστοῦ, τὸ ἔλεος, τὴν ἐνανθρώπησιν, καὶ τὰ λοιπὰ Μυστήρια τῆς σωτηρίου οἰκονομίας· καταβαίνοντες δὲ εἰς τὴν θάλασσαν εἶναι οἱ θεῖοι Ἀπόστολοι κατὰ τὸν Εὐσέβιον, οἵτινες ἦτον πρὸ τοῦ, ψαράδες καὶ τῆς θαλάσσης ἄνθρωποι· αὐτοὶ γὰρ καταβαίνοντες εἰς θάλασσαν μὲ τὰ καΐκια, καὶ ποιοῦντες ἐργασίαν: ἤγουν ἐργαζόμενοι τὴν ἁλιευτικὴν τέχνην μέσα εἰς τὰ πολλὰ νερὰ τῆς θαλάσσης· αὐτοὶ λέγει, εἶδον περισσότερον ἀπὸ τοὺς ἄλλους ἀνθρώπους τὰ ἔργα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὰ θαυμάσια, ὅπου ἔκαμεν εἰς τὸν βυθὸν τῆς θαλάσσης. ποῖα δὲ εἶναι αὐτά; ἄκουσον (2).

25 : „ Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος,
„ καὶ ὑψώθη τὰ κύματα αὐτῆς.
26 : „ Ἀ-

ἀποσταλλόμενον, καὶ τῆς φθορᾶς εἴτουν τῆς ἁμαρτίας, τοὺς ἐν αὐτῇ γεγονότας ῥυόμενον; ὡς μηκέτι κατὰ τὸ παλαιὸν πλανᾶσθαι, μηδὲ τὰς ψυχὰς λιμώττειν δι' ἔνδειαν λογικῶν τροφῶν, μηδὲ εἰλεῖσθαι περὶ τὰς πύλας τοῦ θανάτου· ἀλλ' εἰδέναι καὶ ὁδεύειν τὴν ὁδὸν τὴν φέρουσαν ἐπὶ τὴν οὐράνιον πόλιν. λέγει δὲ καὶ ὁ Ἡσύχιος· „ Τί τούτου σαφέστερον πρὸς ἔνδειξιν τῆς τοῦ Σωτῆρος σαρκώσεως; ἀποσταλέντα γὰρ λόγον τὸν Σαρκωθέντα λέγει, τὸν λέγοντα· „ Ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με· ὃς περὶ ἡμῶν τὸ γένος ἰασάμενος ἐκ τῶν διαφθορῶν: δηλαδὴ τῶν ἁμαρτημάτων, ἐῤῥύσατο· φθορὰ γὰρ παντὸς ἀνθρώπου τὰ ἁμαρτήματα· ἐπειδὴ εἴτις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. Ἄλλος δὲ κατὰ τὴν ἱστορίαν, λόγον ἐνόησε τὸ πρόσταγμα τοῦ Θεοῦ τὸ περὶ τῆς ἐλευθερίας τῶν αἰχμαλώτων· ἵνα πάλιν μάθωσιν, ὅτι οὐ Κῦρος ἦν ὁ λύσας· ἀλλ' αὐτὸς ὁ Θεὸς ὁ τὴν ἄφεσιν χαρισάμενος, καὶ τὴν γνώμην τὴν ἐκείνου κινήσας εἰς τοῦτο.

(1) Λέγει δὲ καὶ ὁ Χρυσόστομος· „ Οὐκ ἔτι μόσχων καὶ προβάτων, ἀλλ' αἰνέσεως θυσίαν ὁ Προφήτης ἐπιζητεῖ· ἐπειδὴ γὰρ οὐδὲν ἴσχυσαν ἐκεῖνα, ταύτην ἀντ' ἐκείνης εἰσάγει τὴν λειτουργίαν, δεικνὺς ἄνωθεν τὴν πνευματικὴν διαλάμπουσαν λατρείαν. ὁ δὲ Ἀθανάσιος λέγει· „ Ἐπὶ τοὺς ἁγίους Ἀποστόλους μεταφέρει τὸν λόγον· αὐτοὶ γάρ εἰσιν οἱ τὰ Μυστήρια τῆς καινῆς Διαθήκης παραδόντες ἡμῖν. καὶ ὁ Χρυσόστομος· „ Καλῶς εἶπεν ἐν ἀγαλλιάσει· δεῖ γὰρ μετὰ χαρᾶς καὶ εὐφροσύνης ἀνακηρύττειν τοῦ Θεοῦ τὴν Πρόνοιαν.

(2) Λέγει δὲ ὁ θεῖος Ἰσίδωρος· „ Εἶεν δ' ἂν οἱ καταβαίνοντες εἰς θάλασσαν καὶ οἱ θεοφόροι Ἀπόστολοι, καὶ ἐκ τοῦ προτέρου ταύτου ὄντες ἐπιτηδεύματος, καὶ ἐκ τῆς ἐν τῷ βίῳ ζωγρητικῆς ἐργασίας· ἐπειδὴ γὰρ ὡς κυμάτων ἐπανάστασις φλεγμαίνει καὶ κατευνάζεται τῶν ἀνθρώπων τὰ πράγματα, εἰκότως θάλασσαν τὴν τούτων ἀνωμαλίαν οἱ θεῖοι καλοῦσι χρησμοί· οἱ δὲ ταύτην σαγηνεύσαντες, ἐν ὕδασι πολλοῖς ποιεῖσθαι τὴν ἐργασίαν ἐῤῥέθησαν· οὗτοι γὰρ ἀποσταλέντες ὑπὸ τοῦ Σωτῆρος ἐπὶ τὸ κήρυγμα τὸ Εὐαγγελικὸν, ἐπέδωκαν ἑαυτοὺς τῇ τοῦ ἀνθρωπείου βίου θαλάσσῃ, πλοίοις ὥσπερ καὶ ὀχήμασι τοῖς ἑαυτῶν χρησάμενοι σώμασιν· ἢ μᾶλλον ταῖς ἁπανταχοῦ δι' αὐτῶν κατασκευασθείσαις Ἐκκλησίαις, εἰς ἃς τοὺς θηρευομένους ὑπ' αὐτῶν ἐνέβαλον, καὶ πολλὴν ἐποιήσαντο τὴν ἐργασίαν ἐπὶ σωτηρίᾳ τῶν ἀνιμωμένων καὶ ἀνασπωμένων ἐκ τοῦ βυθοῦ τῆς πλάνης, διὰ τῆς πολυπλόκου σαγήνης τῶν θείων καὶ ἱερῶν μαθημάτων. ὁ δὲ Βασίλειός φησι· „ Πλοῖα θαλάσσης συνάγωγα, τὰ σώματα, ὅσα ἐαμβλεῖ τῇ τροφῇ

αὐ-

26 : „ Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν,
„ καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσ-
„ σων.

Ὁ Δεσπότης Χριςὸς, λέγει, ἐπρόςαξε (ἤτοι ἐσυγχώρησε) καὶ ἐσηκώθη φορτοῦνα· γίνεται γὰρ φησιν ὁ Εὐαγγελιςὴς Μάρκος, λαῖλαψ ἀνέμου μεγάλη. τὰ δὲ κύματα ἐπέβαλεν εἰς τὸ πλοῖον, ὥςε καὶ αὐτὸ ἤδη γεμίζεσθαι (Μάρ. δ´. 37.) τὰ κύματα δὲ τότε τῆς θαλάσσης, τώρα μὲν, πολλὰ ὑψονόμενα ἀνέβαινον· τώρα δὲ, πολλὰ ταπεινούμενα, ἐκατέβαινον· καθὼς ἀκολουθεῖ νὰ γίνεται εἰς τὰς μεγάλας φορτοῦνας. κατὰ σχῆμα δὲ ὑπερβολῆς ἐῤῥέθη τὸ, ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων· καθὼς εἶναι καὶ ἐκεῖνο· „ Πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. (Ψαλ. ν´. 7.) καὶ τό· „ Ἐκεῖ ἑωράκαμεν τοὺς γίγαντας, καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες (Ἀριθ. ιγ´. 33.) καὶ πολλὰ ἄλλα παραδείγματα εὑρίσκονται εἰς τὴν Γραφὴν τοῦ τοιούτου σχήματος τῆς ὑπερβολῆς· κατὰ τὸν Δίδυμον. (1)

„ Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο.
27 : „ Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ
„ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν
„ κατεπόθη.
28 : „ Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ
„ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀνα-
„ γκῶν αὐτῶν ἐξήγαγεν αὐτούς.

Ἡ ψυχὴ, λέγει, τῶν Ἀποςόλων εὑρισκομένη εἰς τὸν φόβον καὶ κίνδυνον τῆς φορτοῦνας, (κακὰ γὰρ ἐδῶ νοοῦνται τὰ κακωτικὰ, καὶ οὐχὶ τὰ φαῦλα καὶ αἱ ἁμαρτίαι κατὰ τὸν Ἡσύχιον·) κατετήκετο καὶ ἐλειποθύμει, ὅταν ὁ μὲν Κύριος ἐκοιμᾶτο ἐν τῷ πλοίῳ, οἱ δὲ Ἀπόςολοι πλησιάσαντες εἰς τὸν Κύριον ἐξύπνισαν αὐτὸν λέγοντες· „ Κύριε σῶσον ἡμᾶς, ἀπολλύμεθα (Μάρ. η´. 35.) τότε γὰρ ἀπὸ τὸν πολὺν φόβον τους ἐσαλεύθησαν καὶ ἐταράχθησαν κατὰ τὸν νοῦν: καθὼς καὶ ὁ μεθυσμένος σαλεύεται ἀπὸ τὸ πολὺ κρασί· καὶ ὅλη ἡ σοφία καὶ ἐμπειρία, ὁποῦ εἶχον εἰς τὴν ναυτικὴν τέχνην ἐφανίσθη τότε· διὰ τοῦτο ἐφώναξαν εἰς τὸν Κύριον, ὅταν ἔμελλον νὰ καταποντισθοῦν, καὶ ὁ Κύριος ἐλύτρωσεν αὐτοὺς ἀπὸ τὸν

εἰς πολυσαρκίαν κατατεφόρτισαι τῷ βυθῷ τῆς ἀπωλείας ἐπινηχόμενα. ἐπαινούμενα δὲ πλοῖα τὰ ὑπηρετοῦντα τοῖς καταβαίνουσιν εἰς θάλασσαν ἐπὶ τῷ ποιῆσαι ἐργασίαν ἐν ὕδασι πολλοῖς· οἱ γὰρ καταπατοῦντες τὸν κλύδωνα τοῦ βίου, καὶ ὑψηλότεροι αὐτοῦ ὄντες, ποιοῦσιν ἐργασίαν ἐν ὕδασι πολλοῖς, ὅτι συγκαταβαίνουσι τῷ βίῳ ἐπὶ τῷ κερδῆσαί τινας τῶν βεβυθισμένων· διὰ τοῦτο εἴδοσαν τὰ ἔργα Κυρίου, μισθὸν τῆς ἐργασίας, τὴν σύνεσιν τῶν ἔργων Κυρίου, καὶ τῶν ἐν τῷ βυθῷ θαυμασίων λαμβάνοντες. ἔφη δὲ καὶ ὁ Νύσσης· „ Ἐνταῦθα πάλιν λέγει τὴν ἀβουλίαν τῶν ἀνθρώπων, ὅτι καταλιπόντες τὴν ςαθηρὰν καὶ ἀκλυδώνιςον ζωὴν, πελάγιοι τῇ προαιρέσει ἐγένοντο· οἱ καταβαίνοντες γάρ φησιν, εἰς τὴν θάλασσαν ἐν πλοίοις· καὶ ἀντὶ τοῦ ἐργάζεσθαι τὸν Παράδεισον, ἐν ᾧ πρότερον ἐτάχθησαν, ὑποβρύχιον ποιοῦνται τὴν ἐργασίαν. θάλασσαν δὲ λέγει τὴν ὑλώδη ταύτην ζωὴν, τὴν πᾶσι τοῖς τῶν πειρασμῶν ἀνέμοις ταρασσομένην· ἀλλὰ καὶ αὐτοί φησιν, εἶδον τὰ ἔργα Κυρίου· βύθιοι γὰρ ἐν τῇ κακίᾳ τοῦ βίου γενόμενοι, καὶ πολλάκις τὰ πονηρὰ τῆς ψυχῆς πεπονθότες ναυάγια, εἶδον ἀφ' ἑαυτῶν τὰ τῆς φιλανθρωπίας ἔργα τοῦ ἐκ τῶν βυθῶν ἡμᾶς ἀνασῴζοντος.

(1) Ἄλλος δὲ λέγει· „ Ὅτι οὐρανὸς ἐδῶ ἐννοεῖται ὁ ἀὴρ, καθὸ καὶ πετεινὰ τοῦ οὐρανοῦ λέγονται· τὸ ἕως τῶν οὐρανῶν λοιπῶν θέλει νὰ εἰπῇ, τὸ ἐπὶ πολὺ τοῦ ἀέρος ὑψοῦσθαι. καὶ οἱ κοινὴ δὲ ὁμιλία τῶν ἀνθρώπων, τὸ πολλὰ ὑψηλὸν λέγει οὐρανόν· ὅθεν καὶ οἱ παλαιοὶ ἐκεῖνοι εἶπον περὶ τοῦ πύργου· „ Δεῦτε καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔςαι ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ. (Γέν. ια´. 4.) λέγει δὲ ὁ Νύσσης· „ Ἴσως δὲ τὸ εἶπε καὶ ἔςη πνεῦμα καταιγίδος, οὐκ εἰς τὸν Θεὸν, ἀλλ' εἰς τὸν ἐχθρὸν ἀνακτέον· ἡ γὰρ τοῦ ἀντικειμένου φωνὴ, τὸ τῆς νυκτῆς καταιγίδος πνεῦμα ἐργάζεται. καταιγὶς δὲ λέγεται βίαιος ἄνεμος, οὐκ ἐπ' εὐθείας προσπίπτων, ἀλλ' ἐφ' ἑαυτὸν εἱλούμενος δι' ὀξείας ςροφάλιγγος· ὃς ἐπειδὰν ἐμπέσῃ ποτὲ βιαίως τῷ ὕδατι, καθάπερ τινὸς πέτρας ἐγκαταβληθείσης τῷ βάθει, σχίζεται κατ' ἀνάγκην τῇ βίᾳ τοῦ πνεύματος. ἡ εἰς τὸ ὕψος τοίνυν τῶν τοιούτων κυμάτων ἔπαρσις, λέγω δὴ τῶν παθῶν, τῆς εἰς τὴν ἄβυσσον καταβάσεως αἰτία γίνεται· ἄβυσσος δὲ πολλαχοῦ τῆς Γραφῆς τὸ τῶν Δαιμόνων ἐνδιαίτημα μεμαθήκαμεν. λέγει δὲ ὁ Χρυσόςομος· „ Παραινεῖ δὲ καὶ σοὶ ὁ λόγος, ὅτε ἐὰν

τὸν φόβον ἐκεῖνον καὶ κίνδυνον. (1)

29 : „ Καὶ ἐπάταξε τῇ καταιγίδι καὶ ἔ-
„ στη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ
„ κύματα αὐτῆς.

30 : „ Καὶ εὐφράνθησαν ὅτι ἡσύχασαν,
„ καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα
„ θελήματος αὐτοῦ.

31 : „ Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ
„ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐ-
„ τοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

32 : „ Ὑψωσάτωσαν αὐτὸν ἐν Ἐκκλησίᾳ
„ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων
„ αἰνεσάτωσαν αὐτόν.

Ἐδῶ λέγει καὶ τὸν τρόπον, μὲ τὸν ὁποῖον ἐλυτρώθησαν ἀπὸ τὸν κίνδυνον οἱ Ἀπόστολοι· ἐπετίμησε, λέγει, ὁ Κύριος εἰς τοὺς ἀνέμους καὶ εἰς τὴν θάλασσαν, καὶ ἔγινε γαλήνη μεγάλη, ὡς ὁ Εὐαγγελιστὴς Ματθαῖος (κεφ. η΄. 26.) αὔρα γὰρ εἶναι ὁ πρᾶος καὶ γαληνὸς ἀέρας (2) ὅθεν οἱ Ἀπόστολοι καὶ οἱ ἄλλοι ἐπιβάται, βλέποντες τὴ γαλήνην εὐφράνθησαν, διατὶ ἡσύχασαν τὰ κύματα τῆς θαλάσσης· καὶ ἔτζι ὡδήγησεν ὁ Κύριος αὐτοὺς εἰς τὸν λιμένα· λιμένας δὲ εἶναι ἀληθῶς αἱ ἐντολαὶ τοῦ Κυρίου· ἐπειδὴ φυλάττουν ἀνώτερον ἀπὸ κάθε φουρτοῦναν ἐκεῖνον, ὁποῦ μένει εἰς αὐτάς· διὰ τοῦτο, λέγει, καὶ οἱ Ἀπόστολοι ἂς διηγοῦνται καὶ ἂς κηρύττουν εἰς ὅλους τὰ ἐλέη καὶ τὰ θαυμάσια τοῦ Κυρίου· καὶ ἂς ὑψώνουν αὐτὸν εἰς τὰ συναθροίσεις καὶ Ἐκκλησίας τοῦ λαοῦ τῶν Χριστιανῶν, καὶ ἂς δοξολογοῦν αὐτὸν εἰς τὸ συνέδριον τῶν πρεσβυτέρων: ἤγουν τῶν ὑπερεχόντων κατὰ τοὺς χρόνους καὶ κατὰ τὴν τιμήν. (3)

33 : „ Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ
„ διεξόδους ὑδάτων εἰς δίψαν.

34 : „ Γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ
„ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.

35 : „ Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων,
„ καὶ

ἐὰν ἴδῃς πρὸς τὸ ἔσχατον τὰ πράγματα ἥκοντα, μὴ καταπέσῃς, μηδὲ ἀπογνῷς· γίνεται γὰρ ταχίστη μεταβολή· τοῦτο γοῦν καὶ ἐν τῇ θαλάσσῃ συμβαίνει. ὁ δὲ Ἡσύχιος, θάλασσαν μὲν ἐννοεῖ τὸν βίον· πλοῖα δὲ τὰς Ἐκκλησίας· περὶ ὧν εἶπεν ὁ Θεὸς πρὸς τὸν Ἰώβ· „ Πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ, καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ (Ἰώβ. μα΄. 7.) λέγει δὲ, ὅτι πᾶσα μηχανὴ τῶν ἀνθρώπων νικᾶται, καὶ δὲν δύναται νὰ βαστάσῃ ἢ νὰ ὑπομείνῃ μηδὲ τὸ δέρμα τῆς οὐρᾶς τοῦ Διαβόλου· τὴν κεφαλὴν ὅμως αὐτοῦ ἤτοι τὴν εἰδωλολατρείαν, ἥτις ἦτον τὸ κεφάλαιον τῆς πονηρίας του· ταύτην, λέγω, ἐνέχρωσαν οἱ ἁλιεῖς: ἤτοι οἱ Ἀπόστολοι ἐν τοῖς πλοίοις τῶν Ἐκκλησιῶν. εἶδον δὲ οἱ Ἀπόστολοι τὰ ἔργα καὶ θαυμάσια τοῦ Χριστοῦ, ὅσα ἐν τῷ βυθῷ: ἤτοι ἐν τῇ βαθείᾳ σοφίᾳ οἰκονόμησε διὰ τὴν ἡμετέραν σωτηρίαν· κύματα δὲ θαλάσσης, λέγει τοὺς πειρασμούς· ὥσπερ γὰρ γαλήνη τὰ κύματα: οὕτω καὶ τοὺς πειρασμοὺς εἰρήνη διαδέχεται. ὁ δὲ Θεοδώριτος· „ Παραβολικῶς, φησι, ταῦτα τέθεικεν ὁ Προφήτης, καὶ διὰ τούτων διδάσκει, ὡς τοῦ Θεοῦ νεύοντος, καὶ τὰ λυπηρὰ γίγνεται, καὶ τὰ θυμήρη προσγίνεται.

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Αἰνίττεται δὲ καὶ διὰ τούτων, τὰς παντοδαπὰς τῆς φύσεως συμφορὰς, ἃς οὐδεὶς ἀνθρωπίνῃ σοφίᾳ ἱκανὸς διαλῦσαι· οὐδὲ γὰρ οἱ κυβερνῆται τῇδε κἀκεῖσε μεθυόντων δίκην περιφερόμενοι, ὅταν ὑπερσχῇ τὸ κῦμα τῆς θαλάσσης τοῖς πνεύμασιν ἐξοιδούμενον, περιγενέσθαι δύνανται τῶν δεινῶν. λέγει δὲ καὶ ὁ Ἡσύχιος· „ Ἐλέγχουσιν: ἤτοι ὑπερβαίνουσιν οἱ πειρασμοὶ τὰς ἀνθρώπων δυνάμεις· διόπερ ὁ Κύριος ἔλεγε· „ Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. οὐκοῦν καθάπερ οἱ ναῦται ὑπὸ χειμῶνος ἀπολειφθέντες πάσης τέχνης καὶ ἐπινοίας κρείττονος, διὰ τῆς εἰς Θεὸν ἐπικλήσεως σῴζονται· οὕτω χρὴ καὶ τοὺς πειραζομένους, οἰκείᾳ μὲν δυνάμει μὴ θαρρεῖν, μόνῃ δὲ τῇ πρὸς Θεὸν πεποιθήσει χρῆσθαι.

(2) Λέγει δὲ ὁ Νύσσης· „ Τάχα δὲ εἰπὼν ἐσίγησε τὰ κύματα αὐτῆς, τῷ τῆς σιγῆς ὀνόματι προαιρετικάς τινας εἶναι δυνάμεις σημαίνει τὰ κύματα, δι᾿ ὧν τὴν ἀποστατικὴν φύσιν ἐνδείκνυται: τὴν τῶν Δαιμόνων δηλαδή.

(3) Λέγει δὲ ὁ Θεοδώριτος· „ Τοῦτο παρὰ τῶν πεπιστευκότων Ἐθνῶν διηνεκῶς γινόμενόν ἐστιν ἰδεῖν· ἐν πάσαις γὰρ ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις, τοῦ ἱεροῦ καθηγουμένου συλλόγου, ἅπας ὁ λαὸς τὸν εὐεργέτην ὑμνεῖ ὁ τῆς θείας φιλανθρωπίας τὰς θαυματουργίας διεξιών.

„ καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑ-
„ δάτων.

(2) Αὕτη δὲ εἶναι ἡ ὁμαλὴ σύνταξις τοῦ ῥητοῦ· „ Ἐ τῇ ἐξ Αἰγύπτου ϗ ἐκ λαοῦ βαρβάρου ἐξόδῳ Ἰσραὴλ ϗ οἴκου Ἰακὼβ, ἐγενήθη ϗ τὰ ἑξῆς.

(3) Λέγει δὲ ὁ Ἡσύχιος· „ Ἰουδαία, ἐξομολόγησις, Ἰσραὴλ δὲ, νοῦς ὁρῶν Θεὸν ἑρμηνεύεται· πρότερον μὲν οὖν ἐξομολογήσασθαι προσήκει· ἵνα εἰς ἁγίασμά τις Θεοῦ γένηται, οἶκος ϗ ἅγιος ναὸς αὐτοῦ κατασκευαζόμενος· ϗ ἵνα οὕτω τελειωθεὶς διὰ θεωρίας τῆς ἀληθείας, Ἰσραὴλ ἀποδειχθῇ γινόμενος, ϗ τοῦ μακαρισμοῦ τύχῃ ὀψόμενος τὸν Θεὸν ἐν καρδίᾳ καθαρᾷ.

ἔμψυχος καὶ λογικὴ μὲ τρόπον ἀπόῤῥητον, τὸ θέλημα τοῦ Θεοῦ. ὅθεν διαμοιρασθεῖσα εἰς δύω, ἔφυγεν ἀπὸ τὸ μέσον, καὶ ἔδωκε τὴν ὑποκάτωθεν αὐτῆς ξηρὰν γῆν, τόπον διὰ νὰ περάσουν ἀβρόχως οἱ Ἰσραηλῖται, ὅταν ὁ Μωϋσῆς ἐΰγαλεν αὐτοὺς ἀπὸ τὴν Αἴγυπτον. λέγωντας δὲ, ὅτι ἔφυγεν, ἐφανέρωσε τὸν φόβον καὶ τὴν ὀγλιγωρότητα τῆς θαλάσσης κατὰ τὸν Χρυσόϛομον, μὲ τὴν ὁποίαν ἐδιαμοιράσθη, καὶ ἐϛάθη τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων.

„ Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Τοῦτο τὸ θαῦμα ἠκολούθησεν εἰς τὸν καιρὸν Ἰησοῦ τοῦ Ναυῆ, ὅταν ὁ Ἰορδάνης ποταμὸς ἐμπόδισε τὸ ῥεῦμά του, καὶ ἔδωκε τόπον τὴν ξηρὰν γῆν, διὰ νὰ περάσῃ ἀβρόχως ἡ Κιβωτὸς τοῦ Θεοῦ, καὶ ὅλος ὁ λαὸς τοῦ Ἰσραήλ. ταῦτα δὲ τὰ δύω θαύματα ἀναφέρει ὁ Δαβὶδ καὶ εἰς τὸν ξε'. Ψαλμὸν, λέγων „ ὁ μεταϛρέφων τὴν θάλασσαν εἰς ξηρὰν, ἐν ποταμῷ διελεύσονται ποδί. (1)

4 : „ Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ „ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

Θέλωντας ὁ Δαβὶδ νὰ φανερώσῃ τὴν ὑπερβολὴν τῆς χαρᾶς, ὁποῦ ἠκολούθησεν εἰς τοὺς Ἰουδαίους, καὶ ὅταν διεπέρασαν ἀβρόχως τὴν ἐρυθρὰν θάλασσαν, καὶ ὅταν διεπέρασαν τὸν Ἰορδάνην ποταμὸν, διὰ τοῦτο προσαρμόζει καὶ εἰς τὰ ἄψυχα καὶ ἀναίσθητα αἴσθησιν χαρᾶς καὶ ἀγαλλιάσεως· λέγει γὰρ, ὅτι καὶ αὐτὰ ἀκόμη τὰ ὄρη καὶ τὰ βουνὰ: δηλαδὴ τόσον τὸ Σινᾶ καὶ Χωρὴβ, ὅσον καὶ τὰ ὄρη καὶ βουνὰ τῆς Ἰουδαίας ἐχόρευσαν: ἤγουν ἐχάρησαν ὡσὰν τὰ κριάρια καὶ ἀρνάκια· διατὶ τὰ κριάρια καὶ ἀρνάκια ὅταν χορεύουν, φανερώνουν τὴν χαράν τους μὲ τὰ ἐξωτερικὰ πηδήματα καὶ σκιρτήματα, ὁποῦ κάμνουσιν ἐπάνω εἰς τὰ ἀνθισμένα λιβάδια, εἴπομεν δὲ καὶ ἡμεῖς ἐν τῷ ηζ'. ψαλμῷ διὰ τὴν χαρὰν τῶν ἀψύχων, ἑρμηνεύοντες τὸ „ ἀπὸ προσώπου Κυρίου ὅτι ἔρχεται· ὁποῦ γράφεται καὶ τὸ „ Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. χαρήσεται τὰ παιδία καὶ πάντα τὰ ἐν αὐτοῖς.

5 : „ Τίσοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες; „ καὶ σὺ Ἰορδάνη, ὅτι ἐστράφης εἰς „ τὰ ὀπίσω;
6 : „ Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί; „ καὶ οἱ βουνοὶ, ὡς ἀρνία προβάτων·

Προσωποποιΐας ῥητορικῆς σχῆμα μεταχειριζόμενος ὁ Προφήτης Δαβὶδ κατὰ τὸν Θεοδώριτον, συνομιλεῖ μὲ τὰ ἄψυχα ϛοιχεῖα καὶ πράγματα, καὶ ἐρωτᾷ τὴν ἐρυθρὰν θάλασσαν καὶ τὸν Ἰορδάνην, καὶ τὰ ὄρη καὶ βουνὰ, λέγωντας εἰς αὐτά. διατὶ ἐκάμετε τοῦτο; καὶ ἐσὺ μὲν ἡ θάλασσα διατὶ ἔφυγες ἀπὸ τὸ μέσον; ἐσὺ δὲ Ἰορδάνη, διατὶ ἐγύρισες εἰς τὰ ὀπίσω τὰ ῥεύματά σου; καὶ ἐσεῖς τὰ ὄρη, διατὶ ἐχορεύσατε ὡσὰν τὰ κριάρια; καὶ ἐσεῖς τὰ βουνὰ, διατὶ ἐχορεύσατε ὡσὰν τὰ μικρὰ ἀρνάκια

(1) Ὁ δὲ Ἡσύχιος ἀναγωγικῶς ἑρμηνεύει ταῦτα λέγων· „ Θάλασσαν τὴν πονηρὰν τοῦ βίου πολιτείαν ὡς ἐξάτων νοητέον· Ἰορδάνην δὲ, τὴν χάριν τοῦ Βαπτίσματος· φεύγει τοίνυν ἡ τοῦ βίου θάλασσα τὸν ἐξομολογούμενον, ἁλμυρά τις οὖσα, καὶ μὴ δυναμένη πρὸς τὸν ἅπαξ ἀναχωρήσαντα τῆς τῶν ἁμαρτημάτων ἅλμης, ἐγκαταμίγνυσθαι, Ἰορδάνης δὲ οὐ φεύγει, ἀλλ' εἰς τὰ ὀπίσω τοῖς ἐξομολογουμένοις ϛρέφεται. εἰς τὸ τῆς μετανοίας μεταβαλλομένοις δάκρυον· ἐπειδὴ τῇ δυνάμει τοῦ Βαπτίσματος ἐνεργεῖται ἡ μετάνοια, καὶ οὐδὲν ὠφεληθείη τις μετανοῶν, εἰμὴ τύχοι πρότερον βαπτισθείς· ὅθεν καὶ Ἰωάννης μετάνοιαν κηρύξας, ἐπέφερε τῇ μετανοίᾳ τὸ Βάπτισμα· διατὶ δὲ εἰς τὰ ὀπίσω ὁ Ἰορδάνης ϛρέφεται; ἐπειδὴ ὁ ἡμαρτηκὼς εἰς τοὐπίσω τρέχει μετανοῶν, τὸν ὀπίσω καταλιπὼν τὸν ἔμπροσθεν. (εἰς τύπον γὰρ τῆς μετανοίας ὁ Ἰορδάνης παραλαμβάνεται.)

κια ; δείχνει δὲ μὲ τὴν ἐρώτησιν ταύτην , ὅτι παράδοξον καὶ ὑπὲρ φύσιν πρᾶγμα ἠκολούθησεν εἰς αὐτά . (1).

7 : „ Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ „ γῆ , ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰα- „ κώβ.

Ἐδῶ κάμνει τὴν ἀπόκρισιν ὁ ἴδιος Δαβὶδ ἀντὶ τῶν ἀψύχων, ὁποῦ ἐρώτησεν ἀνωτέρω · ἐπειδὴ ἐκεῖνα ἄλογα ὄντα, νὰ ἀποκριθοῦν δὲν ἐδύνοντο κατὰ τὸν Θεοδώριτον · καὶ λέγει · ἀπὸ τὴν ἐπιφάνειαν τοῦ Κυρίου ἐσαλεύθη : ἤγουν ἐσκίρτησεν ἡ γῆ : ἤτοι τὰ ὄρη καὶ τὰ βουνά · ἐπιφάνειαν δὲ θέλεις νοήσεις τὴν εἰς ὄρη Σινᾶ καὶ Χωρὴβ , καὶ εἰς τὰ ὄρη τῆς Ἰουδαίας παρουσίαν τοῦ Θεοῦ · καθὼς καὶ ἐν τῷ προῤῥηθέντι ϟε' . Ψαλμῷ εἶπε · „ Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου ὅτι ἔρχεται. Θεὸν δὲ τοῦ Ἰακὼβ εἶπε, κατὰ τὸ „ Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ , καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. (Ἐξ. γ' . 6.) (2)

8 : „ Τοῦ στρέψαντος τὴν πέτραν εἰς λί- „ μνας ὑδάτων , καὶ τὴν ἀκρότομον „ εἰς πηγὰς ὑδάτων .

Ἀπὸ τὴν ἐπιφάνειαν , λέγει , τοῦ Κυρίου ἐχόρευσεν ἡ γῆ , ὅστις τὴν κατὰ φύσιν σκληρὰν καὶ ξηρὰν πέτραν ἐμετάβαλε , καὶ ἔκαμεν αὐτὴν νὰ εἶναι ὡσὰν λίμνη γεμάτη ἀπὸ νερά , καὶ τὴν πέτραν ἐκείνην τὴν τόσον σκληρὰν καὶ ἀντίτυπον , ὥστε ὁποῦ ἀπὸ τὸ ἄκρον αὐτῆς μόλις ἐδύνετο νὰ κοπῇ ὀλίγον με λοσὸν καὶ σίδηρον . ταύτην , λέγω , πηγὴν ὑδάτων ἀνέδειξε . λέγει δὲ καὶ πλατύνει ταῦτα ὁ Δαβίδ , διὰ νὰ δείξῃ τὸ θαῦμα μεγαλήτερον . (3)

9 : „ Μὴ ἡμῖν Κύριε · μὴ ἡμῖν , ἀλλ' ἢ „ τῷ ὀνόματί σου δὸς δόξαν ἐπὶ τῷ ἐ- „ λέει σου καὶ τῇ ἀληθείᾳ σου .

Ἀφ' οὗ ὁ Δαβὶδ ἐδιηγήθη ἀνώτερον τὰς πα-

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων · „ Μάνθανε τῆς Γραφῆς τὸ ἔθος · ὅτε γὰρ βούλεται μέγα τι χρηστὸν , ἢ μέγα λυπηρὸν ἀπαγγεῖλαι , καὶ αὐτὰ τὰ ἄψυχα αἰσθάνεσθαί φησιν · οὐχ ἐπειδὴ αἰσθάνεται · ἀλλ' ἵνα τὸ μέγεθος παραστήσῃ τῶν συμβαινόντων · οὕτω δὴ καὶ ἡμῖν ἔθος λέγειν , ὅτι αὐτὴ ἡ πόλις ἐσύγνασεν · αὐτὸ τὸ ἔδαφος σκυθρωπὸν γέγονεν · αὐτοὶ οἱ λίθοι φωνὴν ἀφῆκαν . ἔφη καὶ ὁ Θεολόγος Γρηγόριος · „ Πολλὰ ἡ Γραφὴ προσωποποιεῖν οἶδε καὶ τῶν ἀψύχων · ὡς τὸ , ἡ θάλασσα εἶπε τάδε καὶ τάδε · καὶ ἡ ἄβυσσος εἶπεν , οὐκ ἔστιν ἐν ἐμοί (Ἰώβ . κη' . 14 .) καὶ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ · καὶ ὄρη καὶ βουνοὶ λόγους ἐρωτῶνται σκιρτήσεως . ὁ δὲ Ἡσύχιος ἀναγωγικῶς ἑρμηνεύων τὸ ῥητὸν λέγει · „ Χαίρουσι γὰρ Προφῆται πάντες τοῦ ἐξομολογουμένου τὴν ἐπιστροφὴν βλέποντες · ὧν οἱ μὲν , ὄρη καὶ κριοί , ὡς μείζονος χάριτος μεταβαλόντες · οἱ δὲ , βουνοὶ καὶ ἀρνία , ὡς ἐλάττονος μὲν , ἀλλὰ συγγενοῦς τοῖς μεγάλοις μετεσχηκότες , λέγονται .

(2) Ὁ δὲ Εὐσέβιος λέγει · „ Ὅτι διὰ τοῦ λόγου τούτου ἡ τῶν Ἐθνῶν κλῆσις σημαίνεται · πάλαι μὲν γὰρ μετρικῆς τις γέγονεν αἴσθησις θαλάσσης καὶ ποταμοῦ καὶ ὀρῶν καὶ βουνῶν · νῦν δέ φησι τὸ πᾶν στοιχεῖον τῆς γῆς κινείσθω καὶ σαλευέσθω · μᾶλλον δὲ κατὰ τὸν Ἀκύλαν , ὠδινησάτω · ὅπως πληρωθῇ τὸ εἰρημένον ὑπὸ τοῦ Ἡσαΐου · „ Τίς ἤκουσε τοιοῦτο ; καὶ τίς ἑώρακεν οὕτως ; εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ ; ἢ καὶ ἐτέχθη Ἔθνος εἰσάπαξ ; ὅτι ὤδινε καὶ ἔτεκε Σιὼν τὰ παιδία αὐτῆς . (Ἡσ . ξς' . 8 .)

(3) Καὶ ὁ Θεοδώριτος δὲ τὴν ἀκρότομον οὕτως ἡρμήνευσε · „ Τὴν πάσης ἰκμάδος ἐστερημένην , καὶ μηδὲ τομῆς διὰ τὸ στερέμνιον ἀνεχομένην , τῇ προχύσει τῶν ὑδάτων ἐπέκλυσε , πηγὰς ἐκεῖθεν ἀφθόνως ἀναδοθῆναι κελεύσας . ὁ δὲ Νύσσης ταύτην ἀναγωγικῶς οὕτως ἑρμηνεύει · „ Ἀπολιθωθεῖσα τῷ κρυμῷ τῆς εἰδωλολατρείας ἡ φύσις (ἡ ἀνθρωπίνη) καὶ παγεῖσα , ἀκίνητος ἦν πρὸς τὸ κρεῖττον · διαθερμανθεῖσα δὲ τῷ Πνεύματι καὶ ὑποθαλφθεῖσα τῇ ἀκτῖνι τοῦ λόγου , πάλιν ἐγένετο ὕδωρ ἁλλόμενον εἰς ζωὴν αἰώνιον · καὶ ἡ λιθώδης διὰ τὸν κρυμὸν τῆς εἰδωλολατρείας , ἠγέρθη εἰς τὸ γενέσθαι τέκνον τοῦ Πατριάρχου δι' ἀρετῆς ὁμοιούμενον . ὁ δὲ Ἡσύχιος πέτραν ἀκρότομον λέγει τὸν Χριστὸν κατὰ τὸν Παῦλον , ὅς τις εἰς λίμνας ἑαυτὸν καὶ εἰς πηγὰς ὑδάτων μετέβαλεν · ἀνοίξας γὰρ τῇ λόγχῃ τὴν

παλαιάς ευεργεσίας, όπου έκαμεν ο Θεός εις τους Εβραίους, τώρα εδώ παρακαλεί τον Θεόν διά τους Ιουδαίους τους κατά τον καιρόν του και λέγει, μη κάμης έλεος εις ημάς Κύριε, διά τας εδικάς μας αρετάς. επειδή ημείς είμεθα έρημοι αρετών και πάντη ανάξιοι καθώς ήσαν ανάξιοι και οι παλαιοί εκείνοι προπάτορές μας, οίτινες έλαβον τας ανωτέρω ευεργεσίας σου. αλλά δός: ήτοι κάμε να δοξασθή το όνομά σου. με τι; με το έλεός σου και με το έλεός σου το αληθινόν: ήτοι με το να ελεήσης ημάς, και αληθώς να μας ελεήσης. έλεος γαρ και αλήθειαν πολλαίς φοραίς ονομάζει ο Δαβίδ το αληθινόν έλεος, (ουσιαστικόν: δηλαδή αντί επιθέτου μεταχειριζόμενος) και το κυρίως έλεος του Θεού, όσον κατά σύγκρισιν του ανθρωπίνου ελέους, το οποίον ως προς το θείον, είναι ψευδές, και μόνον κατά μετοχήν. (1)

10: „ Μήποτε είπωσι τα Έθνη, πού έστιν „ ο Θεός αυτών;

Ελέησόν μας, λέγει, Κύριε, και μην αφήσης να μας κυριεύσουν οι εχθροί και τα έθνη, διά να μη τύχη να σε ονειδίσουν τα έθνη και να είπουν περιγελαστικώς· πού είναι ο Θεός των Εβραίων να τους βοηθήση: ήτοι να είπουν, ότι είσαι αδύνατος, και διά τούτο δεν μας εβοήθησες.

11: „ Ο δε Θεός ημών εν τω ουρανώ και „ εν τη γη, πάντα, όσα ηθέλησεν, ε„ποίησε.

Τα μεν Έθνη, λέγει, ίσως ήθελαν φλυαρήσουν και να είπουν τα ανωτέρω κατά τον Δίδυμον. συ δε ο Θεός ημών, έκτισες εκείνα τα κτίσματα, όπου ηθέλησες, τόσον εις τον ουρανόν, όσον και εις την γην. μακροθυμείς δε πολλαίς φοραίς, και υπομένεις τας κακίας των ανθρώπων κατ' οικονομίαν, διά να δώσης καιρόν εις τους αμαρτωλούς να μετανοήσουν. (2)

12: „ Τα είδωλα των Εθνών αργύριον και „ χρυσίον έργα χειρών ανθρώπων.

13: „ Στόμα έχουσι και ου λαλήσουσιν· „ ό-

την πλευράν, εξήγαγε τας λίμνας του Βαπτίσματος, έτι δε και τας του Μυστηρίου πηγάς· επειδή ύδωρ και αίμα, το μεν, σύμβολον του Μυστηρίου (της ευχαριστίας δηλαδή) το δε, χαρακτήρ του Βαπτίσματος, έρρευσεν.

(1) Ο δε Ευσέβιος λέγει· „ Τάχα δε ο Δαβίδ το πρόσωπον υπεισέρχεται των εξ Ισραήλ, αιτούντων συγκαταριθμηθήναι τη των Εθνών κλήσει διά του λέγειν· ημείς μεν ανάξιοι της χάριτος, ης κατηξίωνται πάντα τα Έθνη· αλλά μη ημίν ποιήσης Δέσποτα, αλλά διά το όνομά σου το εξ αρχής επικληθέν εφ' ημάς· και μη ταίς ημών δικαιοσύναις, αλλά τω σω ελέει χάρισαι και τη ση αληθεία. ο δε Χρυσόστομος λέγει· „ Ουχ ίνα ημάς λαμπροτέρους ποιήσης και επισήμους· αλλ' ίνα αυτός πανταχού κατάδηλόν σου την δύναμιν εργάση· ώσπερ δε το όνομα αυτού δοξάζεται αντιλαμβανομένου και βοηθούντος· ούτω πάλιν δοξάζεται εν αρετή βιούντων ημών και απολαμπόντων κατά την πολιτείαν. ο δε Ησύχιος, έλεος και αλήθειαν εννοεί τον Χριστόν· και δόξαν λέγει, ότι δίδωσιν ο Πατήρ εαυτώ επί τη σαρκώσει του Μονογενούς, δι' αυτού δοξασθείς και φανερωθείς· τούτο γαρ και εν Ευαγγελίοις ο Κύριος έλεγε· „ Πάτερ δόξασόν σου το όνομα· πώς δε εδόξασεν; ημάς σώσας.

(2) Λέγει δε ο Χρυσορρήμων· „ Τί δε έστιν εν τω ουρανώ όσα ηθέλησεν, εποίησεν; ή τας Δυνάμεις φησί τας άνω, ή τα επιτάγματα, ά μετ' ευκολίας ανύεται. λέγει δε ο Δίδυμος· „ Εν ουρανώ εστιν ου τοπικώς, αλλ' υπεροχή μεγαλειότητος· ει γαρ ην παρά τω άνω τόπω μόνω, αλλαχόσε είναι εκωλύετο· έστι δε εν άπασι τοις ουρανοίς και επί της γης. άλλος γαρ ων των πάντων, ου περιέχεται υπό πάντων· αλλά και έξω πάντων, και εν πάσιν υπάρχει κατά τον της δημιουργίας και προνοίας λόγον· ει δε πάντα θελήσει Θεού εις ουσίαν ήλθον, ασεβώς σφόδρα διανοούμενοί τινες εξάπτουσι την ύπαρξιν του Υιού του Θεού της του Πατρός θελήσεως, ένα ποιούντες αυτόν των

εν

„ ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψον-
„ ται.

14: „ Ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται·
„ ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθή-
„ σονται.

15: „ Χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσου-
„ σι· πόδας ἔχουσι καὶ οὐ περιπα-
„ τήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ
„ λάρυγγι αὐτῶν.

Μὲ τὰ λόγια ταῦτα περιπαίζει ὁ Δαβὶδ τὰ εἴδωλα καὶ τοὺς ψευδοθεοὺς τῶν Ἐθνῶν, καὶ διηγεῖται ὅλα τὰ μέλη αὐτῶν, διὰ νὰ πλατύνῃ περισσότερον τὴν κατηγορίαν τους, κατὰ τὸν Χρυσόστομον. καὶ πρῶτον μὲν κατηγορεῖ τοὺς τύπους τῶν φαινομένων ἔξωθεν αἰσθητηρίων τους, τὸ στόμα, τὰ ὀμμάτια, τὰ αὐτία, τὴν μύτην, τὰς χεῖρας, καὶ τοὺς πόδας. ἔπειτα δὲ κατηγορεῖ τὰ αἰσθητήρια των ταῦτα καὶ λέγει, ὅτι εἶναι χωρὶς καμμίαν ἐνέργειαν, καὶ μία ὕλη ἄψυχος. ἤθελε δὲ ἀπορήσῃ τινας, διατὶ δὲν εἶπε καὶ διὰ τὸ στόμα τῶν εἰδώλων ὅτι δὲν τρώγουν; καθὼς εἶπε καὶ διὰ τὰ ὀμμάτιά των ὅτι δὲν βλέπουν; καὶ διὰ τὰ αὐτία των ὅτι δὲν ἀκούουν; ὁμοίως καὶ διὰ τὰς ἄλλας αἰσθήσεις των; καὶ ἀποκρινόμεθα, ὅτι φαίνεταί μοι, ἐπειδὴ καὶ ἡμεῖς εἰς τὸν Θεὸν λέγομεν πολλαῖς φοραῖς, ὅτι βλέπει καὶ ἀκούει καὶ ὀσφραίνεται καὶ περιπατεῖ καὶ λαλεῖ. δὲν λέγομεν δὲ καὶ ὅτι τρώγει. (ἴσως διατὶ τοῦτο εἶναι πολλὰ χονδρόν) διὰ τοῦτο ὁ Δαβὶδ ἀντὶ νὰ εἴπῃ, πῶς τὸ στόμα τῶν εἰδώλων δὲν τρώγει, εἶπεν, ὅτι δὲν λαλεῖ, καὶ διὰ τοῦτο πρῶτον καὶ ὕστερον τὴν λαλιὰν εἶπε καὶ τὴν φωνήν. διατὶ ἡ λαλιὰ καὶ φωνὴ, εἶναι ἡ καθαρωτάτη ἀπόδειξις τῆς λογικῆς ζωῆς: ἤγουν ὅποιος λαλεῖ, αὐτὸς καθαρὰ ἀποδείχνει τὸν ἑαυτόν του, ὅτι εἶναι λογικὸς ζωντανός. ἐπειδὴ δὲ τὰ εἴδωλα δὲν ἔχουν λαλιὰν, λοιπὸν εἶναι ἄψυχα ἄλογα, καὶ νεκρά. (1)

16: „ Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες
„ αὐτὰ. καὶ πάντες οἱ πεποιθότες ἐπ'
„ αὐτοῖς.

Ἐκεῖνοι, λέγει, ὁποῦ κατασκευάζουν τὰ εἴδωλα, καὶ ἔπειτα τὰ προσκυνοῦν ὡς Θεοὺς, καὶ ἐλπίζουν εἰς αὐτὰ νὰ τοὺς σώσουν, αὐτοὶ εἶναι καὶ τυφλοὶ καὶ κωφοὶ καὶ ἀναίσθητοι. καθὼς εἶναι τυφλὰ καὶ κωφὰ καὶ ἀναίσθητα καὶ τὰ εἴδωλα, ὁποῦ κατασκευάζουν καὶ προσκυνοῦν. (2) ἀλλὰ τὰ μὲν εἴ-

ἐν τοῖς οὐρανοῖς θελήσει Πατρὸς συσσωμένων· ἀλλ' ἀκουέτωσαν οἱ δυσσεβεῖς, ὡς τὴν κτίσιν μόνην ἐξήρτησε τῆς βουλήσεως τοῦ Θεοῦ. ὁ δὲ Ἡσύχιος· Ἔστι, φησιν, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, οὐ μόνον ὡς πάντα πληρῶν, ἀλλὰ καὶ ὡς ἐν γῇ διὰ σαρκὸς γενόμενος· οὐχ ἁπλῶς δὲ, ἀλλ' ὑποτάξας τοὺς Δαίμονας, ἐλευθερώσας δὲ τὴν κτίσιν στενάζουσαν.

(1) Ὁ δὲ Θεοδώριτός φησι· „ Σὺ μὲν, φησι, ποιεῖς ὅσα βούλει, τὰ δὲ ὑπὸ τῶν Ἐθνῶν προσκυνούμενα Εἴδωλα, οὐ δημιουργεῖ, ἀλλὰ δημιουργεῖται· καὶ ἀπὸ μὲν τῆς ὕλης ἔχει τὸ τίμιον· ἐκ χρυσοῦ γὰρ καὶ ἀργύρου κατασκευάζεται· ἀπὸ δὲ τῆς τέχνης τὴν εὐμορφίαν κομίζεται· ἀργυροχόοι γὰρ καὶ χρυσοχόοι καὶ ζωγράφοι ταῦτα κατασκευάζουσιν· καὶ πάλιν λέγει. ἐπειδὴ οἱ διὰ τῶν Εἰδώλων ἐνεργοῦντες Δαίμονες καὶ ταῖς ψευδέσι χρώμενοι μαντείαις, οὐ διὰ τῶν ἀψύχων ταῦτα Εἰδώλων, ἀλλὰ διὰ τῶν λογικῶν ἀνθρώπων προέφερον, ἢ διὰ συμβόλων τινῶν ταῦτα κατεμήνυον· εἰκότως ἔφη· „ Οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν· ἀκίνητα γὰρ καὶ ἄψυχα τὰ Εἴδωλα παντελῶς.

(2) Ὅθεν εἶπεν ὁ Θεοδώριτος· „ Τοὺς γὰρ λόγῳ τετιμημένους, καὶ εἰς τοσαύτην ἀλογίαν ἐκπεπτωκότας, δίκαιον τῶν ὑπ' αὐτῶν προσκυνουμένων τὴν ἀναισθησίαν λαβεῖν. λέγει δὲ καὶ ὁ Εὐσέβιος· „ Ὅμοιοι ἦσαν τοῖς Εἰδώλοις· εἰ γὰρ ἑώρων, οὐκ ἂν τὰ Εἴδωλα θεοὺς ἐνόμιζον· εἰ ἤκουον, οὐκ ἂν ὑπέλαβον λαλεῖν καὶ χρησμοὺς διδόναι τὰ ἄψυχα· εἰ ἐβάδιζον τὴν εὐθεῖαν ὁδὸν, πάλαι ἂν ἀνεχώρησαν τῆς περὶ τὰ Εἴδωλα πλάνης. λέγει δὲ καὶ ὁ Χρυσόστομος· „ Καίτοιγε τοῦτο ἀρετὴ τὸ ἴσον εἶναι Θεῷ· ἀλλ' ἐνταῦθα κατάρα γέγονεν· ἐννόησον οὖν τίνες ἂν εἶεν οὗτοι, ὅταν ἡ πρὸς αὐτοὺς ὁμοίωσις ἀντὶ ἀρᾶς προφέρηται τῆς ἐσχάτης. καὶ ὁ Δίδυμος· „ Οὐκ ἐπαρᾶται τοῖς ἀνθρώποις· ἀλλ' ἵνα δείξῃ, ὅτι τοῦτο ἕπεται τοῖς Εἰδωλολάτραις· οὐ γὰρ ἂν αὐτοῖς τοῦτο φανείη κατάρα, ἀλλ' εὐχῆς ἄξιον, τὸ θεοὺς γενέσθαι, καθάπερ οἴονται καὶ ἔλεγον, ὃ θαυμάζουσιν.

εἴδωλα τῶν Ἐθνῶν τοιαῦτα, λέγει, ἀναίσθητα εἶναι ὁμοίως καὶ ἐκεῖνοι ὁπού τὰ προσκυνοῦν τόσον εἶναι ἀνόητοι, καὶ καμμίαν βοήθειαν ἀπὸ αὐτὰ δὲν ἀπολαμβάνουσιν. ἡμεῖς ὅμως οἱ τὸν ἀληθῆ Θεὸν προσκυνοῦντες, δὲν εἴμεθα τοιοῦτοι.

17: „ Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον,
„ βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐ-
„ στιν.
18: „ Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον,
„ βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐ-
„ στίν.
19: „ Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν
„ ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπι-
„ στὴς αὐτῶν ἐστί.

Ἡμεῖς, λέγει, οἱ Ἰουδαῖοι, δὲν ἐλπίσαμεν ματαίως εἰς τὸν Κύριον, διατὶ ὁ Κύριος μᾶς βοηθεῖ καὶ μᾶς ὑπερασπίζεται. διαμοιράζει δὲ τοὺς Ἰουδαίους εἰς τὸν ἁπλῶς λαὸν Ἰσραὴλ, εἰς τὸ Ἱερατικὸν γένος, καὶ εἰς τοὺς προσηλύτους: ἤγουν εἰς τοὺς ἐκ τῶν Ἐθνῶν προσερχομένους εἰς τὴν νομικὴν λατρείαν. καὶ οἶκον μὲν Ἰσραὴλ ὀνομάζει τοὺς ἁπλῶς Ἰσραηλίτας, τοὺς ὁποίους καὶ βάλλει πρῶτον διὰ τὸ πλῆθος αὐτῶν. οἶκον δὲ Ἀαρὼν, ὀνομάζει τὸ Ἱερατικὸν γένος. ἐπειδὴ καὶ προτήτερα ἀπὸ ὅλους τοὺς Ἱερεῖς τοῦ παλαιοῦ νόμου ὁ Ἀαρὼν ἱεράτευσε, καὶ ἔγινε ῥίζα τῶν μεταγενεστέρων ἱερέων. φοβουμένους δὲ τὸν Κύριον ὀνομάζει τοὺς προσηλύτους Ἐθνικοὺς, καθότι αὐτοὶ προσῆλθον εἰς τὴν πίστιν τῶν Ἰουδαίων, καὶ διὰ τοῦτο ἐφοβοῦντο τὸν Κύριον, κατὰ τὸν Ἀθανάσιον. (1)

20: „ Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν
„ ἡμᾶς· εὐλόγησε τὸν οἶκον Ἰσρα-
„ ὴλ εὐλόγησε τὸν οἶκον Ἀαρών·
21: „ εὐλόγησε τοὺς φοβουμένους τὸν
„ Κύριον, τοὺς μικροὺς μετὰ τῶν
„ μεγάλων.

Ὁ Κύριος, λέγει, ἐνθυμήθη ἡμᾶς τοὺς δούλους του, καὶ διὰ τοῦτο μᾶς εὐλόγησε. τί δὲ θέλει νὰ εἰπῇ τὸ εὐλόγησεν; ἤτοι ἀπὸ μυρία ἀγαθὰ μᾶς ἐγέμωσε κατὰ τὸν Χρυσόστομον. (2) ἐπειδὴ ἄνωθεν καὶ ἐξ ἀρχῆς, ἀπὸ τοὺς προγόνους ἡμῶν ἕως καὶ εἰς ἡμᾶς τοὺς προγόνους ἐκείνων, δὲν ἔπαυσεν ὁ Θεὸς ἀπὸ τὸ νὰ εὐεργετῇ τὸ γένος ἡμῶν τῶν Ἰουδαίων. μοιράζει δὲ καὶ ἐδῶ τὸν λαὸν εἰς τρία μέρη κα-

(1) Διὰ τοῦτο λέγει ὁ Χρυσόστομος· „ Διαιρεῖ τὸν λόγον εἴς τε τὸν Ἰσραὴλ ϗ τὸ ἱερατικὸν γένος, ϗ τοὺς ἐξ Ἐθνῶν προσιόντας αὐτῷ· οὐ γάρ ἐστιν ἴσον ἱερεὺς ϗ ἰδιώτης· ἀλλ' ἔχει τι πλέον οὗτος. ϗ ὁ Δίδυμος· „ Πᾶν τὸ διορατικὸν γένος, διὰ τὸν νοῦν ἔχειν ὁρῶντα Θεόν· οἶκος Ἰσραὴλ χρηματίζει, διὰ τοῦ τυγχάνειν Ἐκκλησία Θεοῦ ζῶντος. ὁ δὲ Θεοδώρητος· „ Διδάσκει ὁ λόγος, ὅτι κἂν μὴ τὴν τῆς ἱερωσύνης τις ἀξίαν ἔχῃ, μηδὲ τὴν Ἰσραηλιτικὴν συγγένειαν περίκειται, τῷ δὲ θείῳ φόβῳ κοσμούμενος ἐπιμελῆται τῆς ἀρετῆς, τῆς ἴσης ϗ αὐτὸς παρὰ τοῦ Θεοῦ τῶν ὅλων τεύξεται προμηθείας.

(2) Προστίθησι δὲ ὁ Χρυσόστομος ϗ ταῦτα· „ Τί ἐστιν εὐλόγησε; μυρίων, φησιν, ἐνέπλησεν ἀγαθῶν· εὐλογεῖ μὲν γὰρ ϗ ἄνθρωπος τὸν Θεὸν, ὡς ὅταν λέγῃ· „ Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον· ἀλλ' ὁ τὸν Θεὸν εὐλογῶν, αὐτὸς κερδαίνει, λαμπρότερον ἑαυτὸν καθιστὰς, οὐκ ἐκείνῳ τι χαριζόμενος· ὁ δὲ Θεὸς εὐλογῶν ἡμᾶς, λαμπροτέρους ποιεῖ, ϗ οὐκ αὐτός τι προσλαμβάνει· ἀνενδεὲς γὰρ τὸ θεῖον· ὥστε ἑκατέρωθεν ἡμέτερον τὸ κέρδος· ὁ δὲ Θεοδώρητος λέγει· „ Τὴν αὐτὴν ϗ ἐνταῦθα διαίρεσιν ἐποιήσατο, ϗ τῆς ἐλπίδος ὑπέδειξε τὸν καρπόν· εὐλογίαν γὰρ τῇ ἐλπίδι συνέζευξε, ϗ ταύτης ἔφη μεταδοῦναι, οὐ μόνον τῷ οἴκῳ Ἰσραὴλ, ϗ τῷ οἴκῳ Ἀαρὼν, ἀλλὰ ϗ τοῖς φοβουμένοις αὐτόν. λέγει δὲ ὁ Ἡσύχιος· „ Πότε ὁ Θεὸς λήθην ἀνθρώπων ἐδέξατο; (οὐδέποτε) ἀλλὰ τοῦτό ἐστιν, ὃ διὰ τῶν εἰρημένων αἰνίττεται· ἐπειδὴ γὰρ ὑπὸ κατάραν ὄντες, οὐκ ἄλλως αὐτῆς ἀπολυθῆναι ϗ λαβεῖν εὐλογίαν ἠδυνάμεθα, εἰμὴ Χριστὸς ἐπὶ ξύλου κρεμασθεὶς τὴν κατάραν τὴν ἡμετέραν ἐβάστασεν, εἰκότως μνησθῆναι τὸν Κύριον πρόξενον, ϗ οὕτως ἡμᾶς εὐλογῆσαί φησι. ϗ ἄλλος δὲ λέγει· „ Πάντων μνημονεύει Θεὸς τῶν αὐτοῦ μεμνημένων.

καθὼς ἐδιαίρεσε τοῦτον καὶ ἀνωτέρω. τὸ δὲ τοὺς μικροὺς μετὰ τῶν μεγάλων, τὸ λέγει κοινῶς καὶ διὰ τὰ τρία μέρη. μεγάλους δὲ καὶ μικροὺς λέγει, ὄχι μόνον κατὰ τὴν ἡλικίαν τοῦ σώματος καὶ κατὰ τοὺς χρόνους τῆς ζωῆς. ἀλλὰ καὶ κατὰ τὴν δύναμιν καὶ ἀδυναμίαν. ὁμοίως καὶ κατὰ τὸν πλοῦτον καὶ πενίαν, καὶ κατὰ την δόξαν καὶ ἀδοξίαν, καὶ κατὰ τὴν ἐλευθερίαν καὶ δουλείαν: ἤγουν καὶ μακροὺς εἰς τὸ σῶμα καὶ κοντοὺς εὐλόγησε καὶ γέροντας καὶ νέους καὶ ἀδυνάτους, καὶ πλουσίους καὶ πτωχοὺς, καὶ ἐνδόξους καὶ ἀδόξους, καὶ αὐθέντας καὶ δούλους.

22: „Προσθείη Κύριος ἐφ' ἡμᾶς, ἐφ' ἡ„μᾶς, καὶ ἐπὶ τοὺς υἱοὺς ἡμῶν.

Ὁ Κύριος, λέγει, ἄμποτε νὰ αὐξήσῃ καὶ ἡμᾶς καὶ τοὺς υἱοὺς μας, καὶ νὰ προσθέσῃ εἰς ἡμᾶς ἔτι καὶ ἔτι ἀγαθά. μερικὰ δὲ ἀντίγραφα ἔχουσιν εἰς δεύτερον πρόσωπον, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. ὥστε ἐκ τούτου εἶναι φανερὸν, ὅτι ὁ Δαβὶδ εὔχεται διὰ τὴν προσθήκην καὶ αὔξησιν τοῦ γένους τῶν Χριστιανῶν. αὐτοὶ γὰρ αὐξήνθησαν περισσότερον ἀπὸ τοὺς Ἰουδαίους, καὶ εἰς αὐτοὺς ἐπροσεθησαν τὰ ἀληθινὰ ἀγαθὰ καὶ οὐράνια.

23: „Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ „ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

Καὶ τοῦτο τὸ ῥητὸν πρέπει νὰ νοήσωμεν, ὅτι λέγεται διὰ τοὺς Χριστιανοὺς, τοὺς ὁποίους εὐλόγησεν ὁ Δεσπότης Χριστὸς, ὅταν ἀνελήφθη εἰς τοὺς οὐρανούς. καθὼς ἱστορεῖ ὁ Λουκᾶς. „Καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτοὺς (Λουκ. κδ'.) εὐλογήσας γὰρ τοὺς Ἀποστόλους, διὰ τῶν Ἀποστόλων εὐλόγησε καὶ ὅλους τοὺς Χριστιανούς. (1)

24: „Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, „τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν „ἀνθρώπων.

Ὁ πρῶτος, λέγει, οὐρανὸς, τὸν ὁποῖον ἔκτισεν ὁ Θεὸς ἐν ἀρχῇ τῆς δημιουργίας τοῦ αἰσθητοῦ Κόσμου, καὶ τὸν ὁποῖον ἔχει σροφὴν καὶ σέγην ὁ φαινόμενος οὗτος οὐρανὸς: ἤτοι τὸ στερέωμα κατὰ τὸν Θεοδώριτον. αὐτὸς, λέγει, εἶναι κατοικητήριον εἰς τὸν Κύριον. καὶ ὅρα τὴν ἐξήγησιν τοῦ, ὁ ἐν ὑψηλοῖς κατοικῶν, ἐν τῷ προτέρῳ ριβ'. Ψαλμῷ. τὴν δὲ γῆν ἔδωκεν εἰς κατοικίαν καὶ ἀπόλαυσιν τῶν ἀνθρώπων, διὰ τοὺς ὁποίους καὶ ταύτην ἐποίησε. (2)

25: „Οὐχ

(1) Λέγει δὲ ὁ Χρυσόῤῥημων· „Εἶδες ὅση τῆς εὐλογίας ἡ ἰσχύς; τὰ γὰρ ῥήματα αὐτοῦ, ἔργα γίνεται· τὸν γοῦν οὐρανὸν τὸ ῥῆμα αὐτοῦ πεποίηκε· τῷ γὰρ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· ἐκείνῳ τῷ λόγῳ σε εὐλογεῖ, τῷ τοσαῦτα δυναμένῳ.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „Ἐνδιαιτᾶται δὲ τῷ οὐρανῷ τῶν ὅλων ὁ Κύριος, οὐ περιγεγραμμένην ἔχων τὴν φύσιν, ἀλλὰ τοῖς ἐκεῖ πολιτευομένοις τῶν ἁγίων Ἀγγέλων χαίρων χοροῖς. καὶ ὁ Χρυσόστομος δέ φησι· „Οὐ τὰ ὑπερῷα λαβὼν, ἡμῖν ἀφώρισε τὰ ἐνταῦθα; οὐκ ἔστι τοῦτο· ἄπαγε· ἀλλὰ συγκαταβάσεως ὁ λόγος· εἰ γὰρ τοῦτό ἐστι, πῶς τὸ ἕτερον ἕστηκε τὸ παρὰ τοῦ Θεοῦ λεγόμενον· „Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει Κύριος; ἐκεῖνο γὰρ ἐναντίον τούτῳ· συγκαταβατικῷ τοίνυν κέχρηται λόγῳ, οὐκ ἀποκλείων ἐν οὐρανῷ τὸν Θεὸν, ἀλλὰ δεικνὺς ὅτι ἐπαναπαύεται τοῖς ἐκεῖ. Ἄλλος δὲ λέγει (ἴσως ὁ Δίδυμος) „Ὁ βαθύτερον ταῦτα θεωρεῖν δυνάμενος, ἐρεῖ εἶναί τινα ἐξαιρέτως ἐν τῇ Γραφῇ λεγόμενον οὐρανὸν, Θεῷ προσῳκειωμένον, ἐν ᾧ μόνος ὁ Θεός· ἀμέλει πρὸ τῆς παραβάσεως ὁ Διάβολος ὢν ἐν οὐρανῷ, ὡς κάτω που τυγχάνων ἔλεγεν· „Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου· εἰς τοῦτον τὸν οὐρανὸν οὐδεὶς ἀναβέβηκεν, εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ κα-

25 : „ Οὐχ' οἱ νεκροὶ αἰνέσουσί σε Κύριε,
„ οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς
„ Ἅδου.
26 : „ Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν
„ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως
„ τοῦ αἰῶνος.

Τοῦτο τὸ ῥητὸν εἶναι ὅμοιον μὲ ἐκεῖνο ὁποῦ εἶπεν ἀλλαχοῦ „ Μὴ ἐξομολογήσεταί σοι χοῦς, ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; (Ψαλ. κθ'. 12.) καὶ μὲ τό· „ Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου; (Ψαλ. πζ. 12.) Κοντὰ δὲ εἰς ἐκείνους ὁποῦ βαθύτερον σοχάζονται, νεκροὺς μὲν λέγει ὁ Δαβὶδ ἐκείνους, ὁποῦ ἐνεκρώθησαν κατὰ τὴν ἐργασίαν τῆς ἀρετῆς, καὶ πρὸ τοῦ νὰ φθάσουν ἀπὸ τὸν φυσικὸν θάνατον τοῦ σώματος, ἐθανάτωσαν; ἐφθάρηκαν ἀπὸ τὸν προαιρετικὸν θάνατον τῆς ἁμαρτίας. ζωντανοὺς δὲ πάλιν ὀνομάζει ἐκείνους, ὁποῦ ζῶσιν ἐναρέτως, καὶ μεταβαίνουν ἀπὸ τὴν χθαμαλὴν ζωὴν ταύτην εἰς ζωὴν ὑψηλοτέραν καὶ θείαν. διότι ἐκεῖνοι, ὁποῦ εἶναι νεκροὶ κατὰ τὴν ἀρετήν, αὐτοὶ δὲν θέλουν ὑμνολογήσουν ἐν τῇ ζωῇ ταύτῃ τὸν Θεόν. ἐπειδὴ κατὰ τὸν Σειράχ „ οὐχ ὡραῖος αἶνος ἐν σόματι ἁμαρτωλοῦ. (Σειρ. ιε'. 9.) ἀλλ' οὐδὲ εἰς τὴν ἄλλην ζωὴν θέλουν ὑμνήσουν τὸν Θεὸν ἐπειδὴ μέλλουν νὰ βασανίζωνται παντοτινά. οἱ δὲ ἐναρέτως ζῶντες, αὐτοὶ θέλουν ὑμνήσουν τὸν Θεὸν καὶ ἐδῶ καὶ ἐκεῖ. ἀπὸ τοῦ νῦν γὰρ λέγει καὶ ἕως τοῦ αἰῶνος. καὶ οἱ μὲν νεκροὶ κατὰ τὴν ἀρετήν, καταβαίνουν εἰς τὸν ᾅδην. οἱ δὲ ζῶντες ἐν τῇ ἀρετῇ, ἀναβαίνουσιν εἰς τὸν οὐρανόν. (1) λέγωντας δὲ ὁ Δαβὶδ ἡμεῖς οἱ ζῶντες. ἐφανέρωσεν ἐκείνους, ὁποῦ ἦτον ὅμοιοι μὲ αὐτὸν κατὰ τὴν ἀρετήν: ἤγουν ὁποῦ ἦτον ἐνάρετοι, καθὼς ἦτον καὶ αὐτός.

ΨΑΛ-

καταβάς· ἐπεὶ κἀκεῖθεν ἀποσαλεὶς ἐλήλυθε φάσκων· καταβέβηκα ἐκ τοῦ οὐρανοῦ· ἀλλὰ ϗ τὸ ἅγιον Πνεῦμα ἐκ τοῦ οὐρανοῦ τούτου ἀπεσάλη· ὡς ὁ Πέτρος φησίν· „ Ἐν Πνεύματι ἁγίῳ ἀποσαλέντι ἀπ' οὐρανοῦ· ἔνθα γὰρ ὁ Πατήρ, ἐκεῖ ϗ ὁ Υἱὸς ϗ τὸ ἅγιον Πνεῦμα· ὁ οὐρανὸς δὲ οὗτος οὐκ ἔσι τοπικός· ἀλλ' ἵν' οὕτως εἴπω, ἡ πρανουμένη τοῦ Θεοῦ ὑπεροχὴ ϗ κατάσασις. Ἀλλὰ ϗ ὁ ἱερὸς Αὐγουσῖνος σχεδὸν τὰ αὐτὰ λέγει ἐν Κεφ. λα'. τῶν Μονολογίων· οὕτω γάρ φησιν· „ Ὅτι ἀθεώρητον ϗ ἀόρατον, ϗ ὑπὲρ λόγον ϗ ὑπὲρ νόησιν, ϗ ὑπεραπρόσιτον ϗ ὑπεραμετάβλητον, ϗ ὑπερακοινώνητον ἐκεῖνο πισεύεται· ὅπερ οὐδεὶς οὐδέποτε ἀνθρώπων, ἢ Ἀγγέλων εἶδεν, ἢ δύναται ἰδεῖν· οὗτός ἐσιν ὁ οὐρανός σου Κύριε, οὐρανὸς κρύπτων τὸ ὑπεράρχιον ϗ ὑπὲρ νόησιν ϗ ὑπὲρ λόγον ϗ ὑπερούσιον φῶς· περὶ οὗ λέγεται· „ Ὁ οὐρανὸς τοῦ οὐρανοῦ· ᾧ γῆ ἐσὶν ὁ οὐρανός, ὅτι ὑπερθαυμασῶς ὑπὲρ πάντα οὐρανὸν ἐκεῖνος ἐξῄρηται ϗ αὐτὸν τὸν ἐμπύριον οὐρανόν· διὸ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ προσείρηται ὅτι οὐδενὶ ἄλλῳ, ἢ τῷ Κυρίῳ γινώσκεται· εἰς ὃν οὐδεὶς ἀναβέβηκεν, εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ὅτι μηδεὶς οἶδε τὸν Πατέρα εἰμὴ ὁ Υἱός· ϗ τὸ Πνεῦμα αὐτῶν· ϗ οὐδεὶς ἔγνω τὸν Υἱόν, εἰμὴ ὁ Πατὴρ ϗ τὸ Πνεῦμα αὐτῶν· καθάπερ οὖν ϗ οὐδεὶς ἔγνω τὸ Πνεῦμα, εἰμὴ ὁ Πατὴρ ϗ ὁ Υἱός, ὧν τὸ Πνεῦμα ἐσίν· ἔφη δὲ ὁ Ἡσύχιος· „ Θεωρεῖς, ὅπως τὴν δημιουργίαν ὁ ποιητὴς πρὸς ἡμᾶς μερίζεται; ϗ ὥσπερ αὐτὸς ἀόρατος ὢν ἔχει τὸν οὐρανὸν τοῦ οὐρανοῦ τὸν ἀόρατον· οὕτως ἡμῖν τὴν κτίσιν τὴν ὁρατὴν ἀπένειμεν.

(1) Ὅθεν εἶπεν ὁ Χρυσόρρημων· „ Νεκροὺς οὐ τοὺς τετελευτηκότας φησίν, ἀλλὰ τοὺς ἐν ἀσεβείαις ἐναποθανόντας· ἢ τοὺς ἐν ἁμαρτίαις κατασαπέντας, ἐπεὶ ϗ Ἀβραὰμ τετελευτηκὼς ἦν ϗ Ἰσαὰκ ϗ Ἰακώβ· ἀλλ' ὅμως οὕτως ἔζων, ὡς τὴν ἐκείνων μνήμην ποιήσασθαι μετὰ τῶν ζώντων· ϗ ἁπλῶς τοὺς δικαίους λέγει ζῶντας· ὥσπερ γὰρ ὁ Θεὸς ἐσὶ ζωὴ ϗ δικαιοσύνη· οὕτω ϗ οἱ δίκαιοι κατὰ μετουσίαν αὐτοῦ ζῶντες ὀνομάζονται· ὁ δὲ Θεοδώριτος καὶ ϗ ὁ Ἀθανάσιος νεκροὺς ὀνομάζουσιν ἐδῶ, τοὺς τοῖς νεκροῖς Εἰδώλοις λατρεύοντας, ϗ οὐκ ἔχοντας ἐν ἑαυτοῖς τὴν ζωήν: ἤτοι τὴν γνῶσιν τοῦ μόνου Θεοῦ· ζῶντας δέ, τοὺς τὸν ζῶντα προσκυνοῦντας Θεόν, οἷς τὸν θεῖον ἀπεκλήρωσεν ὕμνον· πρὸς δὲ τούτῳ διδάσκει, σὺν πάσῃ προθυμίᾳ προσήκειν τοὺς θεραπεύοντας τὸν Θεὸν ἀνυμνεῖν ἔτι ζῶντας, ὡς τοῦ θανάτου τοῦτο ποιεῖν κωλύοντος· ᾄσω γάρ φησι, τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.



ΨΑΛΜΟΣ. ΡΙΔ.

„ Ἀλληλούϊα.

Καὶ ὁ παρὼν ψαλμὸς εἶναι εὐχαριστήριος πρὸς τὸν Θεὸν, καθὼς ἦτον καὶ ὁ πρότερινός. (1)

1: „ Ἠγάπησα, ὅτι εἰσακούσεται Κύρι„ος τῆς φωνῆς τῆς δεήσεώς μου.
2: „ Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, καὶ „ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Ἐγὼ, λέγει, ἠγάπησα τὸν Θεὸν (τοῦτο γὰρ ἐλλείπει, καὶ πρέπει νὰ ὑπακούηται ἔξωθεν) καὶ εὐφράνθηκα, διατὶ αὐτὸς ἤκουσε τὴν δέησίν μου. καὶ διατὶ ἔκλινε τὸ αὐτί του, συγκαταβὰς εἰς τὴν ἐδικήν μου ἀσθένειαν, καθὼς εἴπομεν εἰς τὸν ιϛ'. Ψαλμὸν. ἑρμηνεύοντες τό „ Κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου. ὅθεν καὶ εἰς τὸ ἑξῆς θέλω ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Κυρίου, εἰς ὅλας τὰς ἡμέρας τῆς ζωῆς μου. (2)

3: „ Πε-

(1) Ἄλλος δὲ λέγει, ὅτι ὁ Ψαλμὸς οὗτος εὐχαριστίαν περιέχει τῆς ἐκ Βαβυλῶνος ἐπανόδου· ἢ κατὰ τὸν Θεοδώριτον· „ Προφητεύει τὰ κακὰ, ὁποῦ ὁ Ἐπιφανὴς Ἀντίοχος ἐποίησεν εἰς τὴν Ἱερουσαλήμ.

(2) Ὁ δὲ Ἡσύχιος λέγει· „ Ἐν τῷ προλαβόντι Ψαλμῷ, Εἴτις ἐν τοῖς φοβουμένοις τὸν Κύριον κατελέχθη, οὗτος ἤδη προκόψας ἀπὸ τοῦ φόβου ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ, εἴποι ἂν τὸ ἠγάπησα· οὐ γὰρ παντός ἐστι τοῦτο εἰπεῖν· ἀλλὰ τοῦ τελειουμένου ἤδη καὶ ὑπερβαίνοντος τὸν τῆς δουλείας φόβον, καὶ ἐν τῷ Πνεύματι γενομένου τῆς υἱοθεσίας. λέγει δὲ καὶ ὁ μέγας Βασίλειος· „ Οὐ πρόσκειται μὲν οὖν τῷ ἠγάπησα, τὸ τίνα· προσυπακούεται δὲ παρ' ἡμῶν, ὅτι τὸν Θεὸν τῶν ὅλων· τὸ γὰρ κυρίως ἀγαπητόν· ὁ Θεός· ἐπειδήπερ ἀγαπητὸν (ἢ ἀγαθὸν) ὁρίζονται, (ὁ Ἀριστοτέλης δηλ.) οὗ πάντα ἐφίεται· ἀγαθὸν δὲ ὁ Θεὸς, καὶ πρῶτον καὶ τελειότατον τῶν ἀγαθῶν· αὐτόντε οὖν ἠγάπησα τὸν Θεὸν, τῶν ὀρεκτῶν ὄντα τὸ ἔσχατον· καὶ τὰ ὑπὲρ αὐτοῦ παθήματα μετὰ χαρᾶς ὑπεδεξάμην· τίνα δὲ ἐστι ταῦτα; μικρὸν ὕστερον διεξέρχεται, τὰς ὠδῖνας τοῦ θανάτου, τοὺς κινδύνους τοῦ Ἅδου, τὴν θλῖψιν, τὴν ὀδύνην, ἅπερ πάντα αὐτῷ ἀγαπητὰ, διὰ τὴν πρὸς Θεὸν ἀγάπην, καὶ τὴν ἐλπίδα τὴν ἀποκειμένην τοῖς ὑπὲρ εὐσεβείας πάθη καταδεξαμένοις, ἐφαίνετο· οὐ γὰρ παρὰ προαίρεσιν, οὐδὲ βιαίως καὶ κατηναγκασμένως ὑπέμεινα, φησι, τοὺς ἀγῶνας· ἀλλὰ στοργῇ τινι καὶ διαθέσει ὑπεδεξάμην τὰ ἐπίπονα, ὥστε ἔχειν με λέγειν· „ Ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, καὶ τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; ἠγάπησα οὖν ταῦτα πάντα, εἰδὼς ὅτι ὑπὸ θεατῇ καὶ ἀθλοθέτῃ τῷ Δεσπότῃ τῶν ὅλων τοὺς ὑπὲρ εὐσεβείας διαφέρω κινδύνους· ἠγάπησα, καὶ τῆς ἀγάπης μισθὸν ἐδεξάμην τὸ εἰσακουσθῆναι· λέγει δὲ καὶ ὁ Χρυσόστομος· „ Καὶ τίς οὐκ ἀγαπᾷ ἀκουόμενος, φησι; Πολλοὶ τῶν βιωτικῶν ἀνθρώπων, οὐ βούλονται ταῦτα ἀκούεσθαι, ἅπερ αὐτοῖς συμφέρει· ἀλλ' ἀ-

3 : „ Περιέσχονμε ὠδῖνες θανάτου . κίν-
„ δυνοι Ἅδου εὗροσάν με · θλίψιν
„ καὶ ὀδύνην εὗρον .

4 : „ Καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσά-
„ μην .

Ἐγὼ νομίζω , ὅτι τὰ ῥητὰ ταῦτα , εἶναι ὅμοια μὲ ἐκεῖνα , ὁποῦ ἀναφέρονται εἰς τὸν ιζ΄. Ψαλμὸν . λέγει γὰρ καὶ ἐκεῖ ὁ Δαβὶδ . „ Ἀγαπήσωσε Κύριε · ἔπειτα γράφει καὶ τὴν αἰτίαν , διὰ τὴν ὁποίαν εἶπεν ὅτι θέλει τὸν ἀγαπήσει :ἤγουν διατί , λέγει , εἶσαι ἰσχύς μου , ςερέωμά μου , καταφυγή μου , καὶ ἄλλα ὅμοια . ἔπειτα ἀκολούθως λέγει „ αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον . ὕςερον δὲ διηγεῖται καὶ τὰς συμφοράς , διὰ τὰς ὁποίας ἐπικαλέσθη τὸν Κύριον καὶ εἰσηκούσθη . λέγει γάρ· „ Περιέσχονμε ὠδῖνες θανάτου . Καὶ ἐδῶ δὲ τὰ αὐτὰ πάλιν λέγει· „ Ἠγάπησα , ὅτι εἰσακούσεται . ἀντὶ τοῦ , εἰσήκουσέ μου ὁ Κύριος , ὅταν αὐτὸν παρεκάλεσα . ἢ λέγει , ὅτι ὁ Κύριος θέλει μου εἰσακούσει ἀκόμη , διατὶ καὶ τώρα μου εἰσήκουσεν . αἰτίαν δὲ τῆς πρὸς Θεὸν ἀγάπης του λέγει ὅτι εἶναι , τὸ ὅτι ἔχει νὰ τοῦ εἰσακούσῃ ὁ Κύριος. ἔπειτα παρομοίως μὲ τὸ ἐν τῷ ιζ΄. Ψαλμῷ λέγει· „ Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι , καὶ ἔτζι ὕςερον διηγεῖται καὶ ἐδῶ τὰς συμφοράς , διὰ τὰς ὁποίας θλιβεὶς , ἐπικαλέσθη πάλιν τὸν Κύριον· καὶ ἐλυτρώθη ἀπὸ αὐτάς . διὰ τοῦτο γὰρ καὶ εἶπεν , ὅτι ἠγάπησεν . ἀφ' οὗ δὲ εἶπεν ὁ Δαβὶδ ἀνωτέρω , ὠδῖνας θανάτου καὶ κινδύνους ᾅδου , ἐξηγεῖ , τί εἶναι αὐτά : ἤγουν ὅτι εἶναι θλίψις καὶ ὀδύνη · θλίψιν γάρ φησι , καὶ ὀδύνην εὗρον . περὶ δὲ τῶν ὠδίνων τοῦ θανάτου καὶ τῶν κινδύνων τοῦ Ἅδου εἴπομεν πλατύτερον εἰς τὸν ῥηθέντα ιζ΄. Ψαλμὸν , ἑρμηνεύοντες τό· „ Περιέσχον με ὠδῖνες θανάτου , καὶ ὅρα ἐκεῖ. (1)

„ Ὦ

ἀξιοῦσι μὲν τὰ συμφέροντα αὐτοῖς γίνεσθαι , εἶτα ἐπειδὰν γένηται , ἀλύουσι ϗ δυσανασχετοῦσι · τὰ γὰρ συμφέροντα ταῦτά ἐςιν , ἅπερ ὁ Θεὸς ἐπίςαται εἶναι συμφέροντα , κἂν πενίαν εἴπῃς , κἂν λιμὸν , κἂν νόσον , κἂν ὁτιοῦν ἕτερον τοιοῦτον · ἐγὼ οὖν , φησιν , ἐπὶ ταῖς ὠδῖσι ϗ τοῖς κινδύνοις ἠγάπησα τὸν Θεὸν , ὅτι εἰσήκουσέ μου , ϗ ἐποίησεν ἐπ' ἐμοὶ τὰ συμφέροντα . ϗ πάλιν λέγει · „ Ἔκλινεν , εἶπε , τὸ οὖς αὐτοῦ ἐμοί · ἵνα τὸ ἑαυτοῦ ἀσθενὲς ἐπιδείξηται , ὅτι χαμαὶ κειμένῳ συγκατέβη διὰ φιλανθρωπίαν . ἄλλος δέ φησιν · „ Ἡ θεία ἀκοὴ φωνῆς οὐ δεῖται πρὸς αἴσθησιν · οἶδε γὰρ ϗ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπιζητούμενα · ἢ οὐκ ἀκούεις , ὅτι Μωσῆς μηδὲν φθεγγόμενος , ἀλλὰ τοῖς ἀλαλήτοις αὐτοῦ ςεναγμοῖς ἐντυγχάνων τῷ Κυρίῳ , ἤκουσε παρὰ τοῦ Κυρίου λέγοντος · „ Τί βοᾷς πρός με ; ἔργων γοῦν δικαίων παρουσία , μεγαλοφωνία ἐςὶ παρὰ Θεῷ .

(1) Λέγει δὲ ὁ Χρυσορρήμων · „ Εἶδες ὅπλον ἰσχυρόν ; εἶδες παραμυθίαν πάντα λύουσαν τὰ δεινά ; εἶδες ψυχὴν διαθερμαινομένην τῷ πόθῳ τοῦ Δεσπότου ; ἤρκεσε γάρ μοι φησιν , εἰς ἀπαλλαγὴν τῶν περιεχόντων κακῶν , τὸ καλέσαι τὸν Θεόν · διατὶ οὖν ἡμεῖς καλοῦμεν πολλάκις ϗ οὐκ ἀπαλλαττόμεθα τῶν δεινῶν ; ὅτι οὐ καλοῦμεν , ὡς καλεῖν δεῖ · αὐτὸς γὰρ ἕτοιμός ἐςιν ἀεὶ τοῦ παρέχειν · ϗ τοσαύτη αὐτοῦ ἡ ἀγαθότης , ὡς τὴν ἡμετέραν πρὸς ἐκείνην συγκρινομένην , πονηρίαν φαίνεσθαι · διὰ τοῦτό σε τῷ ἀδοκήτῳ κακῷ περιπεσεῖν ἐᾷ · ἵνα αὐτὸν καλέσῃς · ἵνα ἀκριβέςερον αὐτῷ συνάπτῃ · ἐπεὶ ϗ μητέρες τὰ ἀφηνιῶντα τῶν παιδίων προσωπείοις διαφόροις ἐκδειματοῦσαι , ἀναγκάζουσιν εἰς τοὺς οἰκείους καταφεύγειν κόλπους , οὐ λυπῆσαι βουλόμεναι , ἀλλὰ τὴν προσεδρείαν αὐτῶν σοφιζόμεναι . λέγει δὲ ϗ ὁ μέγας Βασίλειος · „ Ἐπειδὴ περιέσχον με ὠδῖνες θανάτου , ϗ κίνδυνοι Ἅδου εὕροσάν με , τοσοῦτον ἀπέσχον τοῖς πειρασμοῖς τούτοις ὑποπεσεῖν ὡς ἀκουσίοις , ὅτι ϗ πολλῷ πλείονας τούτων κατὰ τὸ ἑκούσιον πειρασμοὺς ἐμαυτῷ προσεθέμην , θλίψιν ϗ ὀδύνην · ἅπερ ἑκὼν ἐμαυτῷ ἐπεξεῦρον , οὐκ ἀκουσίως ὑπ' αὐτῶν κατελήφθην · ἐν μὲν γὰρ τοῖς κατόπιν , κίνδυνοι , φησιν , ᾅδου εὕροσάν με · ἐνταῦθα δὲ , θλίψιν ϗ ὀδύνην εὗρον . ἐπειδὴ γὰρ ἐκεῖ ἀνενδότως ἔχων εὑρέθην πρὸς τὰ παρὰ τοῦ πειράζοντος ἀπαχθέντα , ἵνα δείξω τὴν περιουσίαν τῆς πρὸς Θεὸν ἀγάπης , προσέθηκα θλίψεις ἐν τῇ θλίψει , ϗ ὀδύνην ἐν τῇ ὀδύνῃ · οὐ τῇ ἐμαυτοῦ δυνάμει τῶν ἀλγεινῶν κατεπανιςάμενος · ἀλλὰ διότι τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην · τοιοῦτόν ἐςι ϗ τὸ τοῦ Ἀποςόλου λέγοντος · „ Ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς · νικᾷ μὲν γὰρ , ὁ μὴ ἐνδιδοὺς ταῖς πρὸς ἀνάγκην ἐπαγομέναις ὀδύναις · ὑπερνικᾷ δὲ , ὁ ϗ αὐθαιρέτως ὀδύνας εἰς ἐπίδειξιν τῆς ὑπομονῆς ἐπισπώμενος · ὁ γενόμενος ἐν ἁμαρτίᾳ τινὶ πρὸς θάνατον , λεγέτω · περιέσχον με ὠδῖνες θανάτου . „ Πᾶς γάρ φησι , ποιῶν τὴν ἁμαρτίαν , ἐκ τοῦ Διαβόλου γεγέννηται · ὅτε οὖν φησιν , ἤμην ἐργάτης ἀνομίας , ἐκτοφορούμην ὑπὸ τοῦ θανάτου · τότε ϗ εὑρέθην ὑπὸ τῶν τοῦ ᾅδου κινδύνων · πῶς οὖν ἐξιμασάμην ἐμαυτόν ; ἐπειδὴ θλίψιν ϗ ὀδύνην εὗρον , ϗ τὴν διὰ μετανοίας κά-

„ Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.

5: „ Ἐλεήμων ὁ Κύριος, καὶ δίκαιος,
„ καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

Ὦ Κύριε καὶ Θεὲ, λέγει, λύτρωσαί με ἀκόμη καὶ ἀκόμη ἀπὸ τὰ μέλλοντα κακὰ, ὁποῦ ἠμποροῦν νὰ μοι ἀκολουθήσουν. (1) βλέπε δὲ ὦ ἀναγνῶςα, πῶς ὁ Δαβὶδ διδάσκει τὸν ἁμαρτωλὸν, καὶ τῷ λέγει. ὁ Θεὸς εἶναι ἐλεήμων. λοιπὸν μὴ ἀπελπισθῇς ὦ ἁμαρτωλὲ, ἐπειδὴ καὶ ἥμαρτες. καὶ πάλιν τῷ λέγει. ὁ Θεὸς εἶναι καὶ δίκαιος. λοιπὸν μὴ ξεθαῤῥεύσῃς εἰς τὸ ἔλεός του, καὶ ἀμελήσῃς, ἢ καταφρονήσῃς. ἀλλὰ καὶ ἔλπιζε ὁμοῦ καὶ φοβοῦ, καθὼς ἑρμηνεύει ὁ Χρυσοῤῥήμων. ἔπειτα διὰ νὰ δείξῃ ὁ Δαβὶδ, πῶς ὁ Θεὸς κλίνει περισσότερον εἰς φιλανθρωπίαν παρὰ εἰς δικαιοσύνην κατὰ τὸν Θεοδώριτον, (2) ἐπρόσθεσε καὶ εἶπεν, ὅτι καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. τὸ δὲ ὁ Θεὸς ἡμῶν, ἐῤῥέθη πρὸς διαφορὰν τῶν ψευδοθεῶν τῶν Ἐθνῶν.

6: „ Φυλάσσων τὰ νήπια ὁ Κύριος,

Ἐδῶ ἀκούεται ἔξωθεν τὸ ἐςὶν: ἤγουν φυλάσσων ἐςὶ τὰ νήπια ὁ Κύριος. ἐπαινεῖ γὰρ ὁ Δαβὶδ καὶ ταύτην τὴν ξεχωριςὴν πρόνοιαν τοῦ Θεοῦ, τὴν ὁποίαν ἔχει εἰς τὰ νήπια. διατὶ κατὰ τὸν μέγαν Βασίλειον καὶ Χρυσόςομον, ἀνίσως ἡ τοῦ Θεοῦ Πρόνοια δὲν ἐφύλαττε τὰ μικρὰ παιδία, ὅταν μάλιςα εὑρίσκονται εἰς τὰ σπάργανα, εὐκόλως ἤθελε θανατώσῃ αὐτὰ καὶ ὄφις, καὶ σκορπίος, καὶ πολλὰ ἄλλα φαρμακερὰ ζωΰφια καὶ ὀγλίγωρα ἤθελαν διαφθαροῦν.

κάκωσιν ἐμαυτῷ ἐπειδὴ ἐπενόησα· ϗ οὕτως ἐτόλμησα τὸ ὄνομα Κυρίου ἐπικαλέσασθαι, ἔφη δὲ ϗ ὁ Ἡσύχιος· „ Θλίψιν ϗ ὀδύνην ἐκάλεσε τὴν μετάνοιαν· θλίψιν μὲν, ὡς ἀνάμνησιν ἁμαρτίας ἔχουσαν· ὀδύνην δὲ, ἕνεκα τῶν πόνων, μεθ᾽ ὧν κατορθοῦσθαι πέφυκε, σάκκου ϗ σποδοῦ ϗ ἀγρυπνίας· ταύτην γὰρ εὑρὼν: τουτέςιν ἐπιδραμὼν αὐτῇ, τὸ ὄνομα Κυρίου εἰκότως ἐπεκαλεῖτο· εὐχὴ γὰρ τῆς μετανοίας ὑπόςασις.

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Εἶδες φιλόσοφον ψυχήν; πῶς τὰ βιωτικὰ ἀφεὶς ἓν ζητεῖ μόνον, τὸ τὴν ψυχὴν ἀσινῆ διαμεῖναι; ϗ μηδὲν παθεῖν τῶν παραβλαπτόντων αὐτήν; ταύτης γὰρ εὖ διακειμένης, τὰ λοιπὰ ἅπαντα ἕψεται· ὥσπερ οὖν οὐκ εὖ ἐχούσης, οὐδὲν ἡμῖν ὄφελος τῆς λοιπῆς εὐημερίας· διὸ δεῖ πάντα ϗ ποιεῖν ϗ λέγειν, ὥςε ταύτην διασώζεσθαι· τοῦτο γάρ ἐςι τό. γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις· καθάπερ γὰρ ὁ ὄφις τὸ λοιπὸν σῶμα προΐεται, ὥςε τὴν κεφαλὴν διασῶσαι· οὕτω ϗ σὲ τὰ ἄλλα πάντα ἐκδιδόναι χρὴ ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς. Σημειοῦμεν ἐδῶ, ὅτι ὁ ἱερὸς Θεοφύλακτος ἑρμηνεύων τὸ Εὐαγγελικὸν ἐκεῖνο, ὁποῦ εἶπεν ὁ Κύριος· „ Νῦν ἡ ψυχή μου τετάρακται· ϗ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης (Ἰωάν. ιβ΄.) ὁμοίως ϗ τὸ Ἀποςολικὸν ἐκεῖνο· „ Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις ϗ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς ϗ δακρύων προσενέγκας (Ἑβρ. ε΄. 7.) ταῦτα λέγω, ἑρμηνεύων λέγει, ὅτι αὐτὰ τὰ λόγια τοῦ Κυρίου ϗ τοῦ Ἀποςόλου προεφήτευσεν ὁ Δαβὶδ ἐν τῷ Ψαλμῷ τούτῳ ϗ εἶπε· „ Καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι· περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με· θλίψιν ϗ ὀδύνην εὗρον ϗ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην· ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου.

(2) Τὰ λόγια τοῦ Θεοδωρίτου εἰσὶ ταῦτα· „ Δὶς τοῦ ἐλέους μνημονεύσας, ἅπαξ τῆς δικαιοσύνης ἐμνήσθη· δεικνὺς τὸν Θεὸν ἐπιῤῥεπέςερον εἰς φιλανθρωπίαν· νικᾷ γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία τῆς δικαιοσύνης τὴν ψῆφον· ϗ οἱονεὶ μέσον ταύτην ἐναπολαμβάνει· λέγει δὲ ὁ μέγας Βασίλειος· „ Ἔςι δὲ ἔλεος πάθος ἐπὶ τοὺς παρ᾽ ἀξίαν τεταπεινωμένους παρὰ τῶν συμπαθῶς διατεθειμένων γινόμενον· ἐλεοῦμεν τὸν ἐκ μεγάλου πλούτου πρὸς τὴν ἐσχάτην πενίαν μεταπεσόντα· ϗ τὸν ἐπὶ κάλλει ϗ ὥρᾳ σώματος ἀγαλλόμενον, ὑπὸ τῶν αἰσχίςων παθῶν διαφθαρέντα· ἐπεὶ οὖν ϗ ἡμεῖς ἦμέν ποτε ἔνδοξοι ἐπὶ τῆς τοῦ παραδείσου διαγωγῆς, ἐγενόμεθα δὲ ἄδοξοι ϗ ταπεινοὶ διὰ τὴν ἔκπτωσιν, ὁ Θεὸς ἡμῶν ἐλεεῖ, ὁρῶν ἡμᾶς οἷοι ἀνθ᾽ οἵων γεγόναμεν· διὰ τοῦτο ϗ τὸν Ἀδὰμ ἀνεκαλεῖτο τῇ τοῦ ἐλέους φωνῇ, „ Ἀδὰμ ποῦ εἶ; οὐ γὰρ διδαχθῆναι ἐζήτει ὁ πάντα εἰδὼς· ἀλλὰ νοῆσαι αὐτὸν ἐβούλετο, οἷος ἀνθ᾽ οἵου γέγονε· ποῦ εἶ; ἀντὶ τοῦ, εἰς ποῖον πτῶμα κατελήλυθας ἀπὸ τηλικούτου ὕψους; εἶπε δὲ ϗ ὁ Ὠριγένης· „ Ἐπεὶ μετὰ δικαιοσύνης ἐλεεῖ ὁ Κύριος, ἐλεήμων ἐςὶ ϗ δίκαιος· οὐ δίκαιος ἐν τῷ ἐλεεῖν ἦν ὁ Σαοὺλ ἐλεῶν τὸν Ἀγάγ· ϗ εἰ πᾶν τὸ ἐλεεῖν ἦν δίκαιον, οὐκ ἂν περί τινων εἶπεν ὁ νόμος· „ Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει (Ἔξ. κγ΄. 3.) ϗ ὁ Ἀνώνυμος· „ Ὡς ἐλεήμων ὁ Θεὸς οὐκ ἀποςρέφει τῷ ἁμαρτωλῷ δεομένῳ τὸ πρόσωπον· ὡς δίκαιος δὲ, οὐκ ἄλλως αὐτὸν, εἰμὴ διὰ μετανοίας προσδέχεται.

ροῦν πίπτοντα εἰς λάκκους καὶ πηγάδια, καὶ κρημνούς, καὶ εἰς ἄλλους τοιούτους ἐπικινδύνους τόπους. μερικοὶ δὲ ὡς ὁ Θεοδώρητος, ἐνόησαν τὸν λόγον τοῦτον διὰ τὰ ἔμβρυα, ὁποῦ εὑρίσκονται ἀκόμη μέσα εἰς τὴν κοιλίαν τῆς μητρός των, τὰ ὁποῖα κινοῦνται μὲν, μέσα εἰς τοὺς σκοτεινοὺς καὶ ὑγροὺς τόπους τῆς μήτρας· καθὼς καὶ τὰ ὀψάρια κινοῦνται μέσα εἰς τὸ βάθος τῆς θαλάσσης, καὶ μήτε νὰ ἀναπνέουν ἠμποροῦν ἐκεῖ μέσα εὑρισκόμενα. τότε γὰρ μόνον ἀναπνέουν ἀφ' οὗ γεννηθοῦν. ὕςερον δὲ πάλιν ἀφ' οὗ αὐτὰ εὔγουν ἀπὸ τὴν θερμότητα τῆς μήτρας εἰς τὸν ἔξω ψυχρὸν τοῦτον καὶ ἀσυνείθιςον ἀέρα, οὐδὲ εἰς ὀλίγον διάςημα καιροῦ ἤθελαν ζήσουν ἀνίσως δὲν ἐφυλάττοντο ἀπὸ τὴν θείαν Πρόνοιαν. ἢ καὶ ἄλλως, νήπια θέλεις νοήσεις τοὺς νεοπαγεῖς καὶ ἀρχαρίους εἰς τὴν ἀρετὴν, τοὺς ὁποίους φυλάττει ἡ θεία Πρόνοια διὰ τὴν ἀπειρίαν ὁποῦ ἔχουν, ἕως ὁποῦ νὰ προκόψουν καὶ νὰ γένουν δυνατοὶ, εἰς τὸ νὰ πολεμοῦν τὰ πάθη, καὶ τοὺς ἀοράτους ἐχθροὺς τῶν Δαίμονας. (1)

„ Ἐταπεινώθην καὶ ἔσωσέ με.

Ἐταλαιπωρήθην, λέγει, ἀπὸ τοὺς πειρασμοὺς καὶ διὰ τοῦτο ἔσωσέ με: ἤτοι ἐλύτρωσέ με ἀπὸ τούτους ὁ Κύριος. διότι ἄφησε μὲν ἐμὲ νὰ κακοπαθήσω, διὰ νὰ γένω φιλοσοφώτερος. ἔλυσε δὲ τοὺς πειρασμοὺς, διὰ νὰ γνωρίσω τὴν χάριν καὶ πρόνοιαν, ὁποῦ ἔχει εἰς ἐμέ. καὶ ἀπὸ τὰ δύω μέρη μὲ εὐεργέτησε, κατὰ τὸν Χρυσόςομον. νοεῖται δὲ καὶ ἄλλως, ὅτι ὁ Θεὸς σώζει ἐκείνους ὁποῦ κατόρθωσαν τὴν ἀρετὴν τῆς ταπεινώσεως. (2)

7 : „ Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε.

8 : „ Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἀπὸ θανάτου· τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.

Εἰς μερικοὺς φαίνεται, πῶς μὲ τὰ λόγια ταῦτα παρακινεῖ ὁ Δαβὶδ τὸν ἑαυτόν του νὰ γυρίσῃ εἰς ἀνάπαυσιν καὶ ἐλευθερίαν τῶν πειρασμῶν ἐκείνων, τοὺς ὁποίους ἐδοκίμαζεν ἕως τότε, παρηγορεῖ γὰρ τὸν ἑαυτόν του διὰ τοῦτο, πῶς εὐεργετήθη τότε καὶ ἐλυτρώθη ἀπὸ τὸν ἐλπιζόμενον θάνατον, ἀπὸ τὰ δάκρυα, ὁποῦ ἔχυνεν ἐκ τῆς πολλῆς θλίψεως, καὶ ἀπὸ τὰς παγίδας, ὁποῦ εἶχον ςημένας κατ' αὐτοῦ οἱ ἐχθροί, εἰς τὰς ὁποίας πολλαῖς φοραῖς ἐπιάνετο. ἀνίσως δέτινας νοήσῃ τὰ ῥητὰ ταῦτα κατὰ ἀναγωγὴν, ἀνάπαυσιν μὲν θέλει εἰπῆ, πῶς εἶναι κατὰ τὸν Χρυσόςομον, ἡ ἀπὸ τοῦ Κόσμου τούτου ἀναχώρησις τῆς ψυχῆς τοῦ δικαίου ἀνθρώπου, ἡ ὁποία ἐλευθερώνει αὐτὸν ἀπὸ κάθε λυπηρόν. αὕτη γὰρ ἡ ἀναχώρησις καὶ ἀνάπαυσις, εἶναι μία εὐεργεσία τοῦ Θεοῦ εἰς τοὺς δικαίους ἄνδρας, ἐπειδὴ καὶ αὐτοὶ, δι' αὐτῆς ἐλευθερώνονται ἀπὸ τὸ βάρος καὶ ἀπὸ τὰ ἄλλα πάθη τοῦ σώματος. ὅθεν λέγει ὁ Παῦλος „ καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ ςενάζομεν, βαρούμενοι. (Β. Κορ. έ. 4.) Καὶ πάλιν „ τὸ ἀναλῦσαι καὶ σὺν Χριςῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον. (Φιλιπ. ά. 23.) ἁρμόζου-

(1) Λέγει δὲ καὶ ὁ Θεόδωρος· „ Νήπιά φησι τοὺς διὰ Πνεύματος ἁγίου ἐν Χριςῷ ἀναγεννωμένους, τοὺς κατὰ τὴν ἐντολὴν Ἰησοῦ νηπίους ὄντας, τῷ ἐςράφθαι καὶ γεγονέναι ὡς τὰ παιδία, οὓς αὐτὸς ὁ Κύριος φυλάσσει, οὐκ ἐῶν προσβαλεῖν αὐτοῖς πολεμίους, τῷ μήπω καιρὸν ἔχειν ἀγῶνος.

(2) Κατὰ δὲ τὸν Βασίλειον οὕτω τὸ ῥητὸν νοήσεις· „ Ἐπειδὴ ἐταπεινώθην, καὶ ἐςράφην, καὶ ἐγενόμην ὡς τὸ νήπιον, καὶ ἐδεξάμην τὴν βασιλείαν τῶν οὐρανῶν ὡς παιδίον, καὶ διὰ τῆς ἀκακίας ἐμαυτὸν εἰς τὴν τῶν παιδίων ταπείνωσιν κατήγαγον· ὁ φυλάσσων τὰ νήπια Κύριος, ἔσωσέ με ἐκ τῶν ὠδίνων τοῦ θανάτου, καὶ ἐκ τῶν κινδύνων τοῦ ᾅδου· οὐκ εἶπεν· οὐκ εἴασεν εἰς κινδύνους ἐμπεσεῖν, ἀλλ' ὅτι μετὰ τὸ ἐμπεσεῖν διέσωσε· προςίθησι δὲ ὁ Χρυσορρήμων· „ Διπλῆ ἡ εὐχαριςία ἐνταῦθα· καὶ ὅτι εἴασεν ἐμπεσεῖν εἰς κινδύνους, καὶ ὅτι ἐμπεσόντα οὐ κατέλιπε, καὶ ἑκατέρωθεν εὐηργέτησεν· ἀμφότερα γὰρ εὐεργεσίας εἶδος, καὶ τοῦ δευτέρου τὸ πρότερον οὐκ ἔλαττον· ἀλλ' εἰ δεῖ τι θαυμαςὸν εἰπεῖν, καὶ μεῖζον, ὅσῳ τὸ μὲν, κινδύνους ἔλυσε· τὸ δὲ, ψυχὴν φιλοσοφωτέραν εἰργάσατο.

ζουσι λοιπὸν τὰ ῥητὰ ταῦτα εἰς τοὺς δικαίους, ὁποῦ χωρίζονται ἀπὸ τὸ βαρὺ καὶ πολύμοχθον σῶμα τοῦτο, καὶ ἀναπαύονται εἰς μονὰς οὐρανίους. ὅθεν ὁ Δαβὶδ, ἀφ' οὗ εἶπεν, ὅτι Κύριος εὐεργέτησέ σε, ἐπρόσθεσεν „ ὅτι ἐξείλετο: ἤτοι ἐλύτρωσε τὴν ψυχήν μου ἐκ θανάτου: ἤτοι ἐκ τῆς ἁμαρτίας μου, ἥτις εἶναι ψυχικὸς θάνατος, διατὶ νεκρώνει τὰς εἰς τὴν ἀρετὴν ἐνεργείας τῆς ψυχῆς. ἐλύτρωσε δὲ καὶ τὰ ὀμμάτιά μου ἀπὸ τὰ δάκρυα. ἐπειδὴ πλέον δὲν δακρύουν ἀπὸ τὰς πολλὰς καὶ συνεχεῖς θλίψεις. ἐλύτρωσε καὶ τὰ ποδάριά μου ἀπὸ τὰ ὑποσκελίσματα καὶ σκοντάμματα, τὰ ὁποῖα ἔβαλον ἔμπροσθέν μου οἱ ὁρατοὶ καὶ ἀόρατοι ἐχθροί, ὁποῦ μὲ ἐπιβουλεύοντο. (1)

9: „ Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρα ζώντων.

Χώρα ζώντων εἶναι ὁ οὐρανός, ἢ ὁ μέλλων Κόσμος, ὅπου κανεὶς δὲν ἀποθνήσκει· ὁ δὲ παρὼν Κόσμος εἶναι χώρα καὶ τόπος τῶν ἀποθνησκόντων. (2) θέλω λοιπὸν, λέγει, εὐαρεστήσω εἰς ἐκείνην τὴν ἄφθαρτον χώραν, μετὰ τῶν ἁγίων Ἀγγέλων λατρεύων ἀνεμποδίστως τῷ Θεῷ, χωρὶς νὰ ἦναι τινας νὰ μὲ ἐπιβουλεύεται· ἢ εὐαρεστήσω εἶπεν, ἀντὶ τοῦ εὐάρεστος θέλω κριθῶ κοντὰ εἰς τὸν Θεόν· τὰ ῥητὰ δὲ ταῦτα ἐξηγήθησαν καὶ κατὰ ἄλλην ἐξήγησιν ἐν τῷ ν'. Ψαλμῷ. ὅπου γράφεται „ Ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, „ καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος· εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων. (3)

ΨΑΛ-

(1) Προςίθησι δὲ ϗ ταῦτα ὁ Χρυσορῥήμων· „ Εἰ γὰρ ϗ ἐξ ἁμαρτίας ὁ θάνατος εἰσενήνεκται, ἀλλ' ὅμως εἰς εὐεργεσίαν ἡμῶν αὐτῷ ὁ Θεὸς ἀπεχρήσατο· ὃς τῶν ἐνταῦθα κακῶν ἀπαλλαγὴν ἔχων ϗ πρὸς τὴν ἄνω πολλάκις μετάγων ζωὴν, οὐκ οἶδα, εἰ κυρίως προσαγορεύεται θάνατος, ἐν ὀνόματι μᾶλλον ἢ πράγματι τὸ φοβερὸν ἔχων· εἰδὲ φοβερὸν τὸ πρᾶγμα δοκεῖ, παρὰ τὴν ἀσθένειαν τῶν οὕτω διακειμένων δοκεῖ· οὐχ' ὁ θάνατός ἐςιν ὁ ποιῶν τὴν λύπην, ἀλλὰ τὸ πονηρὸν συνειδός· παῦσαι οὖν τοῦ εἶναι ἁμαρτωλὸς, ϗ ἔςαι σοι ποθεινὸς ὁ θάνατος. λέγει δὲ ϗ ὁ Βασίλειος· „ Ἀνάπαυσιν ἑαυτοῦ τὰς ἄνω λέγει μονὰς ὁ δίκαιος, ἃς ἀπολήψεται τῶν ἀγώνων ἀντιμισθίαν· διὸ ἑαυτῷ προσάγει τοὺς παρακλητικοὺς (λόγους) ὁ καλὸς ἀγωνιςὴς, παραπλησίως τῷ Παύλῳ λέγων· „ Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης ςέφανος· πρόκειται γὰρ ἀνάπαυσις αἰωνία τοῖς νομίμως τὸν ἐνταῦθα διαθλήσασι βίον, οὐ κατὰ ὀφείλημα τῶν ἔργων ἀποδιδομένη· ἀλλὰ κατὰ χάριν τοῦ μεγάλου Θεοῦ τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένη· καλῶς δὲ εἶπεν εἰς τὴν ἀνάπαυσίν σου, ὡς ἰδίαν οὐκ ἀλλοτρίαν· τὰ γὰρ ἡτοιμασμένα αὐτοῖς ὑπὸ τοῦ Θεοῦ, οἱ ἅγιοι ἀπολαμβάνουσιν ὡς ἴδια κτήματα. προςίθησι δὲ ὁ Χρυσορῥήμων· „ Καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος· τοῦτο τοῦ προτέρου μεῖζον, ὅτι οὐ μόνον λύπης ἐσμὲν ἀπηλλαγμένοι, ἀλλὰ ϗ τοῦ ὑποσκελίζεσθαι ϗ ἐπιβουλεύεσθαι· ἐπὶ τῆς πέτρας ἔςηκε λοιπὸν ὁ ἀπελθὼν μετὰ τῶν κατορθωμάτων· τοῦ λιμένος ἐπίληπται· πάντα ἀνῄρηται τὰ κωλύματα· λοιπὸν οὐδαμοῦ θόρυβος, οὐδὲ ταραχή· ἀλλ' ἐν εὐδοκιμήσει διηνεκεῖ μένει, ὁ οὕτως ἐντεῦθεν ἀναχωρήσας. λέγει δὲ ὁ Ἡσύχιος· „ Ἀνάπαυσις τῆς ψυχῆς ἡ τῶν ἁμαρτημάτων ἀποκοπή· κατατείνει γὰρ αὐτὴν ἡ ἁμαρτία, ϗ πάσας αὐτῆς τὰς δυνάμεις συντρίβει· ὅθεν ϗ τὸ Βάπτισμα ὡς ἀπαλλαγὴν ἁμαρτημάτων ἔχων, ὕδωρ ἀναπαύσεως ὁ Δαβὶδ προσηγόρευσε· τὴν ψυχὴν τοίνυν τὴν ἐν ἁμαρτίαις πλανηθεῖσαν ἐπιστρέψαι πρὸς τὴν ἀνάπαυσιν τὴν διὰ τοῦ Βαπτίσματος, ἢ τὴν διὰ τῶν δακρύων ϗ τῆς μετανοίας προτρέπεται· ϗ ὁ Βασίλειος πάλιν· „ Συγκρίσει τῶν ὧδε, τὴν μέλλουσαν ἀνάπαυσιν διαγράφει· ἐνταῦθα γὰρ περιέσχον με ὠδῖνες θανάτου· ἐκεῖ δέ· „ Ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου· ἐνταῦθα οἱ ὀφθαλμοὶ τὸ ἐκ θλίψεως προχέουσι δάκρυον· ἐκεῖ δὲ οὐκ ἔςι δάκρυον· ἀφεῖλε γὰρ ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου (Ἡσ. κε'. 8.) ἐνταῦθα πολὺς ὁ κίνδυνος τοῦ ὀλισθήματος· διὸ ϗ ὁ Παῦλος ἔλεγεν· „ Ὁ δοκῶν ἑςάναι, βλεπέτω μὴ πέσῃ· ἐκεῖ δὲ πάγιαι αἱ βάσεις· ἀπερίτρεπτος ἡ ζωή· οὐκέτι κίνδυνος πρὸς ἁμαρτίαν ὑπενεχθῆναι.

(2) Ὅθεν εἶπεν ὁ Θεοδώριτος· „ Χώραν ζώντων οὐ τὸν παρόντα βίον καλεῖ, ἐν ᾧ θρῆνοι ϗ ὀδυρμοὶ ϗ νόσοι ϗ θάνατοι ϗ ἁμαρτίαι ϗ συμφοραί· ἀλλὰ τὸν τούτων ἁπάντων ἀπηλλαγμένον βίον, ἐν ᾧ ἀναλαίπωρος τῆς ἀρετῆς ἡ κτῆσις, ϗ δίχα πόνων ὁ τῆς δικαιοσύνης προσγίνεται πλοῦτος.

(3) Λέγει δὲ ὁ Χρυσορῥήμων· „ Καλῶς δὲ εἶπεν ἐν χώρᾳ ζώντων· ἐκείνη γὰρ ὄντως ζωὴ ἀπηλλαγμένη θανάτου, ἀμιγῆ τὰ ἀγαθὰ ἔχουσα· ἔσχατος γάρ, φησιν, ἐχθρὸς καταργεῖται ὁ θάνατος. λέγει δὲ ϗ ὁ Εὐσέβιος· „ Ὁ κόσμος οὗτος αὐτός τε ἐςὶ θνητὸς ϗ χωρίον ἀποθνησκόντων· καί γε ἡ ψυχὴ ἐν σώματι φθαρτῷ καταχεκλεισμένη,

ϗ

ΨΑΛΜΟΣ ΡΙΕ.

„ Ἀλληλούϊα.

Εὐχαριστήριος πρὸς τὸν Θεὸν εἶναι καὶ ὁ παρὼν Ψαλμὸς, καθὼς ἦτον καὶ οἱ προλαβόντες· ὅθεν ἔχει καὶ οὗτος τὴν αὐτὴν ἐκείνων ἐπιγραφήν.

1: „ Ἐπίστευσα, διὸ ἐλάλησα.

Λέγει ὁ μέγας Βασίλειος, ὅτι ἐπειδὴ ὁ Προφήτης Δαβὶδ εἶπεν εἰς τὸ τέλος τοῦ προτέρου Ψαλμοῦ „ Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων, διὰ τοῦτο λέγει τώρα εἰς τὴν ἀρχὴν τοῦ παρόντος Ψαλμοῦ. Ἐπίστευσα διὰ ἐκεῖνο, ὁποῦ ἐπροφήτευσα ἐκεῖ εἰς τὸν ἄλλον Ψαλμόν: ἤγουν ἐπίστευσα, ὅτι θέλω εὐαρεστήσω ἐνώπιον τοῦ Κυρίου ἐν χώρᾳ ζώντων· διὰ τοῦτο καὶ ἐλάλησα τοῦτο· οὐ γὰρ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ἐκείνην ἐθεασάμην τὴν χώραν, ἀλλὰ καταδηλόν μοι ταύτην ἡ πίστις πεποίηκε, κατὰ τὸν Θεοδώριτον· ἀλλὰ καὶ εἰς τὸν κς. Ψαλμὸν πάλιν εἶπε „ Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων· ἀγκαλὰ καὶ τοῦτο ἐξηγήθη ἐκεῖ κατὰ ἄλλην ἔννοιαν.

„ Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Ἐγὼ, λέγει, τυχὼν παρὰ Θεοῦ τῆς προγνώσεως ταύτης, ὅτι θέλω εὐαρεστήσω εἰς τὸν Θεὸν, ἐταπεινώθηκα πολλὰ, νομίζοντας πῶς εἶμαι ἀνάξιος τῆς τοιαύτης μεγάλης δωρεᾶς, καὶ φοβούμενος, μήπως ὑπερηφανευθῶ, καὶ χάσω τὴν τόσον μεγά-

ἡ ἐπὶ ταύτης τῆς γῆς βαδίζουσα, οὐκ ἔστιν ἐν χώρᾳ ζώντων, ἀλλ' ἡμιθανής τις ὥσπερ τυγχάνει, νεκρὸν τῷ ἰδίῳ λόγῳ, καὶ τῇ φύσει φθαρτὸν περιβεβλημένη σῶμα· ὥστε εἶναι πάντα ἄνθρωπον ἐκ νεκροῦ καὶ ζῶντος συμπεπηγμένον· οὐκοῦν οὐκ ἔστι χώρα ζώντων ἡ ἐπὶ γῆς διατριβὴ, καὶ ὁ ἐν τῷ φθαρτῷ σώματι βίος· διὸ καὶ ἀλλοτρίαν τῆς οἰκείας ψυχῆς τὴν ἐνταῦθα χώραν ὁ δίκαιος ἐπίσταται· ὅτι μὴ ἀπὸ γῆς εἴληπται ἡ ψυχὴ, μηδὲ εἰς γῆν χωρεῖ· ἄλλης ἐστι χώρας τῆς ὀνομαζομένης χώρας ζώντων. Καὶ ὁ Βασίλειος δέ φησι· „ Χώρα ἐστιν ἐκείνη τῶν ζώντων, ἐν ᾗ μάλιστα εὐαρεστήσειν τῷ Θεῷ ὁ Προφήτης κατεπαγγέλλεται, ὡς ὑπ' οὐδενὸς μέλλων τῶν ἔξωθεν διακόπτεσθαι· ἐκείνη χώρα ζώντων, ἐν ᾗ οὐκ ἔνι νὺξ· οὐκ ἔνι ὕπνος τὸ τοῦ θανάτου μίμημα· οὐκ ἔνι βρῶσις καὶ πόσις τὰ τῆς ἀσθενείας ἡμῶν ὑπερείσματα· οὐ τῶν ἔξωθέν τι περισπατικῶν· ἀλλὰ χώρα ζώντων, οὐκ ἀποθνησκόντων διὰ τὴν ἁμαρτίαν· ἀλλὰ ζώντων διὰ τὴν ἀληθινὴν ζωὴν τὴν ἐν Χριστῷ.

φυλὴν χάριν. (1)

2 : „ Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου·
„ πᾶς ἄνθρωπος ψεύστης.

Ἔκϛασιν ὀνομάζει ἐδῶ ὁ Δαβὶδ τὴν ἔκπληξιν καὶ τὸν θαυμασμὸν, κατὰ τὸν μέγαν Βασίλειον. διότι ἐγὼ, λέγει, ἐκπλαγεὶς καὶ θαυμάσας τὴν θαυμαϛὴν ἐκείνην χώραν τῶν ζώντων, τὴν ὁποίαν ἐθεάσθην διὰ τοῦ ἁγίου Πνεύματος, εἶπον φανερῶς, ὅτι καθε ἄνθρωπος, ὁποῦ εὑρίσκεται εἰς τὸν Κόσμον τοῦτον, εἶναι ψεύϛης κατὰ τὴν ἀνθρωπίνην μακαριότητα, τὴν ὁποίαν καὶ ὁ Θεολόγος Γρηγόριος ψευδομένην εὐημερίαν ὠνόμασε. καθὸ αὐτὴ δὲν παραμένει, ἀλλὰ ὡσὰν ἕνα ὄνειρον ψευδὲς καὶ ἀνυπόϛατον ὀγλίγωρα περνᾷ καὶ διαλύεται. πάντα γὰρ τὰ ἀνθρώπινα ματαιότης ματαιοτήτων εἶναι κατὰ τὸν Ἐκκλησιαϛήν. διατὶ μεταβάλλονται εὐκόλως καὶ διαφθείρονται. τὰ δὲ ἀγαθὰ ὁποῦ εὑρίσκονται εἰς ἐκεῖνον τὸν τόπον τῶν ζώντων, εἶναι ὄντως ἀληθῆ διατὶ εἶναι μόνιμα καὶ ἀμετάβλητα καὶ ἀθάνατα. (2)

3 : „ Τί

(1) Λέγει δὲ ὁ μέγας Βασίλειος· „ Πίϛις ἡγείσθω τῶν περὶ Θεοῦ λόγων, πίϛις ϗ μὴ ἀπόδειξις· πίϛις ἡ ὑπὲρ τὰς λογικὰς μεθόδους τὴν ψυχὴν εἰς συγκατάθεσιν ἕλκουσα· εἴθε κἀμοὶ γένοιτο πιϛεῦσαι ἀξίως, ἵνα λαλήσω νῦν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ μεγάλῃ ταύτῃ, πέντε λόγους ἐν τῷ νοΐ μου· ϗ μηδεὶς καταχλευαζέτω τὸν λόγον, ὡς ἀβασανίϛως ἡμῶν εἰς τὴν ὑπὲρ ὧν λέγομεν συγκατάθεσιν τοὺς ἀκούοντας ἐναγόντων· ἀνάγκη γὰρ ἑκάϛης μαθήσεως ἀνεξετάϛους εἶναι τὰς ἀρχὰς τοῖς μανθάνουσιν· ὅλως δὲ ἡ ἄνευ πίϛεως ἐπὶ τὰ λαλεῖν ἐρχομένη ψυχὴ διακενῆς ληρήσει, κατ' οὐδενὸς ὑποκειμένου τὸν λόγον προάγουσα· ἀρχὴ τοίνυν λόγου ἔμφρενος πίϛις, ἰσχυρῶς τῇ καρδίᾳ τοῦ λαλοῦντος ἐνιδρυμένη· ἔπειτα πόθεν ἡμῖν δυνατὸν τὰ περὶ τὴν πίϛιν τέλειον κατορθοῦν, ἐφεξῆς ἐπάγει λέγων· „ Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα· ὁ γὰρ μὴ ταπεινώσας ἑαυτοῦ τὴν διάνοιαν, μηδὲ κατὰ μίμησιν τοῦ Ἀποϛόλου λέγων τό· „ Ἀδελφοὶ ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι· ἀλλὰ τῷ ἰδίῳ λογισμῷ ἐκμετρῶν τὰ ἀνέφικτα, οὐ δύναται λέγειν τὸ, ἐπίϛευσα διὸ ἐλάλησα· ἐπειδὴ οὐδὲ τὸ ἐφεξῆς ἐπάγειν αὐτῷ δυνατόν· „ Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα· εἶπε δὲ ϗ ὁ Χρυσόϛομος· „ Ταύτης τῆς λέξεως τὴν διάνοιαν ὁ Ἀπόϛολος Κορινθίοις δηλοῖ· „ Ἔχοντές φησι τὸ αὐτὸ Πνεῦμα τῆς πίϛεως κατὰ τὸ γεγραμμένον· ἐπίϛευσα διὸ ἐλάλησα· ϗ ἡμεῖς πιϛεύομεν διὸ ϗ λαλοῦμεν· πνεῦμα πίϛεως λέγων: ἤτοι τὴν ἕξιν τὴν ἀπὸ τῆς πίϛεως ἐγγινομένην· ἢ τὸ ἐπιχορηγούμενον ἐκ Θεοῦ τῷ πίϛιν ἔχοντι Πνεῦμα· τῷ δὲ ἐπίϛευσα διὸ ἐλάλησα, συνᾴδει τό· „ Καρδία μὲν πιϛεύεται εἰς δικαιοσύνην, ϛόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν (Ῥωμ. ί. 10.)

(2) Ὁ δὲ Νύσσης ὑψηλότερον λέγει· „ Τί ἐϛι τὸ ὄντως καλόν; ἰδίων ὀφθαλμῶν ἑκάϛῳ χρεία· ἵνα τὸ κάλλος ἐκεῖνο θεάσηται· ὅπερ, ὁ μὲν ἰδὼν κατά τινα θείαν δωρεάν τε ϗ ἐπίπνοιαν, ἀνερμήνευτον ἐν τῷ ἀποῤῥήτῳ τῆς συνειδήσεως ἔχει τὴν ἔκπληξιν· ὁ δὲ μὴ θεασάμενος, οὐ γνώσεται τὴν ζημίαν· καλῶς δέ μοι δοκεῖ ὁ μέγας Δαβὶδ τὴν ἀμηχανίαν ἐνδεδεῖχθαι ταύτην· ὃς ἐπειδή ποτε τῇ δυνάμει τοῦ Πνεύματος ὑψωθεὶς τὴν διάνοιαν, εἶδεν ἐκεῖνο τὸ ἀμήχανον ϗ ἀπόῤῥητον κάλλος ἐν τῇ μακαρίᾳ ἐκείνῃ ἐκϛάσει· εἶδε δὲ πάντως, ὡς ἀνθρώπῳ δυνατὸν ἰδεῖν, ἔξω τῶν τῆς σαρκὸς προκαλυμμάτων γενόμενος· ἐπεὶ δὲ ϗ εἰπεῖν τι ἄξιον τοῦ ὀφθέντος ἐπεπόθησεν, ἐκείνην ἐξεβόησε τὴν φωνὴν, ἣν πάντες οἴδασιν, ὅτι πᾶς ἄνθρωπος ψεύϛης· τοῦτο δέ ἐϛιν, ὥς γε ὁ ἐμὸς λόγος· ὅτι πᾶς ἄνθρωπος φωνῇ ἐπιτρέπων τὴν τοῦ ἀφράϛου ἑρμηνείαν, ὄντως ψεύϛης ἐϛὶν, οὐχὶ μίσει τῆς ἀληθείας· ἀλλὰ τῇ ἀσθενείᾳ τῆς διηγήσεως. λέγει δὲ ϗ ὁ μέγας Βασίλειος· „ Οὐ μὴν ἑαυτῷ περιπίπτει κατὰ τὸν λόγον ὁ Προφήτης, ὥσπερ τινὲς τῶν σοφιϛῶν ἐπιχειροῦσιν αὐτὸν διελέγχειν λέγοντες· εἰ πᾶς ἄνθρωπος ψεύϛης, ἄνθρωπος δὲ ϗ ὁ Δαβὶδ· ψεύϛης ἦν ϗ οὗτος δηλονότι· εἰ δὲ ψεύϛης, οὐ πιϛευτέον αὐτῷ περὶ ὧν ἀποφαίνεται· τὸ δὲ ἀληθὲς οὕτως ἔχει, ὡς ἐροῦμεν· ἄνθρωποι γὰρ λέγονται οἱ τοῖς ἀνθρωπίνοις ἔτι παθήμασι κατεχόμενοι· ὁ δὲ ὑψηλότερος ἤδη τῶν σαρκικῶν παθημάτων γενόμενος, ϗ διὰ τὴν τοῦ νοῦ τελείωσιν πρὸς τὴν τῶν Ἀγγέλων κατάϛασιν μετελθὼν, οὗτος, ὅταν περὶ τῶν ἀνθρωπίνων διαλέγηται, ἑαυτὸν ὑπεξαιρεῖται: τῶν λοιπῶν δηλονότι· ἀψευδὴς γὰρ ὁ εἰπών· „ Ἐγὼ εἶπα θεοί ἐϛε· πάντως δὲ, εἴ τινι ἄλλῳ, ϗ τῷ Δαβὶδ ἡ τοιαύτη προσηγορία πρέπουσα· ϗ γὰρ Υἱὸς ὑψίϛου ὁ διὰ τῆς ἀρετῆς ᾠκειωμένος Θεῷ· ϗ οὐκ ἀποθνήσκων ὡς ἄνθρωπος, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Θεόν. Σημείωσαι, ὅτι ὁ μὲν Ἀκύλας εἶπεν· „ Ἐγὼ εἶπα ἐν τῷ θαμβεῖσθαι· πᾶς ἄνθρωπος διάψευσμα. ὁ δὲ Θεοδοτίων· „ Πᾶς ἄνθρωπος ἐκλείπει. ὁ δὲ Σύμμαχος· „ Ἐγὼ εἶπα ἀδημονῶν· πᾶς ἄνθρωπος διαψεύδεται. οὐχ' ἁπλῶς δὲ πάσας τὰς ἑρμηνείας τέθεικα· ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι τὴν ἀνθρωπίνην εὐημερίαν ψεῦδος καλεῖ

3: „ Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάν-
„ των, ὧν ἀνταπέδωκέ μοι;

(3) Ὁ δὲ Εὐσέβιος λέγει· „ Ὅταν τις κατὰ τὸ θέλημα τῆς σαρκὸς καὶ τῶν διανοιῶν πορεύηται, ὁδοὺς ἑαυτοῦ πορεύεται· ὅταν δὲ ἀποστῇ τοῦ ἁμαρτάνειν, ἐν ταῖς ὁδοῖς τοῦ Θεοῦ βαδίζει· λέγει δὲ καὶ ὁ Χρυσόστομος ὅτι τό· „ Τὰς ὁδούς μου, εἶναι ὅμοιον τῷ· „ Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ.

ἥτις παρὰ σοῦ ἐχαρίσθη μοι. (1)

28: „ Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκη-
„ δίας, βεβαίωσόν με ἐν τοῖς λόγοις
„ σου.

Ἐχαυνώθην, λέγει, Κύριε ἀπὸ τὴν ἀκηδίαν, καὶ μικροψυχίαν, τὴν ὁποίαν συνειθίζουν νὰ προξενοῦν ἡ φροντίδες τῶν πραγμάτων τοῦ Κόσμου, ἢ καὶ ὁ συνεχὴς πόλεμος τῶν Δαιμόνων. διὰ τοῦτο στήριξόν καὶ ἐνδυνάμωσόν με εἰς τὰ λόγιά σου: ἤγουν εἰς τὴν μελέτην τῶν ἐντολῶν σου, ἵνα μὴ χωρισθῶ ἀπὸ αὐτήν. ἐπειδὴ διὰ μέσου τῆς μελέτης ταύτης, θέλω δυνηθῶ νὰ ἀπορρίψω τὸν νυσταγμὸν τῆς ἀκηδίας. (2)

29: „ Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ,
„ καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸς καὶ στράτα ἀδικίας εἶναι, ἡ πρᾶξις ὁποῦ φέρει τὸν ἄνθρωπον εἰς τὴν ἀδικίαν, τὴν ὁποίαν περιπατοῦσιν οἱ ἄδικοι. ταύτην λοιπὸν, λέγει, τὴν ἄδικον πρᾶξιν δίωξον ἀπὸ ἐμένα Κύριε, καὶ ἐλέησόν με μὲ τὸν νόμον τῆς φιλανθρωπίας σου. νόμος γὰρ τῆς φιλανθρωπίας τοῦ Θεοῦ εἶναι, τὸ νὰ ἐλεῇ ὁ Θεὸς ἐκεῖνον, ὁποῦ μετανοεῖ καὶ παρακαλεῖ αὐτὸν ἐκ ψυχῆς. (3)

30: „ Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ
„ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Στράταν ἀληθείας ὀνομάζει ὁ Δαβὶδ τὰ ἀληθινὰ δόγματα τῆς πίστεως, διὰ μέσου τῶν ὁποίων περιπατεῖ ὀρθῶς ὁ πιστὸς Χριστιανός. ἐπειδὴ ἀλήθεια μὲν εἶναι ὁ Χριστός „ Ἐγώ γάρ, φησιν, εἰμι ἡ ἀλήθεια. (Ἰω. ιδ. 6.) στράτα δὲ τοῦ Χριστοῦ, εἶναι ἡ εὐαγγελικὴ πολιτεία, τὴν ὁποίαν ἄνοιξεν ὁ Χριστὸς εἰς τοὺς πιστοὺς Χριστιανοὺς, κατὰ τὸν θεῖον Κύριλλον. ταύ-

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Εἰκότως ὁ Προφήτης ἀντιβολεῖ συνέσεως θείας μεταλαβεῖν, ὡς διαγνῶναι τὴν τῆς δικαιοσύνης ὁδὸν, μή ποτε παραγνωρίσῃ, καὶ ἀντ' ἀρετῆς κακίας ἔχηται διὰ τὸ ἀγχιθύρους εἶναι τὰς κακίας ταῖς ἀρεταῖς. ὁ δὲ Θεοδώριτος λέγει· „ Θείας ἡμῖν συνέσεως δεῖ, ὥστε κατὰ τὸν θεῖον νόμον τὴν ἀρετὴν μετελθεῖν· καὶ τὸν φιλανθρωπίᾳ χρώμενον, μὴ πρὸς κενοδοξίαν ἰδεῖν· καὶ τὸν ἀσκητικὸν, μὴ θηρεῦσαι τὸν ἀνθρώπειον ἔπαινον· τὸν σώφρονα, μὴ διὰ τὴν τῆς ἀκολασίας αἰσχύνην, ἀλλὰ διὰ τὸν πόθον τῆς ἀρετῆς μετιέναι τὴν σωφροσύνην· εἰκότως τοίνυν ἀντιβολεῖ συνέσεως θείας μεταλαχεῖν, ὡς διαγνῶναι τὴν τῆς δικαιοσύνης ὁδόν.

(2) Ὁ δὲ Θεόδωρος λέγει· „ Διδάσκει ὁ λόγος ὡς τὸ πνεῦμα τῆς ἀκηδίας. οὐκ ἔστιν ἄλλως ἐκβαλεῖν, ἢ διὰ τῆς μελέτης τῶν θείων λογίων· νήφειν οὖν χρὴ, ἵνα μὴ γενώμεθα ἐν νυσταγμῷ ἀπηγορευμένῳ· „ Μὴ δῷς γάρ φησιν, ὕπνον σοῖς ὄμμασι, μηδὲ νυσταγμὸν σοῖς βλεφάροις· ὥσπερ γὰρ κατὰ τὸν Ἡσύχιον, ἀρχὴ κοιμήσεώς ἐστι νυσταγμός· οὕτω καὶ ψυχὴ ἐν ἀρχῇ γενομένη ἁμαρτημάτων λέγεται νυστάζειν, καθελκομένη μὲν, ὥσπερ εἰς ὕπνον τὸ ἁμάρτημα· ἀνανεύουσα δὲ καὶ διεγειρομένη διὰ τῆς τῶν κρειττόνων μνήμης· κατὰ γὰρ τὸν Χρυσόστομον καὶ Θεοδώριτον, ἡ διηνεκὴς προσβολὴ τῆς ἁμαρτίας, διαλύει πολλάκις τὸν τόνον τῶν λογισμῶν. καὶ ἀπαυδῆσαι παρασκευάζει τὸν ἀθλητὴν, καὶ τὴν καλουμένην ἀκηδίαν ἐργάζεται· χαυνουμένη δὲ ἡ ψυχὴ, τὸν ὕπνον δέχεται· ὁ δὲ ὕπνος ἐπάγει τὸν θάνατον· διόπερ βεβαιωθῆναι καὶ στηριχθῆναι ὁ Προφήτης ἀντιβολεῖ· τοῦτο δὲ καὶ ἐν ἑτέρῳ ἔφη Ψαλμῷ· „ Φώτισον τοὺς ὀφθαλμούς μου μή ποτε ὑπνώσω εἰς θάνατον, θάνατον τὴν ἁμαρτίαν καλῶν: ἔοικε δὲ καὶ ἄλλως ἀκηδιᾶν κατὰ τὸν Νικήταν, ὁ τῇ μελέτῃ τῶν θείων σχολάζων, ὅταν μὴ νοῇ τὰ ἐν αὐτοῖς ἐμφερόμενα.

(3) Λέγει δὲ ὁ Εὐσέβιος· „ Τὸ δὲ νόμῳ σου ἐλέησόν με, ὅμοιον, ὡς εἴ τις εἴποι ἰατρῷ· ὡς ἀπαιτεῖ ὁ ἰατρικὸς νόμος καὶ λόγος, ἄγαγέ με εἰς τὴν ὑγείαν. ὁ δὲ Ὠριγένης λέγει· „ Οὐκ εἶπεν· ἐμὲ ἀπόστησον ἀπὸ ἀδικίας, ἀλλ' ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, ὡς τυγχάνουσαν ἐν ἐμοὶ καὶ ἐνυπάρχουσάν μοι. ὅσον γάρ ἐσμεν φαῦλοι, ἡ ὁδὸς τῆς ἀδικίας ἐν ἡμῖν ἐστι· καὶ πάντα μὲν πρακτέον, ἵνα αὐτὴν ἀποθήσωμεν τῆς ψυχῆς ἡμῶν· μάλιστα δὲ Θεὸν συνεργὸν εἰς τοῦτο παρακλητέον, ἵνα ταύτης ἀποστάσης ἡμῶν, δυνηθῶμεν εἰπεῖν· „ Καὶ τῷ νόμῳ σου ἐλέησόν με.

ταύτην λοιπὸν τὴν πολιτείαν τοῦ Εὐαγγελίου λέγει ὁ Δαβὶδ ὅτι ἠγάπησεν, ὡς προγνωσθεῖσαν ἀπὸ αὐτόν. ὁμοίως καὶ κρίματα λέγει τὰς ἐντολὰς τοῦ Χριστοῦ, τὰς ὁποίας ἐγνώρισε. (1)

31: „Ἐκολλήθην τοῖς μαρτυρίοις σου „Κύριε, μή με καταισχύνῃς.

Δὲν ἠμπορῶ, λέγει, νὰ χωρισθῶ ἀπὸ τὰς ἐντολάς σου Κύριε, ἀλλὰ τρόπον τινὰ ἐκολλήθηκα καὶ ἐκαρφώθηκα εἰς αὐτάς. διὰ τοῦτο μή με ἐντροπιάσῃς. τοῦτο δὲ θέλει γένει εἰς ἐμὲ, ἐὰν παραχωρήσῃς νὰ νικηθῶ ἀπὸ τοὺς ἐχθρούς μου, καὶ νὰ χωρισθῶ ἀπὸ τὰς ἐντολάς σου. (2)

32: „Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν „ἐπλάτυνας τὴν καρδίαν μου.

Ὅταν, λέγει, ἐσὺ Κύριε, ἐλευθερώσας τὴν ψυχήν μου ἀπὸ τὴν στενοχωρίαν τῶν πειρασμῶν, τότε ἐγὼ ἔτρεξα εἰς τὴν στράταν τῶν ἐντολῶν σου: ἤτοι σπουδαίως καὶ προθύμως ἐπεριπάτησα εἰς αὐτὰς, πολιτευόμενος κατὰ τὸν νόμον σου. (3)

33: „Νομοθέτησόν με Κύριε, τὴν ὁδὸν „τῶν δικαιωμάτων σου, καὶ ἐκζη„τήσω αὐτὴν διαπαντός.

Διατί λέγει ἐδῶ ὁ Δαβὶδ νὰ νομοθετήσῃ εἰς αὐτὸν ὁ Θεὸς τὴν στράταν τῶν ἐντολῶν του, εἰς καιρὸν ὁποῦ αὐτὴ ἦτον προνομοθετημένη διὰ τοῦ Μωϋσέως; καὶ ἀποκρινόμεθα, ὅτι τὸ νομοθέτησον ἐδῶ, εἶναι ἀντὶ τοῦ δίδαξον. διότι καὶ ὁ Σύμμαχος, ὑπόδειξον ἐξέδωκεν. ὁδὲ Ἀκύλας, φώτισον. ἐπειδὴ ἐκεῖνος ὁποῦ διδάσκει, νομοθετεῖ τρόπον τινα ἐκεῖνον ὁποῦ διδάσκει, παρακινῶν μὲν αὐτὸν εἰς τὰ καλὰ, ἐμποδίζων δὲ αὐτὸν ἀπὸ τὰ κακά. καὶ αὐτὸς δὲ ὁ

(1) Λέγει δὲ ὁ Εὐσέβιος· „ Καὶ πᾶς δὲ ὁ φιλαλήθης ἢ μηδέ ποτε προφέρων ψευδῆ λόγον διὰ στόματος, πεπαῤῥησιασμένως δὲ πάντα ἢ λέγων ἢ πράττων, εἴποι ἄν· ὁδὸν ἀληθείας ᾑρετισάμην· ἀλλὰ ἢ ὁ μεμνημένος ἐν πάσῃ πράξει, ἢ πρὸ ὀφθαλμῶν τιθέμενος τὰ τοῦ Θεοῦ κρίματα ἢ τὰς ἐντολὰς, ἐρεῖ· τὰ κρίματά σου οὐκ ἐπελαθόμην. ὁ δὲ Ὠριγένης λέγει· „ Τὸν στίχον τοῦτον ἐρεῖ μόνος, ὁ καταφρονῶν μὲν τῶν βλεπομένων, ὡς προσκαίρων ἢ ψευδῶν, σκοπῶν δὲ τὰ μὴ βλεπόμενα, ὡς αἰώνια ἢ μόνα κυρίως ἀληθῆ, ἢ ἐπ᾽ ἐκεῖνα σπεύδων· οὐκ ἀληθείας γὰρ ὁδὸς, ἣν αἱρεῖται, ὁ πραγματευόμενος τὸν κάτω πλοῦτον ἢ τὰς ἐπὶ γῆς δόξας· ὁ οὖν ἑλόμενος ὁδεύειν, ὡς ἀποδεδώκαμεν, τὴν τῆς ἀληθείας ὁδὸν, οὗτος οὐκ ἐπιλανθανόμενος τῶν κριμάτων τοῦ Θεοῦ ἢ τῶν ἀνταποδόσεων αὐτοῦ, τὸ τοιοῦτον πράττει.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ὑπερβάλλουσαν ἑαυτοῦ διάθεσιν παρίστησι περὶ τὰ θεῖα λόγια, ὁ ταύτην προϊέμενος τὴν φωνήν· οὐ γὰρ ἁπλῶς εἶπεν ἠκολούθησα· ἀλλ᾽ ἐκολλήθην: τουτέστιν οὐδὲ βραχὺ τούτων ἐχώρισα τὸν ἐμαυτοῦ λογισμόν· ζητεῖ δὲ τρυγῆσαι τῆς τοσαύτης διαθέσεως καρπὸν, τὸ μηδεμιᾶς πεῖραν αἰσχύνης λαβεῖν.

(3) Ὁ Θεοδώριτος δέ φησιν· „ Ἀμφοτέρων μέν τοι χρεία ἢ τῆς ἡμετέρας προθυμίας, ἢ τῆς τοῦ Θεοῦ προμηθείας, πρὸς τὸ διαδραμεῖν οὐ μιᾶς ἐντολῆς, ἀλλὰ πασῶν ἐντολῶν τὴν ὁδὸν, ἢ τὰ ὑπ᾽ αὐτῶν διηγορευμένα ἔργοις ἐπιτελέσαι ἢ πράξεσιν, ὥστε εἰπεῖν· τὸν δρόμον τετέλεκα· οὔτε γὰρ ἡ θεία χάρις δίδοται τοῖς τὴν ἀγαθὴν οὐκ ἔχουσι προθυμίαν, οὔτε ἡ ἀνθρωπεία φύσις ἀρετὴν δύναται κατορθῶσαι, δίχα τῆς ἄνωθεν βοηθείας· τοῦτο ἢ ὁ Προφήτης διδάσκει, ὅτι τῶν ἐντολῶν σου τὴν ὁδὸν ἔτρεχον ἀκωλύτως, παρὰ σοῦ λαμβάνων τοῦ δρόμου τὴν εὐκολίαν· πλατύτητα γὰρ τὴν εὐκολίαν ἐκάλεσεν, ὡς ἢ ἀλλαχοῦ φησιν· ἐν θλίψει ἐπλάτυνάς με· ἢ πάλιν: „ Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, ἢ οὐκ ἠσθένησε τὰ ἴχνη μου. ὁ δὲ Ὠριγένης· „ Ὁδὸς μὲν στενὴ καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καρδία δὲ πλατεῖα ἢ εὐρύχωρος ὑπὸ τοῦ λόγου εὐρυνομένη, ἡ ἁγία ἢ Θεὸν ὀψομένη ἢ τὸν καλὸν δρόμον τρέχουσα τῆς ὁδοῦ τῶν ἐντολῶν τοῦ Θεοῦ· ἡ δὲ στενὴ καρδία ἢ μὴ χωροῦσα ἐν ἑαυτῇ μονὴν Πατρὸς ἢ Υἱοῦ, χωρίζει ἀπὸ Θεοῦ διὰ τὴν στενοχωρίαν τὸν τοιαύτην τῇ ἑαυτοῦ [illegible] ἢ ὁ Ἀνώνυμος· „ Καὶ πῶς ἡμῶν ἡ καρδία πλατύνεται; διὰ πειρασμῶν ἢ θλίψεων· αὗται γὰρ τὰς ἐν ἡμῖν ἀκάνθας τῶν λογισμῶν ἐκτέμνουσι, ἢ τὴν καρδίαν εὐρυτέραν εἰς τὴν τῶν νόμων τῶν θείων ὑποδοχὴν ἐργάζονται.

ὁ Δαβὶδ ἀνωτέρω εἶπε „ δίδαξόν με τὰ δικαιώματά σου. ἢ τὸ νομοθέτησόν με εἶναι ἀντὶ τοῦ, φανέρωσόν μοι τὴν στράταν τῶν δικαιωμάτων σου, καὶ ἐγὼ θέλω τὴν ζητήσω πάντοτε. ἐπειδὴ αὐτὴ εἶναι κεκρυμμένη ἀπὸ τοὺς πολλοὺς, διατὶ φαίνεται ἀσαφὴς εἰς αὐτούς. (1)

34: „ Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν „ νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν „ ὅλῃ καρδίᾳ μου.

Δός μοι, λέγει, Κύριε, σύνεσιν καὶ φωτισμὸν τοῦ Πνεύματός σου, ἵνα διὰ τοῦ φωτισμοῦ τούτου ἐρευνήσω τὸν νόμον σου μὲ ἐπιστασίαν καὶ προσοχήν. καὶ ἀφ' οὗ καταλάβω αὐτὸν ἀκριβῶς, ἀκολούθως ἔχω καὶ νὰ φυλάξω αὐτόν. εἴπομεν δὲ ἀλλαχοῦ, ὅτι φυλακὴ νόμου εἶναι τὸ νὰ ποιῇ τινὰς τὸν νόμον, καὶ νὰ πληρώνῃ αὐτὸν διὰ τῶν ἔργων. (2)

35: „ Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐν„τολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Ὁδήγησόν με, λέγει, Κύριε, εἰς τὴν στράταν τῶν ἐντολῶν σου, διατὶ ἐκεῖνος, ὁποῦ ἔχουν προθυμίαν νὰ περιπατήσουν εἰς τὰς ἐντολάς σου, ἐσὺ ὁ Θεὸς τοὺς ὁδηγεῖς εἰς αὐτάς. τρίβον δὲ ὠνόμασε τὴν στράταν τῶν ἐντολῶν, διατὶ αὐτὴ δὲν εἶναι καινούρια καὶ ἀσυνείθιστος, ἀλλὰ εἶναι παλαιὰ καὶ συνειθισμένη καὶ τετριμμένη ἀπὸ τόσους καὶ τόσους δικαίους, ὁποῦ τὴν ἐπεριπάτησαν. (3)

36: „ Κλῖνον τὴν καρδίαν μου εἰς τὰ „ μαρτύριά σου, καὶ μὴ εἰς πλεονε„ξίαν.

Γύρισαι, λέγει, Κύριε, τὴν καρδίαν μου εἰς τὴν ἀγάπην τῶν ἐντολῶν σου, μὲ τὸ νὰ βοηθήσῃς τὴν προθυμίαν της διὰ τῆς χάριτός σου, καὶ μὴν ἀφήσῃς αὐτὴν νὰ γυρίσῃ εἰς τὴν ἀγάπην τῆς πλεονεξίας, καὶ νὰ νικηθῇ ἀπὸ τὰ πράγματα τοῦ Κόσμου. βλέπε δὲ ὦ ἀναγνῶστα, ὅτι ὁ Θεῖος Δαβὶδ ὅλα τὰ ζητεῖ ἀπὸ τὸν Θεόν, καὶ τὴν ἀποφυγὴν τῶν κακῶν, καὶ τὴν ἀγάπην τῶν καλῶν. διὰ νὰ μᾶς διδάξῃ μὲ τοῦτο, ὅτι ὁ Θεὸς εἶναι ὁποῦ κατορθώνει τὸ πᾶν „ Χωρὶς γάρ ἐμοῦ, φησιν, οὐ δύνασθε ποιεῖν οὐδέν. (Ἰω. ιε. 5) τοῦτο δὲ ἂς εἶναι εἰς ἐσένα

(1) Λέγει δὲ ὁ Ὠριγένης· „ Τὸ μὲν, παρὰ τοῦ Θεοῦ αἰτεῖται· τὸ δὲ, ἐπαγγέλλεται ἐξ ἑαυτοῦ συνεισφέρειν· σὺ μὲν γάρ, φησιν, ὦ Κύριε, νομοθέτησόν με τὴν ὁδὸν τῶν δικαιωμάτων σου, ἐγὼ δὲ τὸν τῆς ζωῆς μου ἅπαντα χρόνον ἐπιδώσω ἐμαυτὸν εἰς ἀναζήτησιν ταύτης. καὶ ὁ Θεόδωρος· „ Ἐπεὶ οὐκ ἔστι βραχεῖα ἡ εὕρεσις τῆς ὁδοῦ τῶν δικαιωμάτων, ἐκζητήσω εἶπε οὐκ ἐπὶ δύο, ἢ τρεῖς ἡμέρας, ἢ δέκα, ἀλλὰ διὰ παντός· μόλις γὰρ ἀρκεῖ μοι ὁ χρόνος τῆς ζωῆς.

(2) Εἶπε δὲ ὁ Θεοδώριτος· „ Καὶ ὁ Κύριος προσέταξεν, ἐρευνᾶτε τὰς Γραφάς· ἀλλὰ τοῖς ἐρευνῶσι χρεία τῆς ἄνωθεν αἴγλης· ἵνα καὶ εὕρωσι τὸ ζητούμενον, καὶ φυλάξωσι τὸ θηρώμενον. εἶπε δὲ καὶ ὁ Ἀπολλινάριος· „ Εἰ δὲ συνέσεως δεῖταί τις, ἵνα μόνον ἐξερευνήσῃ τὸν νόμον, πόσης δεῖται συνέσεως ἀπὸ Θεοῦ διδομένης, ἵνα εὕρῃ τὸ τέλος; (τοῦ νόμου δηλαδὴ) καὶ ὁ Θεόδωρος· „ Ἅτε συνιεὶς τὰ ἐν τῷ νόμῳ κεκρυμμένα, οὐκέτι διὰ στόματος αὐτὸν φυλάξω, ἀλλὰ κατὰ διάνοιαν καὶ ἐν ὅλῃ καρδίᾳ, ὥσπερ παρακαταθήκην ἀναγκαίαν.

(3) Λέγει δὲ ὁ Ἀθανάσιος· „ Τρίβος λέγεται ἡ τετριμμένη ὁδὸς, ἣν πολλοὶ πρὸ ἡμῶν ἐπορεύθησαν τῶν δικαίων· ἐὰν δέ τις μὴ ὁδηγῷ χρήσηται τῷ δικαίῳ, οὐ δύναται ὁδεῦσαι κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ· Χριστοῦ γὰρ ἡμᾶς δεῖ γενέσθαι μιμητὰς, καὶ αἴρειν τὸν Σταυρὸν καὶ ἀκολουθεῖν ὀπίσω αὐτοῦ. καὶ ὁ Δίδυμος· „ Ὅταν τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Θεοῦ θελήσωμεν: τουτέστιν ὅταν τὴν πρᾶξιν τῶν ἀγαθῶν προελώμεθα, τότε τὸν Θεὸν ἔχομεν ὁδηγὸν, ὥστε μὴ πλανᾶσθαι ἐξ αὐτῆς μηδὲ σφάλλεσθαι· καλῶς δὲ τὴν τρίβον ἐκάλεσεν, ἵνα γνῷς ὡς οὐκ ἔστιν ἀήθης οὐδὲ ξένη· πολλῶν δὲ αὐτῶν ὁδευόντων: δηλαδὴ δικαίων, τέτριπται καὶ δήλη τοῖς μετελθεῖν βουλομένοις καθέστηκεν.

να ἕνας Καθολικὸς Κανὼν εἰς ὅλα τὰ ἄλλα ὅμοια ῥητὰ, ὁποῦ λέγει ὁ Δαβὶδ εἰς τὸν παρόντα Ψαλμόν· Πλὴν ὁ Θεὸς βοηθεῖ, ὄχι εἰς ὅλους, ἀλλὰ εἰς ἐκείνους, ὁποῦ εἶναι ἄξιοι, καὶ εἰς ἐκείνους, ὁποῦ προσπαθοῦνται καὶ αὐτοὶ ἀπὸ λόγου των καὶ κάμνουσιν ἐκεῖνο, ὁποῦ δύνανται. (1)

37: „ Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου „ τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁ- „ δῷ σου ζῆσόν με.

Γύρισαι, λέγει, Κύριε τὰ ὀμμάτιά μου, διὰ νὰ μὴ βλέπουν τὰς ψυχοβλαβεῖς θεωρίας καὶ τὰ μάταια κάλλη. νοεῖ δὲ καὶ τὰ ὀμμάτια τοῦ σώματος, καὶ τὰ ὀμμάτια τῆς ψυχῆς· καὶ ζωοποίησόν με μὲ τὸν νόμον σου· ἐπειδὴ καὶ ὁ θεῖος νόμος προξενεῖ ζωὴν ἀληθινὴν εἰς ἐκείνους, ὁποῦ πολιτεύονται κατ' αὐτόν. ἡ δὲ τοῦ σώματος μόνου ζωὴ προξενεῖ θάνατον. (2)

38: „ Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν „ σου εἰς τὸν φόβον σου.

Στήριξον, λέγει, εἰς ἐμένα τὸν δοῦλόν σου Κύριε, τὸν δεσποτικόν νόμον σου εἰς τὸν φόβον σου: ἤγουν εἰς τὸ νὰ γένῃ αὐτὸς ὁ νόμος σου φοβερὸς εἰς ἐμένα, καὶ φόβον μοι προξενῶν. (3)

39: „ Ἀ-

---

(1) Λέγει δὲ ὁ Χρυσορρήμων καὶ ὁ Θεοδώριτος· „ Ὥσπερ ἐπὶ τὸ πρανὲς πέφυκε φέρεσθαι τῶν ὑδάτων ἡ φύσις· κἂν τινὸς ἐπιλάβηται διεξόδου, ἐκεῖ σε πᾶσα χωρεῖ· οὕτω τοῦ Διαβόλου τὴν ἐπὶ τὴν ἁμαρτίαν ὁδὸν διανοίξαντος, τῶν ἀνθρώπων ἔρρευσεν ἐπὶ τὸ χεῖρον ἡ φύσις· ἔοικέτε οὕτω προσπαθῶς ἔχειν πρὸς πλεονεξίαν, ὡς πολλάκις καὶ τὴν προαίρεσιν αὐτὴν ὑπὸ τοῦ πάθους νικωμένην ἡττᾶσθαι· ὁ Προφήτης τοίνυν ἁρμοδίως ἀντιβολεῖ ἐπὶ τὰ θεῖα μαρτύρια τὴν καρδίαν κλιθῆναι, καὶ τῆς ἐπὶ θάτερα φορᾶς τὴν πεῖραν διαφυγεῖν· καὶ γὰρ ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἔγκειται ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, καθὼς γέγραπται. ὁ δὲ Ὠριγένης λέγει· „ Ἀλλ' ἴσως ἐρεῖ τις· εἰ πάντα ἐπὶ τὸν Θεὸν ἀναφέρεται, ποῦ τὸ ἐφ' ἡμῖν; ἤτοι τὸ αὐτεξούσιον; ἀκουέτω τοίνυν, ὅτι τὸ ἐπὶ τὸν Θεὸν ἀναφέρεσθαι, τὴν ἐκεῖθεν εὐμένειαν ὑπαινίττεται, καὶ τὸ ἄνωθεν δίδοσθαι τὴν ἐπὶ τοῖς κατορθουμένοις εὐόδωσιν· ἐπὶ σοὶ δέ ἐστιν ἡ ὁρμὴ ἡ πρὸς τὸ ἀγαθὸν, καὶ ἡ τῆς μοχθηρίας ἀποστροφή· οὔκουν διὰ τῆς τοιαύτης εὐχῆς τὸ αὐτεξούσιον ἀνῄρηται· ὥστε τὰ ἀπὸ τοῦ Θεοῦ αἰτῶμεν γενέσθαι ἡμῖν, μετὰ τοῦ συνεισφέρειν καὶ τὰ ἐφ' ἡμῖν.

(2) Τὸ, ἐν τῇ ὁδῷ σου ζῆσόν με νοεῖται κατὰ τὸν Χρυσορρήμονα· „ Κατὰ τοὺς σοὺς δός μοι ζῆν καὶ πολιτεύεσθαι νόμους. Ἄλλος δὲ λέγει· „ Ὥσπερ ἡ ἀνθρωπίνη καρδία ἐπιρρεπὴς οὖσα πρὸς πλεονεξίαν, διὰ τὸ νικᾶσθαι ὑπὸ τοῦ πάθους σχεδὸν ἀπόλλυσι τὸ ἐφ' ἡμῖν· οὕτω καὶ ἡ ὅρασις ἡμῶν πολλάκις νικᾶται καὶ συναρπάζεται ὑπὸ τῆς κατὰ τὰ θεωρούμενα ματαιότητος· τὰ γὰρ ἐν σώματι ὡραῖα, καὶ σαρκὸς ὀφθαλμοῖς καλὰ φαινόμενα, ματαιότητα καλεῖ· καθὰ καὶ Σολομὼν εἶπε· „ Καὶ ἰδοὺ πάντα ματαιότης· μάταιον γὰρ κατὰ τὸν Θεοδώριτόν ἐστι, τὸ ἀκερδὲς καὶ ἀνόνητον· τοιαῦτα δὲ τὰ δοκοῦντα τοῦ βίου τερπνά. λέγει δὲ καὶ ὁ Ὠριγένης· „ Ματαιότης ἐστὶν ἡ τῶν μὴ δεόντων θεωρία, καὶ ἡ κατὰ διάνοιαν ἄτοπος φαντασία· ἣν ὁ Παῦλος σαφηνίζει λέγων· „ Ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν ἐσκοτισμένοι τῇ διανοίᾳ ὄντες· ὅρα ματαιότητα νοὸς λεγομένην, ὅταν σχῇ τις νοῦν, καὶ τούτῳ μὴ χρήσηται πρὸς τὴν τῶν ἀληθῶν θεωρίαν, ἀλλὰ παρέχῃ αὐτὸν τῷ δεσμεύοντι Σατανᾷ· τοῦτο τοίνυν εὐχόμενός φησιν· „ Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα· καὶ τοῦτο γὰρ χάριτος Θεοῦ· ταύτην τὴν ματαιότητα τοῦ παρόντος βίου, κατὰ τὸν Ἀνώνυμον, ὁρῶν ὁ Προφήτης ἀπεύχεται, μεμνημένος τῶν πρὸς τὸν Λὼτ ῥηθέντων· „ Μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω· σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.

(3) Κατὰ δὲ τὸν Θεοδώριτον· „ Ἐπειδὴ παιδαγωγοῦ δίκην ἀναγκαῖος ἐν ταῖς ἐντολαῖς ὁ φόβος τοῦ Θεοῦ· τούτου χάριν ἐπιστῆσαι αὐτὸν εὔχεται τὸν Θεόν· καὶ φησίν· ἐπικείσθω μοι ὁ φόβος σου δεδιττόμενος (ἤτοι φοβίζων) καὶ μὴ ἐῶν ἐκτραπῆναι τῶν λογίων σου. ὁ δὲ Σύμμαχος εἶπε· „ Στῆσον τῷ δούλῳ σου τὸ ῥῆμά σου τὸ περὶ τοῦ φόβου σου· κατὰ δὲ τὸν Ἀπολλινάριον· „ Ἵστησιν ὁ Θεὸς τὸ λόγιον αὐτοῦ εἰς τὸν φόβον αὐτοῦ, βεβαιῶν δι' ἀποδείξεων αὐτὸ τοῖς εὐλαβέσιν, ἵνα μηδὲ ἄνευ λόγου φόβον, μηδὲ ἄνευ φόβου λόγον ἔχωσιν· ὥσπερ γάρ τινες εἰσὶν ἔχοντες ζῆλον, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· οὕτως εἰσί τινες ἔχοντες φόβον Θεοῦ, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. κατὰ δὲ τὸν Εὐσέβιον· „ Στηριχθῆναι ἑαυτὸν τῷ φόβῳ τοῦ Θεοῦ προσεύχεται· ἱκανὸν γὰρ εἰς νόμου φυλακὴν ὁ φόβος ὁ τοῦ προστάξαντος.

39 : „ Περίελε τὸν ὀνειδισμόν μου , ὃν ὑ-
„ πώπτευσα , ὅτι τὰ κρίματά σου
„ χρηστά .

Σήκωσαι , λέγει , Κύριε , ἀπὸ τὴν ψυχήν μου τὸν ὀνειδισμὸν ἐκεῖνον , ὅστις ἐπροξενήθη εἰς ἐμένα , ἀπὸ την ἁμαρτίαν ὁποῦ ἔπραξα . τοῦτον γὰρ τον ὀνειδισμὸν φοβοῦμαι καὶ ὑποπτεύω , ὅτι ἔχουν νὰ μοι προσφέρουν οἱ Δαίμονες ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως · ἢ τὸν ὀνειδισμὸν , τὸν ὁποῖον ἀπὸ τὴν ταλαιπωρίαν ὁποῦ πάσχω , ὑποπτεύω, ὅτι ἔχουν νὰ μοι λέγουν οἱ ἐχθροὶ καὶ ἐπίβουλοί μου. διατὶ κρίνεις δίκαια , καὶ ἠξεύρεις , ὅτι ἐγὼ μετενόησα διὰ τὴν ἁμαρτίαν μου ἐκείνην , καὶ ὅτι εἰς ἐσένα ἤλπισα , καὶ ὅλον διόλου ἀφιέρωσα εἰς ἐσένα τὸν ἑαυτόν μου . (1)

40 : „ Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου,
„ ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με .

Πεινῶ ,λέγει , καὶ διψῶ τὰς ἐντολάς σου Κύριε . ὅθεν ζωοποίησόν με μὲ τὴν δικαιοσύνην σου · ὅμοιον δὲ εἶναι τοῦτο με τὸ ἀνωτέρω , ὁποῦ εἶπέν ἐν τῇ ὁδῷ σου ζῆσόν με . (2)

41 : „ Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύ-
„ ριε, το σωτήριόν σου κατὰ τὸν λό-
„ γον σου .

Ἄμποτε , λέγει , νὰ ἔλθῃ εἰς ἐμένα τὸ ἔλεος καὶ ἡ σωτηρία σου Κύριε . τέλος γὰρ τοῦ ἐλέους εἶναι ἡ σωτηρία , κατὰ τὸν Θεόδωρον . ἄμποτε δὲ νὰ ἔλθῃ κατὰ τὸν λόγον καὶ ὑπόσχεσίν σου . σὺ γὰρ ὑπεσχέθης εἰς τὸν νόμον σου , νὰ ἔλθῃς καὶ νὰ διασώσῃς ἐκείνους , ὁποῦ φυλάττουν τὰς ἐντολάς σου „ Ποιῶν γάρ φησι ; ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με καὶ φυλάττουσι τὰ προστάγματά μου . (Ἐξ . κ . 6) (3)

42 : „ Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζου-
„ σί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς
„ λόγοις σου .

Εἰς ἐκείνους , λέγει , ὁποῦ μὲ ὀνειδίζουν πῶς κακοπαθῶ διὰ τὴν ἀρετὴν , καὶ διὰ τὴν φύλαξιν τῶν

---

(1) Λέγει δὲ ὁ Ἡσύχιος · „ Ὀνειδισμὸν τὸν ὑπὸ τῶν ἁμαρτωλῶν ὑποπτεύει πᾶς δίκαιος , ὅνπερ αὐτοὺς ὀνειδίζειν , ὅταν τι καὶ μικρὸν ἀποσφαλῶσι τῆς ἀρετῆς , εἰώθασιν · ἀλλ' ὁ Θεὸς κρίμασι χρηστοῖς καὶ φιλανθρώποις χρώμενος , οὐ περιορᾷ τὸν ὀνειδισμὸν αὐτῶν · περιαιρεῖ δὲ διορθούμενος , εἴτε καὶ μικρὸν ἀποσφαλέντες τύχωσι . καὶ ὁ Ἀνώνυμος · „ Ὅταν φησιν , ὀνειδίζωμαι διὰ τὸν Χριστὸν , ἐκεῖνος ὁ ὀνειδισμὸς οὐκ ἔστιν ἐμὸς , ἀλλὰ τοῦ Χριστοῦ · ὅταν δὲ ὀνειδίζωμαι διὰ τὰς ἐμὰς ἁμαρτίας , ὀφείλω λέγειν · περίελε τὸν ὀνειδισμόν μου ἀπ' ἐμοῦ ὃν ὑπώπτευσα · οὐκ εἶπε δὲ , ὅτι τὰ κρίματά σου ἐφύλαξα (οὐ γὰρ ἐφύλαξεν ἁμαρτήσας · διὸ καὶ ὠνειδίζετο) ἀλλ' ὅτι τὰ κρίματά σου χρηστά · (λέγει ὁ Θεοδώριτος) οὐ μόνον γὰρ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖς τιμωρίαν , ἀλλὰ καὶ τοῖς μεταμελομένοις ὑπισχνῇ σωτηρίαν · κρίματα γὰρ τὰς τοῦ Θεοῦ δικαίας ψήφους καλεῖ .

(2) Λέγει δὲ ὁ Θεόδωρος · „ Ἐπεὶ ἐπεθύμησά φησι τὰς ἐντολάς σου , διὰ τοῦτο ζωοποίησόν με κατὰ τὴν σὴν δικαιοσύνην , καὶ ἄμειψαί με , μὴ μόνον ποιήσαντά σου τὰς ἐντολὰς , ἀλλὰ καὶ ἐρωτικῶς πρὸς αὐτὰς διατεθέντα · διὸ οὐκ ἄλλου χάριν , ἀλλ' αὐτῶν ἕνεκα ἐπιτελῶν αὐτὰς εἰμί : ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με : τουτέστι παράσχου μοι τὸ ζῆσαι κατ' ἀρετήν · ἢ τὸ ἐν Χριστῷ ζωοποιηθῆναι · ζωοποιεῖ γὰρ ἡμᾶς διὰ τῆς ἰδίας δικαιοσύνης ὁ Θεὸς καὶ Πατήρ · ἔστι δὲ αὕτη Χριστός .

(3) Ὁ δὲ Χρυσόστομος καὶ ὁ Θεοδώριτος λέγουσι · „ Πάντες ἐνδεεῖς τῆς θείας φιλανθρωπίας · καὶ ὁ αὐτὴν κατειληφὼς τὴν ἀκροτάτην τῆς ἀρετῆς κορυφὴν , ταύτης δεῖται διηνεκῶς · ἐπεὶ καὶ οἱ ἁμαρτάνοντες καὶ οἱ τὸν βίον κατωρθωκότες χρῄζομεν τοῦ ἐλέους τοῦ Θεοῦ . ἔφη δὲ καὶ ὁ Θεόδωρος · „ Ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου κατὰ τὸν λόγον σου, καὶ μετὰ τὸ ἔλεός σου τὸ σωτήριόν σου · ἵνα ὑπ' αὐτοῦ ἐλεηθεὶς σωθῶ · τέλος γὰρ τοῦ ἀπὸ Κυρίου ἐλέους ἡ παρ' αὐ-

τῶν ἐντολῶν σου, τοῦτον τὸν λόγον θέλω ἀποκριθῶ: ἤγουν, ὅτι ἐγὼ ἤλπισα εἰς τὰ λόγια τοῦ Θεοῦ. διατὶ ὁ Θεὸς ὑπόσχεται, ὅτι ἔχει νὰ δώσῃ πολλὰ ἀγαθὰ εἰς ἐκείνους, ὁποῦ φυλάττουν τὰς ἐντολάς του· διὰ τοῦτο λοιπὸν κακοπαθῶ καὶ ταλαιπωροῦμαι. καὶ διὰ τοῦτο φυλάττω τὰς ἐντολάς του, διατὶ τρέφομαι μὲ τοιαύτας καλὰς ἐλπίδας. (1)

43: „ Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός „ μου λόγον ἀληθείας ἕως σφόδρα „ ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Μὴ σιωπήσῃς, λέγει, Κύριε, ἀπὸ λόγου μου τὸ προφητικὸν χάρισμα εἰς πολὺ διάστημα καιροῦ· ἀλλὰ ἂν καὶ κατ᾽ οἰκονομίαν αὐτὸ ἐμποδισθῇ πρὸς καιρὸν, πάλιν ἂς ἀποκατασταθῇ εἰς ἐμὲ. ἢ λέγει, ὅτι μὴ παραχωρήσῃς Κύριε, νὰ σηκωθῇ ἀπὸ τὸ στόμα μου ἡ ἀλήθεια. διατὶ ἐνδεχόμενον εἶναι να εἰπῶ ψεύματα καμμίαν φορὰν ὡς ἄνθρωπος. ἢ μὴ σηκώσῃς τὸ ἀληθεύειν ἀπὸ ἐμένα ἐπὶ πολύ: ἤτοι μηδέποτε. διατὶ ἐγὼ ἤλπισα πολλὰ εἰς τὸν νόμον σου θαῤῥῶντας, ὅτι θέλει διαφυλαχθῇ εἰς ἐμένα τὸ χάρισμα τῆς ἀληθείας, ἐὰν καὶ ἐγὼ τοῦτο φυλάττω. (2)

44: „ Καὶ φυλάξω τὸν νόμον σου διαπαν„ τὸς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶ„ να τοῦ αἰῶνος.

Διὰ παντὸς, λέγει: ἤγουν εἰς κάθε πρᾶγμα θέλω φυλάξω τὸν νόμον σου Κύριε. τὸ δὲ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, εἶναι αὔξησις καὶ ἐπίτασις τοῦ ἀεὶ καὶ πάντοτε. ἢ αὐτὰ ὁμοῦ ὅλα σημαίνουσι τὸ πάντοτε, ὥστε ὁποῦ τὸ, διαπαντὸς εἶναι ἀντὶ τοῦ πάντοτε. τὰ δὲ ἀκόλουθα: ἤγουν τὸ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, εἶναι ἐξήγησις τοῦ πάντοτε. ἢ λέγει, ὅτι ἐγὼ θέλω φυλάξω τὸν νόμον σου, ὄχι μόνον εἰς τὴν παροῦσαν ζωὴν, ἀλλὰ καὶ εἰς τὴν μέλλουσαν, ἥτις εἶναι αἰὼν τοῦ αἰῶνος τούτου, καθὸ τιμιωτέρα τῆς παρούσης ζωῆς· μὲ τὰ λόγια δὲ ταῦτα φανερώνει ὁ Δαβὶδ τὴν πολλὴν προθυμίαν, ὁποῦ ἔχει εἰς τὸ νὰ φυλάξῃ τὸν νόμον τοῦ Θεοῦ. (3)

45: „ Καὶ

αὐτοῦ σωτηρία· διὸ καλῶς οὐ πρῶτον τὸ σωτήριον τοῦ Θεοῦ εὔχεται, εἶτα τὸ ἔλεος· ἀλλ᾽ ἀνάπαλιν· οὐ τοσοῦτόν φησι, διὰ τὰ εἰργασμένα ἔργα, ὅσον διὰ τὸ σὸν ἔλεος καὶ χάριν σώζομαι.

(1) Ὁ δὲ Χρυσορρήμων σὺν τῷ Θεοδωρίτῳ λέγει· „ Ὁ ἐν συμφοραῖς ὢν, φέρει τὰ ὀνείδη σιγῶν· ὁ δὲ τὸν θυμήρη βιωτεύων βίον, διελέγχει τοὺς κακοὺς· εἰ οὖν τοῦ σοῦ ἐλέους τύχω, φησι, τοῦτο δὲ τὸ ἔλεος διὰ τοῦ σωτηρίου σου γενήσεταί μοι, παῤῥησίαν ἕξω πρὸς τοὺς ἐπανισταμένους καὶ ὀνειδίζοντας· ἔφη δὲ καὶ ὁ Ἀνώνυμος· „ Ἐὰν ἔλθῃ ἐπ᾽ ἐμὲ φησιν, ὁ ἔλεος καὶ τὸ σωτήριόν σου, εὐπορήσω λόγου, ὥστε τοῖς ὀνειδίζουσί με ἔχειν ἀποκρίνεσθαι· ὅτι οὐκ ἄξιόν ἐστιν ὀνειδίζεσθαι τὸν τοιαῦτα δόγματα ἔχοντα, ἅτινα γελῶσι μὲν οἱ τῆς πίστεως ἀλλότριοι ὡς μωρὰ, συνέσεως δὲ ἀποδείξω αὐτὰ καὶ σοφίας πεπληρωμένα.

(2) Ἄλλος δὲ λέγει παρὰ τῷ Νικήτᾳ· „ Θεοῦ βοηθοῦ χρεία εἰς τὸ ἕως σφόδρα: τουτέστιν εἰς τὸ ἀκριβῶς καὶ μέχρις ἐσχάτης ἀναπνοῆς φυλάττεσθαι ἡμῖν τὴν ἀλήθειαν, καὶ μὴ ἐπαμφοτερίζειν ἡμῶν τὸ στόμα, ποτὲ μὲν ἀληθεῦον, ποτὲ δὲ ψευδόμενον· τίμιον γὰρ ἡ ἀλήθεια κατὰ τὸν Χρυσόστομον, ὥστε καὶ αὐτὸς ὁ Χριστὸς ἔφη· „ Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή· (Ἰωάν. ιδ΄. 6.) ὅρα καὶ τὴν ἑρμηνείαν καὶ ὑποσημείωσιν τοῦ· „ Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ· ἐν τῷ ν΄. Ψαλμῷ. Καὶ ὁ Δίδυμος δὲ λέγει· „ Λόγον ἀληθείας τὸ κήρυγμα τῆς εὐσεβείας νόησον, ὅπερ ἐστιν, ὅτε πρὸς μικρὸν, σφάλματος ἕνεκά τινος ὡς ἀνθρώποις συμβάντος, σιωπῶσιν οἱ Δίκαιοι, καὶ τὸ χάρισμα τὸ ἐν αὐτοῖς τῆς προφητείας πρὸς βραχὺ κωλύεται· ἀλλ᾽ ἐὰν ἐπελπίσωσιν ἐπὶ τὰ κρίματα τοῦ Θεοῦ, τοὺς ἡμαρτηκότας διὰ μετανοίας προσδέχεται: τουτέστιν οὐκ εἰς τὸ παντελὲς ὑπομένουσι τῆς δωρεᾶς τὴν ἀφαίρεσιν· ἀναλαμβάνουσι δὲ, ἐπανελθόντες εἰς ἑαυτοὺς καὶ νήψαντες.

(3) Ὅθεν ὁ Ἀθανάσιος εἶπε· „ Φύλαξ, φησιν, ἔσομαι τοῦ νόμου σου, οὐ ποτὲ μὲν κατορθῶν, ποτὲ δὲ οὔ, ἀλλὰ καὶ ἐν τῇ παρούσῃ ζωῇ, καὶ ἐν τῇ μελλούσῃ τοῦτον κατορθώσω· ἐν ἐκείνῃ γὰρ, κατὰ τὸν Θεοδώρητον, καθαρὰ καὶ ἀκραιφνὴς δοθήσεται ἅπασι τῶν θείων νόμων ἡ φυλακή.

45: „ Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅ„ τι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἐγὼ, λέγει, εὐοδούμην, καὶ εἰς ὅλας τὰς ὑποθέσεις μου εὐδοκίμουν, καὶ εὕρισκον πλατυσμὸν καὶ εὐκολίαν, διατὶ ἠγάπησα τὰς ἐντολάς σου· ἢ καὶ θλιβόμενος ἀπὸ πειρασμοὺς, δὲν ἐστενοχωρούμην ἐπειδὴ ἡ καλὴ μαρτυρία τῆς συνειδήσεώς μου, ἥτις ἔνδοθεν βεβαιοῖ, ὅτι ἐζήτησα καὶ ἠγάπησα τὰς ἐντολάς σου, αὐτὴ, λέγω, μὲ ἐπλάτυνεν εἰς τὴν θλίψιν μου. συνειδὸς γὰρ ἀγαθὸν παρηγορεῖ τὸν ἔχοντα. (1)

46: „ Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις „ σου ἐναντίον βασιλέων, καὶ οὐκ „ ἠσχυνόμην.

Ἐγὼ, λέγει, ἐλάλουν τὸν νόμον σου ἔμπροσθεν εἰς τοὺς βασιλεῖς, καὶ εὐδοκίμουν, καὶ ἐλάμβανον παῤῥησίαν εἰς τὰς ἐντολάς σου, χωρὶς νὰ συστέλλωμαι καὶ νὰ φοβοῦμαι δόξαν καὶ δυναστείαν ἀρχόντων. ἁρμόζει δὲ τὸ ῥητὸν τοῦτο εἰς τοὺς Μάρτυρας τοῦ Χριστοῦ κατὰ τὸν Εὐσέβιον, τοὺς ἐπὶ Ἡγεμόνας καὶ βασιλεῖς ἀγομένους ἕνεκεν τοῦ ὀνόματος τοῦ Χριστοῦ (2)

47: „ Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, „ ἃς ἠγάπησα σφόδρα.

48: „ Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς „ ἐντολάς σου, ἃς ἠγάπησα· καὶ ἠ„ δολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Ἐμελέτων, λέγει, εἰς τὰς ἐντολάς σου Κύριε, ἀναγινώσκων αὐτάς· διατὶ πολλὰ τὰς ἠγάπησεν ἡ ψυχή μου. ἐσήκωσα δὲ καὶ τὰς χεῖράς μου εἰς τὰς ἐντολάς σου: πράττων δηλαδὴ ταύτας, καὶ διὰ τῶν ἔργων πληρώνοντας· πράξεως γὰρ εἶναι αἱ χεῖρες σύμβολον· ἐκ τῆς πρὸς τὰς ἐντολάς σου δὲ ἀγάπης παρακινούμενος, συνεχῶς καὶ ἐπιμόνως ἐμελέτων εἰς αὐτάς. τοῦτο γὰρ δηλοῖ τὸ, ἠδολέσχουν, ὡς εἴπομεν ἀνωτέρω. (3)

49: „ Μνή

(1) Λέγει δὲ ὁ Ὠριγένης· „ Ἡ πρὸς Θεὸν ἀγάπη ταῖς ψυχαῖς τῶν ἀνθρώπων εὐρυχωρίαν ἐργάζεται· ἡ ἀγάπη γὰρ οὐ στενοχωρεῖται· ἡ ἀγάπη δὲ ἡ πρὸς τὸν Θεὸν, ἡ τῶν ἐντολῶν τοῦ Θεοῦ ἐστι ζήτησις καὶ κατόρθωσις. ἔφη γὰρ ὁ Κύριος· „ Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· ὥστε δικαίως ὁ τὰς ἐντολὰς τοῦ Θεοῦ ζητῶν ἐν πλατυσμῷ πορεύεται: τουτέστιν ἐν εὐρυχωρίᾳ πολιτεύεται· ἐπειδὴ ὁ ἀγαπῶν τὸν Κύριον, πάντα στέγει· πάντα ὑπομένει· καὶ οὐδεμίαν εἰκότως στενοχωρίαν ὑφίσταται.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Ἡ ἔννομος ζωὴ παῤῥησίας δημιουργός· τοιοῦτος γέγονεν ὁ Παῦλος· τοιοῦτος ὁ Πέτρος· τοιοῦτος ὁ τῶν ἁγίων Ἀποστόλων χορός· οὕτως οἱ Καλλίνικοι Μάρτυρες τῶν δυσσεβῶν βασιλέων κατεφρόνησαν· τὰ αὐτὰ λέγει καὶ ὁ Θεοδώριτος, προσθεὶς καὶ τοῦτο, ὅτι, τούτου μάρτυς ὁ μέγας Δαβὶδ (τοῦ, ὅτι ἡ ἔννομος ζωὴ παῤῥησίας δημιουργός) πρὸ μὲν γὰρ τῆς ἁμαρτίας μετὰ πολλῆς τῷ Σαοὺλ διαλέγεται παῤῥησίας· μετὰ δὲ τὴν ἁμαρτίαν, τὸν πατραλοίαν ἀποδιδράσκων, κύπτων εἰς γῆν, καὶ τὴν κεφαλὴν καλύπτων ἐβάδιζε. λέγει δὲ ὁ Δίδυμος· „ Χρὴ τὸν τὰ τοῦ Θεοῦ λόγια διὰ στόματος προφέροντα, μαρτυρικὸν ἔχειν τὸν νοῦν καὶ πρὸς τὸ παθεῖν ἑτοιμότατον· μαρτύρια γὰρ ὁ Προφήτης διὰ τοῦτο τοὺς θείους λόγους ὠνόμασε· προστίθησι δὲ ὁ Ἀνώνυμος, καὶ διατὶ πρέπει μὲ παῤῥησίαν νὰ λαλοῦμεν ἔμπροσθεν εἰς τοὺς βασιλεῖς τὰ μαρτύρια τοῦ Θεοῦ, ἐπειδή, φησι, μείζων παντὸς βασιλέως, μᾶλλον δὲ βασιλεὺς βασιλέων ὁ λαλῶν ἐν ἡμῖν ἐστιν, ὅταν τὰ τοῦ Θεοῦ λαλῶμεν· οὐ γὰρ αἰσχύνης ἄξιον συμβαίνει ἡμῖν, ὅταν ἄξιοι τοῦ λαλοῦντος ἐν ἡμῖν ὄντως ὦμεν, ὥστε, μὴ μόνον ἀπὸ τῶν λόγων, ἀλλὰ καὶ ἀπὸ τῶν ἔργων τῶν ἐν ἡμῖν λαλούντων, γνωρίζεσθαι.

(3) Ἔφη δὲ ὁ Χρυσόστομος σὺν τῷ Θεοδωρίτῳ· „ Οὐκ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει· διά τοι τοῦτο καὶ ὁ θεῖος Προφήτης τῇ μελέτῃ τὴν πρᾶξιν προσέθηκεν· εἰρηκὼς γάρ· „ Ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου

δὲ

49 : „ Μνήσθητι τῶν λόγων σου τῷ δού„ λῳ σου, ᾧ ἐπήλπισας με.

Διὰ χάριν, λέγει, ἐμοῦ τοῦ δούλου σου ἐνθυμήσου Κύριε, τὸν λόγον σου, ἐπάνω εἰς τὸν ὁποῖον με ἔκαμες νὰ ἐλπίζω. ποῖος δὲ εἶναι ὁ λόγος οὗτος; ὅτι θέλεις δηλαδὴ ἐλεήσεις καὶ σώσεις ἐκείνους, ὁποῦ φυλάσσουσι τὰ προστάγματά σου. „ Ποιῶν γὰρ φησιν, ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσι με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου. (Ἐξ. κ. 6.) Θεοπρεπῶς δὲ πρέπει νὰ νοοῦμεν ἐπὶ τοῦ Θεοῦ τὸ, μνήσθητι, ἀντὶ τοῦ, τελείωσον, καὶ εἰς ἔκβασιν φέρε τὸν λόγον σου τοῦτον. (1)

50 : „ Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπει„ νώσει μου, ὅτι τὸ λογιόν σου ἔζη„ σέ με.

Αὕτη. ποία; ἡ ἐλπὶς δηλαδὴ, ὅτι ἔχεις νὰ κάμῃς εἰς ἐμὲ ἔλεος. αὐτὴ, λέγει, μὲ ἐπαρηγόρησε, καὶ αὐτὴ μὲ ἐμψύχωσεν εἰς τὴν ταπείνωσιν: ἤτοι εἰς τὴν κακοπάθειαν καὶ ταλαιπωρίαν, ὁποῦ ἔλαβον ἀπὸ τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις, καὶ ὁ λόγος ὁποῦ εἶπον ἀνωτέρω, ὅτι θέλεις ἐλεήσεις τοὺς φυλάσσοντας τὰ προστάγματά σου, αὐτὸς ἐζωοποίησεν ἐμένα, ὅστις σχεδὸν ἐνεκρώθηκα ἀπὸ τὴν ὑπερβολὴν τῶν θλίψεων. (2)

51 : „ Ὑπερήφανοι παρηνόμουν ἕως σφό„ δρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ „ ἐξέκλινα.

Οἱ μὲν ὑπερήφανοι, λέγει, παρέβαινον τὸν νόμον σου εἰς πολὺ διάστημα καιροῦ. ἐγὼ ὅμως δὲν ἠκολούθησα εἰς τὴν κακίαν καὶ παρανομίαν τους. ἢ οἱ ὑπερήφανοι ἔκαμναν παρανομίαν, διατὶ ἐπεριγέλουν ἐμένα, πῶς μελετῶ πάντοτε τὸν θεῖον νόμον σου. (3) Ἐγὼ ὅμως δὲν ἄφηκα τὴν μελέτην τοῦ νόμου σου διὰ τὰ ἐκείνων περιγελάσματα. ὑπερηφάνους δὲ ὀνο-

---

ἃς ἠγάπησα σφόδρα, ϗ τὸν θερμὸν ἐπιδείξας πόθον ἐπήγαγε· ϗ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου. ἃ γὰρ διὰ τῶν θείων λόγων ἐδιδασκόμην, ταῦτα διὰ τῶν ἔργων μετῄειν. λέγει δὲ ϗ ὁ Ὠριγένης· „ Τέλος τῶν ἐντολῶν τοῦ Θεοῦ τῆς μελέτης ἐστὶν, ἡ κατὰ τὰς ἐντολὰς ἐνέργεια ϗ πρᾶξις· διὸ καλῶς προστετάχθαι φαίνεται τό· „ Ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ϗ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα· μετὰ γὰρ τὴν μελέτην ϗ ἀνάληψιν τοῦ τῶν ἐντολῶν λόγου, καλὸν τὸ ἐπᾶραι τὰς χεῖρας ἐπὶ τὰς κατὰ τὰς ἐντολὰς πράξεις, δίχα τοῦ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης τὸ ἔργον ἀποδιδόναι τῶν ἐντολῶν· ἀλλ' ἐξ ἀγάπης ϗ προθυμίας. ϗ ὁ Θεόδωρος· „ Μελέτη τῶν ἐντολῶν τοῦ Θεοῦ ἐστιν, οὐ μόνον ἡ ἀνάγνωσις, ἀλλὰ ϗ ἡ κατόρθωσις· ὁ γὰρ ἀγαπῶν τι, πάντως αὐτὸ ϗ πληροῖ· εἰδὲ ϗ σφόδρα ἀγαπᾷ, (ὡς ὁ Δαβὶδ ἐνταῦθά φησιν) οὐδὲν ὀκνεῖ παθεῖν ὑπὲρ τοῦ βεβαίως ἔχειν, ὅπερ ἀγαπᾷ. ἔφη δὲ ϗ ὁ Ἀθανάσιος· „ Χεῖρας ἐνταῦθα τὰς πρακτικὰς ἐνεργείας φησίν· ἠδολέσχουν δέ: ἤτοι ἐπιπλέον ὡμίλουν τὰ περὶ τῶν δικαιωμάτων σου.

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Νομοθετῶν ὁ Θεὸς, ϗ τοῖς φυλάττουσι τὸν νόμον τὴν οἰκείαν εὐμένειαν ἐπηγγείλατο, ϗ τοῖς παραβάταις τὴν τιμωρίαν, μνησθῆναι τοίνυν τὸν Θ ὸν τῶν οἰκείων ὑποσχέσεων ἱκετεύει. ὁ δὲ Ὠριγένης λέγει· „ Καὶ ποῖος λόγος ἐστὶν, οὗ μνησθῆναι αὐτὸν ἀξιοῖ· ἢ τὸ εἶναι μετ' αὐτῶν, καθ' ἣν δέδωκεν αὐτοῖς ἐπαγγελίαν, ἥτις ϗ παράκλησις αὐτοῖς ἐν τοῖς διωγμοῖς ἐγένετο. λέγει δὲ τό· „ Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.

(2) Λέγει δὲ ὁ Ἀνώνυμος, „ Οὐδὲν ἄλλο ποιεῖ ζῆν λογικὴν ψυχὴν τὴν ἑαυτῆς οἰκείαν ζωὴν, ὡς τὸ λόγιον τοῦ Θεοῦ ϗ νοούμενον ϗ παραλαμβανόμενον εἰς τὴν τοῦ ἀνθρώπου ψυχήν· κατὰ τοῦτο γὰρ αὔξεται ϗ τὰ τῆς ζωῆς. ϗ ὁ Ὠριγένης· „ Μόνον, φησὶν, ἱκανόν ἐστιν ἡμᾶς ἐν ταῖς κακώσεσι παραμυθεῖσθαι, τὸ ζωῆς ἀληθινῆς ἐπαγγελίαν ἔχειν· εἰ γὰρ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν· ζωὴ δὲ ἡ μέλλουσά ἐστιν ἡ ἀναζώωσις τῆς ψυχῆς.

(3) Κατὰ δὲ τὸν Χρυσόστομον ϗ Θεοδώριτον. „ Ὑπερηφάνους καλεῖ τὸν Σαοὺλ, τὸν Ἀβεσσαλὼμ, τὸν τῶν Ἀμανιτῶν βασιλέα, τὸν τὰ παράνομα ἐκεῖνα εἰς τοὺς ἀποσταλέντας παρ' αὐτοῦ πεποιηκότα. ὅθεν εἶπεν ὁ Εὐσέβιος· „ Μήτηρ παρανομίας ὑπερηφανία.

νεμάζει τοὺς καταφρονητὰς καὶ παραβάτας τοῦ θείου νόμου. ἐπειδὴ τοιοῦτοι παραβάται εἶναι οἱ ὑπερήφανοι. (1)

52: „ Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' „ αἰῶνος Κύριε καὶ παρεκλήθην.

Ἐνθυμήθηκα, λέγει, Κύριε, τὰς δικαίας σου κρίσεις, ὁποῦ ἀπ' ἀρχῆς μεταχειρίζεσαι. καὶ τοὺς μὲν διὰ τὴν ἀρετὴν κακοπαθοῦντας, τιμᾷς καὶ δοξάζεις. τοὺς δὲ εὐτυχοῦντας διὰ τὴν κακίαν τους, ἀτιμάζεις· καὶ ἐκ ταύτης τῆς ἐνθυμήσεως ἐπαρηγορήθηκα εἰς τὰς θλίψεις καὶ κακοπαθείας μου. (2)

53: „ Ἀθυμία κατέσχεμε ἀπὸ ἁμαρτω- „ λῶν τῶν ἐγκαταλιμπανόντων τὸν „ νόμον σου.

Ἐγώ, λέγει, Κύριε, ἐλυπήθηκα διὰ τοὺς ἁμαρτωλούς. ἕνα μὲν, θυμονόμενος ἐναντίον τους, διατὶ καταφρονοῦσι τὸν νόμον σου, καὶ ἄλλο δὲ, διατὶ αὐτοὶ μὲ τὴν καταφρόνησιν τοῦ νόμου σου ἀπολλύονται καὶ κολάζονται. (3)

54: „ Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου „ ἐν τόπῳ παροικίας μου.

Τὰ προςάγματά σου, λέγει, Κύριε, ἐψάλλοντο ἀπὸ λόγου μου: ἤγουν ἐμελετῶντο εἰς κάθε τόπον, ὅπου καὶ ἂν εὑρισκόμην, ἢ καὶ ἄλλως τὰ προςάγματά σου Κύριε, ἦτον κοντὰ εἰς ἐμένα ἐν Ψαλμοῖς, ἢ Ψαλμοὺς αὐτὰ ἐποίουν, καὶ ψάλλων ταῦτα εὐφραινόμην. (4)

55: „ Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός „ σου Κύριε, καὶ ἐφύλαξα τὸν νό- „ μον σου.

Ἐγ

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ταῦτα εἴποιεν ἂν ϗ οἱ Καλλίνικοι Μάρτυρες ὑπὸ τῶν ἀνθρώπων ϗ δυσσεβῶν τυράννων τὰ δεινὰ ἐκεῖνα ϗ χαλεπὰ πεπονθότες. ὁ δὲ Θεόδωρος· „ Τῶν ὑπερηφάνων παρανομούντων οὐχ ἁπλῶς, ἀλλὰ ϗ σφόδρα, ἐγὼ οὐδὲ κατὰ τὸ τυχὸν ἐξέκλινα ἀπὸ τοῦ νόμου σου· ἀλλ' ἐν αὐτῷ ἐπολιτευσάμην τηρῶν τὸ ἡγεμονικόν μου· ἵνα μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ μου ἀνόμημα· ὁ δὲ Ἀνώνυμος, παρανομίαν ἕως σφόδρα: τουτέστιν ὑπερβάλλουσαν, λέγει, τὸ μὴ μόνον τινα παραβαίνειν τὸν νόμον, ἀλλὰ ϗ τοὺς ἄλλους ἐρεθίζειν ϗ ἐν τῷ σκώπτειν ϗ χλευάζειν τοὺς ζῶντας κατὰ τὸν νόμον, ὁ Προφήτης ἀναγκαίως εἰρηκεν.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ἔλαβόν, φησιν, εἰς νοῦν, τὰ κατὰ τὸν Ἄβελ, τὰ κατὰ τὸν Ἀβραάμ, τὰ κατὰ τὸν Ἰσαάκ, τὰ κατὰ τὸν Ἰακὼβ, τὰ κατὰ τὸν Ἰωσὴφ, τὰ κατὰ τὸν Ἰὼβ, τὰ κατὰ τὸν Μωϋσῆν, ὅπως ϗ ποικίλοις συνεχωρήθησαν περιπεσεῖν πειρασμοῖς, ϗ περιφανεῖς ὕστερον ϗ περιβλέπτους ἀπέφηνας· ϗ ψυχαγωγίαν ἐντεῦθεν ἀποχρῶσαν ἐπορισάμην.

(3) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Καιρὸς ἀθυμίας, οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ' ὅταν δράσωμεν κακῶς· ϗ ὥσπερ τὰ φάρμακα, ὅταν μὴ καταλλήλως, ἀλλ' ἑτέροις ἀνθ' ἑτέρων ἐπιτεθῇ πάθεσι, μᾶλλον ϗ ἐπέτριψεν, οὕτω ϗ ἡ ἀθυμία, καθαρτήριον οὖσα τῆς πονηρίας, τὴν ἀθλοῦσαν ϗ μεμεριμνημένην ψυχὴν ἔβλαψεν, ἀσθενεστέραν ἐργασαμένη. λέγει δὲ ὁ Θεοδώριτος· „ Ἐγὼ μὲν κακῶς πάσχων, τῇ μνήμῃ τῶν σῶν ἐψυχαγωγούμην κριμάτων· ἠνιώμην δὲ ὅμως ϗ διετέλουν ἀσχάλλων, πολλοὺς ὁρῶν ἀδεῶς τοὺς σοὺς παραβαίνοντας νόμους· ϗ ὁ Δίδιμος· „ Εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· ὅθεν ϗ ἐπὶ τοῖς ἀδελφοῖς ἡμῶν λυπεῖσθαι καθήκει, ὅτι τοιοῦτοί εἰσι· ϗ οὕτω διακεῖσθαι κατὰ τὸν ἅγιον τοῦτον· τῷ μὲν γὰρ ἁμαρτωλῷ, γελοῖον ἦθος ἡ θεοσέβεια, κατὰ τὸν Ἀνώνυμον· τῷ δὲ θεοσεβεῖ, φρικτὸν ἡ παρανομία· διότι προορᾷ τὸ φοβερὸν τῆς τιμωρίας.

(4) Λέγει δὲ ὁ Ὠριγένης· „ Τόπον παροικίας τὸν παρόντα βίον φησί· ψάλλων οὖν τὰ δικαιώματά σου, εὐφραινόμην· ϗ τοῦτο μόνον ἀγαθὸν, κατὰ τὸν Θεόδωρον, ἡγησάμην ἐν τῇ ξένῃ ϗ ἀλλοτρίᾳ κατοικήσει, ϗ μηδὲν ἀγαθὸν ἔχειν ἀληθὲς δυναμένη· διότι τῷ ξένῳ, τὰ οἴκοι ποθεινά· ϗ πρὸ τῆς εἰς ταῦτα ἐπανόδου, πάντα λυπηρά·

Ἐνθυμήθηκα, λέγει, Κύριε, τὸ ὄνομά σου εἰς τὸν καιρὸν τῆς νυκτός. τότε γὰρ οἱ Δαίμονες, ἐπειδὴ περισσότερον ἐνοχλοῦσι τὴν ψυχὴν ἀπὸ τοὺς λογισμοὺς τῆς σαρκικῆς ἀκαθαρσίας κατὰ τὸν Δίδυμον. διὰ τοῦτο ἐγὼ ἐνθυμούμενος ἐσένα, ἐσωφρόνουν ἐξ αἰτίας τοῦ φόβου σου. ἢ σὲ ἐνθυμήθηκα, λέγει, Κύριε, εἰς τὴν νύκτα τῶν παθῶν, ὅταν ἀπὸ αὐτὰ ἐσκοτίζετο ὁ λογισμός μου. (1)

56: „ Αὕτη ἐγεννήθη μοι, ὅτι τὰ δικαιώ„ ματά σου ἐξεζήτησα.

Αὕτη, λέγει, ἡ μνήμη, ἣν ἐμνήσθην ἐν νυκτὶ, κατὰ τὸν Θεόδωρον. συνειθίζει γὰρ ὁ Δαβὶδ πολλαῖς φοραῖς νὰ μεταλαμβάνῃ τὸ ῥῆμα εἰς τὸ ὄνομα τὸ σύστοιχον, καθὼς ἐδῶ τὸ ἐμνήσθην ῥῆμα, μετέβαλεν εἰς ὄνομα σύστοιχον, καὶ εἶπεν, αὕτη ἡ μνήμη· καθὼς καὶ ἐν τῷ 49 στίχῳ εἶπεν. „ Ὧν ἐπήλπισάς με. αὕτη με (ἡ ἐλπὶς δηλαδὴ) παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου. λέγει λοιπὸν ὁ Δαβὶδ, ὅτι αὐτὴ ἡ μνήμη καὶ ἐνθύμησίς σου Κύριε, ἔγινεν εἰς ἐμένα. ἐπειδὴ καὶ ἐζήτησα πάντοτε μὲ ὑπερβολὴν τὰ προστάγματά σου. ἀπὸ τὴν ἐνθύμησιν δὲ ταύτην ἔλαβον τὸν φόβον σου εἰς τὴν καρδίαν μου.

57: „ Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυ„ λάξασθαι τὸν νόμον σου.

Σὺ Κύριε, λέγει, εἶσαι μερίδιον καὶ κληρονομία καὶ πλοῦτός μου. διατὶ ἐγὼ ἐκαταφρόνησα τὸ τῆς γῆς μερίδιον καὶ τὴν πρόσκαιρον κληρονομίαν καὶ τὸν γήϊνον πλοῦτον. διὰ τοῦτο λοιπὸν εἶπα: ἤγουν συμφωνίαν ἔδωκα· καὶ ὑπόσχεσιν, διὰ νὰ φυλάξω τὸν νόμον σου ἀπαράβατον. (2)

58: „ Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅ„ λῃ καρδίᾳ μου· ἐλέησόν με κατὰ „ τὸ λόγιόν σου.

Ἐγὼ, λέγει, ἐπαρακάλεσα τὸ πρόσωπόν σου: ἤτοι ἐσένα Κύριε, κατὰ περίφρασιν μὲ ὅλην μου τὴν καρδίαν διὰ τὴν ἁμαρτίαν μου. διὰ τοῦτο ἐλέησόν με κατὰ τὸ λόγιόν σου. διότι γέγραπται ἐν τῷ νόμῳ, ὅτι ἐλεοῦνται οἱ μετανοοῦντες. ἢ ἐλέησόν με κατὰ τὴν ὑπόσχεσιν, ἢ διάκρισίν σου. (3)

59: „ Διε-

(1) Εἶπε δὲ ὁ Θεοδώριτος· „ Νύκτωρ ἀεὶ διανιστάμενος ὁ τῶν ἁγίων χορὸς, ϗ προσεύχεται ϗ ἀνυμνεῖ τὸν τῶν ὅλων Θεόν· ἡ γὰρ ἐπιθυμία τῆς ἐντολῆς ϗ τῶν θείων λογίων, οὐδὲ τῷ ὕπνῳ χώραν δίδωσιν· ἀλλ' ἐξ ὑπερβαλλούσης τῆς μεθ' ἡμέραν ἀσκήσεως, ϗ καθεύδοντες, τὴν μεθημερινὴν μελέτην ἀναπεμπάζονται, κατορθοῦντες τὸ, ἐν νόμῳ Κυρίου μελετᾷν ἡμέρας ϗ νυκτός· οἶμαι δὲ νύκτα ἐνταῦθα τῶν πειρασμῶν τὸν καιρὸν ὀνομάζεσθαι· ζόφον γὰρ ἐπιφέρει, ϗ νυκτὸς δίκην τοῖς ἀνθρώποις ἐπέρχεται· ἐν δὲ τούτῳ διαφερόντως ἀναγκαία τοῦ Θεοῦ τῶν ὅλων ἡ μνήμη, ψυχαγωγοῦσα ϗ παραθαῤῥύνουσα ϗ τοὺς ἐναντίους ἐξελαύνουσα λογισμούς. εἶπε δὲ ϗ ὁ Ὠριγένης· „ Παντὶ μὲν καιρῷ χρήζω τῆς μνήμης τῶν λογίων τοῦ Θεοῦ, μάλιστα δὲ, ὅτε σκότος κύκλῳ μου, ϗ οἱ τοῖχοί με καλύπτουσι κατὰ τὸ προφητικόν· ὅτε εἰσέρχεται ἡ ἀκάθαρτος ἐπιθυμία ϗ ταράσσει τὸ ἡγεμονικόν.

(2) Ὅθεν εἶπεν ὁ Θεοδώριτος· „ Οὐ πάντων μερὶς ὁ Θεὸς, ἀλλὰ τῶν ἀσπαζομένων τὸ τέλειον· οὕτω τῶν ἱερέων ϗ τῶν Λευϊτῶν μερὶς ϗ κλῆρος ἐγένετο· τοῖς γὰρ υἱοῖς, φησι, Λευΐ, οὐκ ἔστιν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν μερὶς, ὅτι μερὶς αὐτῶν ἐγὼ Κύριος (Ἀριθ. ιη'. 20.) εἶπε δὲ ϗ ὁ Εὐσέβιος· „ Ὁ ἀποταξάμενος τοῖς βιωτικοῖς πράγμασι, ϗ μηδεμίαν ἔχων μερίδα ἐπὶ γῆς, μηδὲ ἐν τῷ θέλειν τὰ τοιαῦτα, ἀλλ' ἀρκούμενος ἀντὶ πάντων τῷ Κυρίῳ, ἐρεῖ· „ Μερίς μου εἶ Κύριε· τούτῳ δὲ ἀκολουθεῖ λέγειν· „ Εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου: τὸν πνευματικὸν δηλαδὴ, περὶ οὗ ὁ Παῦλος λέγει· „ Οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστι. πῶς γὰρ οὐ φυλάξουσι τὸν νόμον, ἢ τὰς ἐντολὰς τοῦ Κυρίου, οἱ μερίδα αὐτὸν ἔχοντες κατὰ τοὺς Λευΐτας;

(3) Ὁ δὲ Χρυσόστομος ϗ ὁ Θεοδώριτος, οὕτως ἑρμηνεύουσιν· „ Οὐχ ἀορίστως ἐλεηθῆναι παρακαλεῖ, ἀλλὰ κατὰ

τὸ

59: „ Διελογισάμην τὰς ὁδούς σου, καὶ „ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ „ μαρτύριά σου.

Ἐγώ, λέγει, συλλογιζόμενος τὸν νόμον σου Κύριε, ἔισασα τὴν στράταν τῆς πολιτείας μου πρὸς τὰς ἐντολάς σου. μερικὰ δὲ ἀντίγραφα ἔχουσι. „ Διελογισάμην τὰς ὁδούς μου: ἤτοι πρῶτον ἐστοχαζόμην τί πρέπει νὰ πράξω, καὶ τί πρέπει νὰ εἰπῶ· διὰ τοῦτο καὶ ἐπεριπάτουν μέσα εἰς τὰς ἐντολάς σου. (1)

60: „ Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην, „ τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Ἐγώ, λέγει, ἑτοιμάσθηκα καὶ πρόθυμος ἐφάνηκα, εἰς τὸ νὰ φυλάξω τὰς ἐντολάς σου Κύριε. διὰ τοῦτο δὲν ἐταράχθηκα ἀπὸ τὴν τραχύτητα καὶ βαρύτητα, ὁποῦ αἱ ἐντολαὶ αὗται φαίνονται ὅτι ἔχουσι, κοντὰ εἰς τοὺς ἀμελεῖς καὶ ῥαθύμους. διότι ἐκεῖνο τὸ πρᾶγμα, ὁποῦ προμελετηθῇ καὶ προσδεχθῇ, αὐτὸ γίνεται πλέον εὐκολομεταχείριστον καὶ ἐλαφρότερον. ἢ λέγει, ὅτι δὲν ἐταράχθηκα, ὅταν οἱ Δαίμονες, ἢ οἱ πειρασμοὶ ἦλθαν κατεπάνω μου, μὲ τὸ νὰ ἤξευρα πρότερον, ὅτι θέλουν προσβάλουν κατ᾽ ἐμοῦ, καὶ διὰ τοῦτο ἤμην προετοιμασμένος εἰς τὸ νὰ τοὺς ὑπομείνω. (2)

61: „ Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν με, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Σχοινία τῶν ἁμαρτωλῶν Δαιμόνες εἶναι οἱ

τὸ θεῖον λόγιον τοῦ ἐλέους τυχεῖν· τοῦτο δ᾽ ἂν εἴποι καὶ συνετὸς ἄῤῥωστος τῷ ἰατρῷ· ὡς οἶδας θεράπευσον· ὡς ἡ τέχνη διαγορεύει· τοῦτο καὶ ὁ συνετὸς ἔμπορος εἴποι ἂν τῷ κυβερνήτῃ· κατὰ τοὺς νόμους τῆς τέχνης ἴθυνον τὸ σκάφος· ὡς ἡ ἐπιστήμη κελεύει, κυβέρνησον· οὕτω καὶ ἡμᾶς προσήκει τὸν θεῖον ἔλαιον ἀπαγγέλλειν· ὁ γὰρ αἰτούμενος (ὁ Θεὸς δηλαδὴ) οἶδε τοῦ ἐλέους τὸν τρόπον· πολλάκις γὰρ διὰ παιδείας πραγματεύεται σωτηρίαν, καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία· οὕτω καὶ ἰατρὸς τέμνει καὶ καίει, τῷ κάμνοντι τὴν ὑγείαν πραγματευόμενος· οὕτω καὶ ἡμᾶς αἰτεῖν τὸν ἔλεον χρή· ἔστι γὰρ ὅτε καὶ διὰ πενίας ἔλεος χορηγεῖται· καὶ δι᾽ ἀῤῥωστίας φιλανθρωπία παρέχεται· καὶ κατὰ τὸν ἰατρικὸν λόγον τὰ ἐναντία τοῖς ἐναντίοις ἰᾶται. Ἔφη δὲ καὶ ὁ Ὠριγένης· „ Πρόσωπον Θεοῦ ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· ὁ τοίνυν ὅλῃ καρδίᾳ ἐφιέμενος τοῦ Κυρίου, ὅπως καθαρᾷ καρδίᾳ θεωροῖ αὐτόν, καὶ ἐκ τοῦ θεωρεῖν αὐτὸν ἐλεηθῇ κατὰ τὸν λόγον τῆς διδασκαλίας, εἴποι ἂν τὰ συγκείμενα ταῦτα ῥητά· πηλίκος δέ ἐστιν ὁ ὀψόμενος τὸ πρόσωπον τοῦ Θεοῦ, Ἰησοῦς σε διδαξάτω λέγων· „ Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

(1) Ὁ δὲ Ὠριγένης λέγει· „ Οὐδέ ποτε, φησι, προπετῶς ἐλάλησα, μὴ λογισάμενος πρῶτον, ἢ λαλητέον μοι ἐστιν. ἢ σιωπητέον· οὐδέ ποτε προπετῶς τι ἔπραξα, μὴ λογισάμενος, εἰ καθήκουσά ἐστιν ἡ πρᾶξις· πάντα περιεσκεμμένως ἐποίησα, καὶ διὰ τοῦτο ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου, ἵνα μὴ ἔξωθεν τούτων ὁδεύω. ὥστε καὶ ὁ Ὠριγένης διελογισάμην τὰς ὁδούς μου ἀνέγνω, καὶ οὐχὶ τὰς ὁδούς σου. καὶ ὁ Θεοδώρητος δὲ λέγει, ὅτι καὶ ὁ Ἑβραῖος, καὶ οἱ Ἑβδομήκοντα ἐν τῷ Ἑξαπλῷ, καὶ οἱ ἄλλοι ἑρμηνευταί, τὰς ὁδούς μου ἔχουσιν.

(2) Ὅθεν ὁ Χρυσόστομος σὺν τῷ Θεοδωρίτῳ· „ Εὐτρεπῆ ἐμαυτὸν πρὸς τὰς τῶν δεινῶν ἐμβολὰς καταστήσας, ἐκ τῆς ἀθρόας προσβολῆς οὐχ ὑπέμεινα ζάλην· τῷ γὰρ προευτρεπισμένῳ τῆς διανοίας κατὰ τὸν Θεόδωρον, γενναίως ἤνεγκα τὰ συμπίπτοντα, ἃ προλαβὼν ἐμαυτῷ ὑπέγραφον, ὡς μέλλοντά μοι συμβήσεσθαι· εἰδὼς γὰρ τὸ εἰρημένον· „ Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ τῷ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· καὶ τοῦτο μελετῶν διαπαντός, ἐν ταῖς ἐφόδοις τῶν φθονούντων τῇ κατὰ Θεὸν πορείᾳ, ἢ τῶν πειρασμῶν, οὐκ ἐταραττόμην. Παρὰ τῷ Εὐεργετινῷ σελ. 500. οὕτω φέρεται τὸ ῥητὸν ὑπὸ τοῦ ὁσίου Ζωσιμᾶ· „ Ἡτιμάσθην καὶ οὐκ ἐταράχθην, καθότι ἡ ἀρχὴ τοῦ νὰ νικήσῃ τινὰς τὸν θυμὸν εἶναι, τὸ νὰ ταράττεται μέν, ὅταν ἀτιμασθῇ, νὰ μὴ λαλῇ δέ· ἐκ δὲ τοῦ μὴ λαλεῖν, ἔρχεται, καὶ εἰς τὸ νὰ μὴ ταράττεται ὅλως ἐν τῇ καρδίᾳ ὑπὸ τοῦ θυμοῦ· καθὼς καὶ ὁ Ἀββᾶς Μωϋσῆς, ὅταν μὲν τὸ πρῶτον ἐξουδενώθη ὑπὸ τῶν Πατέρων ἐταράχθη μέν, οὐκ ἐλάλησε δέ· ὅταν δὲ ὕστερον ὑβρίσθη ὑπὸ τῶν Κληρικῶν, οὐδόλως ἐταράχθη.

οἱ πονηροὶ λογισμοὶ κατὰ τὸν Θεόδωρον, διὰ μέσου τῶν ὁποίων ἐπιχειροῦσι νὰ πειράζουν ἐκείνους, ὁποῦ ἀγωνίζονται. ταῦτα λοιπὸν, λέγει, τὰ σχοινία καὶ οἱ πονηροὶ λογισμοὶ τῶν Δαιμόνων, ἐπεριπλέχθησαν εἰς ἐμένα. μὲ ὅλον τοῦτο ἐγὼ πάλιν δὲν ἀλησμόνησα τὸν νόμον σου. ἀλλὰ μὲ τὸν φόβον τοῦ νόμου σου διέκοψα τὰ σχοινία ταῦτα, ὡσὰν με μάχαιραν, καὶ ἔτζι ἐγλύτωσα ἀπὸ αὐτά. (1)

62: „ Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα „ τῆς δικαιοσύνης σου.

Κατὰ τὸ μεσονύκτιον, λέγει, ἐσηκωνόμην, ὅτε περισσότερον οἱ Δαίμονες πολεμοῦσι τοὺς ἀνθρώπους, ἄλλους μὲν παρακινοῦντες εἰς τὸ νὰ μελετοῦν καὶ νὰ φαντάζωνται πονηρά. ἄλλους δὲ, καὶ εἰς τὸ νὰ ἁμαρτάνουν, ἢ λέγει, ὅτι ὅταν ὁ ὕπνος εὑρίσκεται γλυκὺς εἰς τὰ ὀμμάτια, τότε ἐγὼ ἐσηκωνόμην ἀπὸ τὴν κλίνην μου διὰ νὰ σοὶ ἐξομολογοῦμαι: ἤγουν διὰ νὰ σὲ εὐχαριστῶ, διὰ τὰ κρίματα τῆς δικαιοσύνης σου. ἐπειδὴ αὐτὰ ἐνομοθέτησας, προνοούμενος ἡμῶν τῶν ἀνθρώπων. ἵνα δηλαδὴ φοβούμενοι ταῦτα ἡμεῖς, σωφρονῶμεν, καὶ μὴ κολασθῶμεν ἁμαρτάνοντες. ἢ ἐσηκονόμην ἀπὸ τὸν ὕπνον, διὰ νὰ ἐξαγορεύω εἰς ἐσένα τὰς ἁμαρτίας μου διὰ τὰ κρίματα τῆς δικαιοσύνης σου: ἤτοι φοβούμενος δι᾽ αὐτά. (2)

63: „ Μέτοχος ἐγώ εἰμι πάντων τῶν φο„ βουμένων σε καὶ τῶν φυλασσόντων „ τὰς ἐντολάς σου.

64: „ Τοῦ ἐλέους σου Κύριε, πλήρης ἡ „ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

Ἐγὼ, λέγει, εἶμαι μέτοχος: ἤγουν κοινωνὸς ἐκείνων, ὁποῦ σε φοβοῦνται Κύριε, καὶ φυλάττουν τὰς ἐντολάς σου. διατι καὶ ἐγὼ ἔχω τὸν ἴσον φόβον ἐκείνων, καὶ τὴν ὁμοίαν φυλακὴν τῶν ἐντολῶν σου. ταυτὸν εἰπεῖν, καὶ ἐγὼ εἶμαι ἕνας ἀπὸ αὐτούς. (3) Ὅλην δὲ τὴν γῆν σὺ ἐλεεῖς Κύριε, τρέφων ὅλους,

(1) Ὁ δὲ Θεοδώριτος· „ Τὰς ἐπιβουλὰς τῶν Δαιμόνων καὶ ἀνθρώπων σχοινία ἐκάλεσεν, ἐκ τῆς πλοκῆς τὴν ἀφορμὴν λαβὼν τῆς τροπῆς· οὕτω καὶ Ἡσαΐας· „ Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, ὡς σχοινίῳ μακρῷ. (ὅθεν καί τινες νηπτικοὶ Πατέρες σχοινοπλόκους τοὺς Δαίμονας ὠνόμασαν, διὰ τὰς πλοκὰς καὶ δόλους καὶ ἐπιβουλὰς, ἃς κατὰ τῶν ἀνθρώπων συμπλέκουσι.) ὁ δὲ Ὠριγένης, σχοινία λέγει, τὰ συμπεπλεγμένα καὶ ἀλλεπάλληλα ἁμαρτήματα· οἱ γὰρ μίαν ἁμαρτίαν ποιήσαντες, πλέκειν δὲ αὐτὴν καὶ ἄλλην ἀναγκάζονται· ὥσπερ ὁ Δαβὶδ διὰ τὴν πορνείαν, καὶ τὸν φόνον προσέθηκεν· ὁ Κάϊν διὰ τὴν ἀδελφοκτονίαν, ἐπισυνῆψε τὸ ψεῦδος· ἀλλ᾽ οὐδὲ τούτων περιπλακέντων αὐτῷ, τοῦ θείου νόμου, φησιν, ἐπιλανθάνεσθαι· πάντως, ὅτι πρὸς μετάνοιαν ἰδὼν καὶ ἐπιστρέψας, τὸ σχοινίον τῆς ἁμαρτίας διέῤῥηξεν.

(2) Εἶπε δὲ καὶ ὁ Θεοδώριτος· „ Οὐ μεθ᾽ ἡμέραν, φησι, μόνον· ἀλλὰ καὶ νύκτωρ κατ᾽ αὐτὸ τῆς νυκτὸς τὸ μεσαίτατον· ὅτε μετὰ πλείονος ἡδονῆς ὁ ὕπνος τοῖς ἀνθρώποις ἐπέρχεται, ὑμνῶν σε διετέλουν καὶ τὰς δικαίας σου ψήφους ἀνευφήμουν (καὶ τοῦτο οὐκ εἰσάπαξ, ἀλλὰ καθ᾽ ἕκαστον μεσονύκτιον, τὴν ὥραν ἐκείνου, καιρὸν εὑρίσκων προσευχῆς ἐπιτήδειον, διὰ τὸ μεθ᾽ ἡμέραν φροντίδας μοι περιπλέκεσθαι) τοῦτο καὶ ὁ θεῖος Ἀπόστολος μετὰ τοῦ Σίλα πεποίηκε· πεπεδημένος γὰρ καὶ τῇ ποδοκάκκῃ προσδεδεμένος μετὰ αἰκίας καὶ μάστιγας, τῇ προσευχῇ τὴν ὑμνῳδίαν ἐκέρασε, καὶ τῆς καλῆς ἀγρυπνίας ἐτρύγησε τὸν καρπόν· τῆς θείας γὰρ φιλοτιμίας ἀπέλαυσε.

(3) Λέγει δὲ ὁ Δίδυμος· „ Ὁ μὲν τέλειος, Χριστοῦ ἂν εἴη μέτοχος κατὰ τὸ εἰρημένον· „ Μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ (Ἑβρ. γ᾽. 14.) ὁ δὲ παρὼν εἰσαγόμενος, τῶν φοβουμένων τὸν Κύριον μέτοχον ἑαυτὸν εἶναι λέγει· οὐχ ἁπλῶς δὲ τῶν φοβουμένων, ἀλλὰ τῶν διὰ τὸ φοβεῖσθαι φυλασσόντων τὰς ἐντολὰς τοῦ Θεοῦ· δεῖγμα δὲ τοῦ θείου φόβου ἡ τῶν ἐντολῶν φυλακή· μέτοχον οὖν νοήσομεν τὸν φίλον καὶ κοινωνόν (καθὼς καὶ ὁ Σύρος, ἀντὶ τοῦ μέτοχος, φίλος εἶπε, κατὰ τὸν Θεοδώριτον) ὅθεν εἶπε καὶ ὁ Ἐκκλησιαστής· „ Ἐὰν πέσωσιν, ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ (Ἐκκλ. δ᾽. 10.) μή ποτε οὖν τοῦτο βούλεται λέγειν, ὅτι φίλος καὶ κοινωνός εἰμι πάντων

λους, προνοούμενος όλους, καὶ μακροθυμῶν εἰς ὅλους· διὰ τοῦτο ελέησον καὶ εμένα κατὰ τὸν Θεοδώρητον, καὶ δίδαξόν με τὰ δικαιώματά σου ὑψηλότερον καὶ βαθύτερον. καὶ ἀγκαλὰ ὁ Δαβὶδ ἐλεεῖτο καὶ αὐτὸς μαζὶ μὲ ὅλους ἀπὸ τὸν Θεὸν, τοῦτο ὅμως ἔτζι εἶπε, διὰ νὰ κάμῃ τὸν λόγον του πλέον παρακινητικώτερον. (1)

65: „ Χρηστότητα ἐποίησας μετὰ τοῦ „ δούλου σου Κύριε κατὰ τὸν λόγον „ σου.

Εὐεργέτησας, λέγει, ἐμένα τὸν δοῦλόν σου Κύριε. ἔτζι γὰρ καὶ ὁ Σύμμαχος ἐξέδωκε. κατὰ τὸν λόγον σου δὲ τὸν ἐν τῷ νόμῳ γεγραμμένον· ὅτι δηλαδὴ θέλουν εὐεργετοῦνται ἐκεῖνοι, ὁποῦ εὐαρεστοῦν εἰς ἐσένα. ἢ τὸ κατὰ τὸν λόγον σου δηλοῖ, ἀντὶ τοῦ κατὰ τὸ πρέπον σοι. εὐχαριστεῖ γὰρ ὁ Δαβὶδ τὸν Θεόν. διατὶ ἔτζι ἔπραξε, καθότι εὐεργετήθη ἀπὸ τὸν Θεόν. (2)

66: „ Χρηστότητα καὶ παιδείαν καὶ γνῶ„ σιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς „ σου ἐπίστευσα.

Δίδαξόν με, λέγει, Κύριε, διὰ νὰ ἔχω χρηστότητα μὲν πρὸς τοὺς ὁμογενεῖς καὶ ὁμοπίστους μου, παιδείαν δὲ, εἰς τὴν πρακτικὴν ἀρετήν· γνῶσιν δὲ, εἰς τὴν Θεωρητικὴν, κατὰ τὸν Δίδυμον. συνέτισόν με λοιπὸν πρὸς τὰς ἀρετὰς αὐτάς· ἐπειδὴ καὶ ἐπαίσθηκα εἰς τὰς ἐντολάς σου, καὶ ἐπίστευσα, ὅτι αὐταὶ θέλουν με συνετίσουν. (3)

67: „ Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐ„ πλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν „ σου ἐφύλαξα.

Πρὸ τοῦ, λέγει, νὰ κακοπαθήσω, ἡμάρτηκα. ἁμαρτήσας γὰρ πρότερον, ὕστερον επαιδεύθην καὶ ἐταπεινώθην. διὰ τοῦτο ἐφύλαξα τὸν νόμον σου, διὰ νὰ

σων τῶν φοβουμένων τὸν Κύριον, καὶ φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ· οὕτω καὶ ὁ Θεόδωρος εἶπε· „ Κοινωνοὺς εἶχον καὶ συνήθεις τοὺς τὸν σὸν φόβον περὶ πολλοῦ ποιουμένους, καὶ βιοτεύειν ἐννόμως προαιρουμένους· τοῦτο καὶ ἐν ἑτέρῳ ἔφη Ψαλμῷ· „ Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός. ὁ δὲ Ἀνώνυμος λέγει· „ Εἰσί τινες ὑπὲρ τοὺς φοβουμένους, οἱ φυλάσσοντες τὰς ἐντολάς· αἵτινές εἰσιν ἐν ἀγάπῃ πλεονεκτοῦντες, μέτοχοι ὄντες τῆς ἀγάπης τοῦ Θεοῦ.

(1) Λέγει δὲ ὁ Εὐσέβιος· „ Ἐὰν κατανοήσῃς τὸ πλῆθος τῶν ἁμαρτανόντων, τῶν ἀσεβούντων, τῶν ἀδικίαν εἰς ὕψος λαλούντων, καὶ ἴδῃς τοῦ Θεοῦ τὴν μακροθυμίαν ἐπὶ τὰ τοσαῦτα ἁμαρτήματα, πῶς καὶ μετὰ τοσαῦτα πάντα ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, ἐρεῖς, τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.

(2) Ὁ δὲ Δίδυμος λέγει· „ Ἐν τούτοις διδάσκεται ὁ τὰ θεῖα πεπαιδευμένος, μὴ ἀναισθήτως ἔχειν τῆς εἰς αὐτὸν γεγενημένης τοῦ Θεοῦ εὐεργεσίας· εἰδέναι δὲ, ὅτι χρηστότητος Θεοῦ φθανούσης εἰς αὐτὸν, κατηξίωται δοῦλος χρηματίσαι Θεοῦ, καὶ εὐχαριστεῖν ἐφ' οἷς εὐηργέτηται· τὸ δὲ κατὰ τὸ λόγιόν σου πρόσκειται, δηλοῦν, ὅτι σὺν λόγῳ καὶ αἰτίᾳ λογικῇ γίνεται ἡ τοῦ Κυρίου χρηστότης.

(3) Λέγει δὲ ὁ Χρυσορρήμων σὺν τῷ Θεοδωρήτῳ· „ Οἶδεν ὁ Προφήτης τῆς παιδείας τὸ χρήσιμον, καὶ ὅτι φιλανθρωπίᾳ χρώμενος ὁ Δεσπότης, ταύτην ἐπιφέρει τοῖς ἀνθρώποις· οὗ δὴ χάριν ταύτης μεταλαχεῖν ἀξιοῖ· χρηστότητι γὰρ χρώμενος ὁ Θεὸς τὴν παιδείαν ἐπάγει· ἡ δὲ παιδεία, τὴν γνῶσιν· οὕτω καὶ Ἱερεμίας ἀντιβολεῖ. „ Παίδευσον ἡμᾶς Κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ· οὕτω καὶ ἄρρωστος ὑγείαν ποθῶν, καὶ σιδήρου τομὴν καὶ καυτῆρα ἐπιζητεῖ· κατ' ἄλλον δέ· „ Χρηστότης μέν ἐστι γνῶσις ἀληθὴς τῶν γεγονότων ὑπὸ Θεοῦ· παιδεία δὲ, μετριοπάθεια παθῶν· γνῶσις δὲ, θεωρία τῆς ἁγίας Τριάδος· εἰδὲ βούλει, χρηστότητα μὲν τὴν ἀγάπην νόησον· παιδείαν δὲ, τὴν ταπείνωσιν, καὶ γνῶσιν, τὴν τῶν θείων Γραφῶν κατανόησιν· τοῦτο δὲ εἶναι ὅμοιον κατὰ τὸν Ἀνώνυμον, μὲ τό· „ Ἐπεθύμησας σοφίαν, διατήρησον ἐντολάς· (Σειρ. α'. 25.)

νὰ μὴν ἁμαρτήσω πάλιν, καὶ παιδευθῶ. διότι εἰς τὴν ἁμαρτίαν ἀκολουθεῖ ἡ ταπείνωσις τοῦ πειρασμοῦ καὶ τῆς παιδείας. ἢ ταπείνωσιν πρέπει νὰ νοήσωμεν τὴν ἀρετὴν τῆς ταπεινώσεως, ἥτις προξενεῖται εἰς τὴν καρδίαν τῶν προσεκτικῶν ἀπὸ τὸν σοχασμὸν καὶ τὴν συνείδησιν του, ὅτι ἥμαρτον. ταπεινοῦνεται γὰρ ὁ ἄνθρωπος, ὅταν συλλογισθῇ πῶς ἥμαρτεν· ὥςε ἡ ἁμαρτία καὶ πλημμέλεια ἔγινε πρόξενος εἰς τὸν Δαβὶδ ταπεινοφροσύνης. (1)

68 :„ Χρηστός εἶ σὺ Κύριε, καὶ ἐν τῇ „ χρηστότητί σου δίδαξόν με τὰ δι„ καιώματά σου.

Ἐπειδή, λέγει, ἐσὺ Κύριε, εἶσαι ἀγαθὸς καὶ φιλάνθρωπος καὶ φιλάγαθος, διὰ τοῦτο δίδαξόν με καθαρώτερα τὴν φυσικήν σου ἀγαθότητα καὶ φιλανθρωπίαν, διὰ νὰ μιμηθῶ ταύτην καὶ ἐγὼ κατὰ δύναμιν. τὰ ἴδια δὲ λέγων, ὁποῦ εἶπεν ἀνωτέρω ὁ Δαβὶδ, λέγει καὶ ἐδῶ, διὰ νὰ αὐξήσῃ τὴν δέησίν του, καὶ διατὶ πολλὰ ὀρέγεται νὰ διδαχθῇ ἀμέσως ἀπὸ τοῦ Θεοῦ. (2)

69 :„ Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερη„ φάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου „ ἐξερευνήσω τὰς ἐντολάς σου.

Οἱ μὲν ὑπερήφανοι, λέγει, μὲ ἀδικοῦσιν, ἐγὼ ὅμως δὲν θέλω μιμηθῶ αὐτούς, οὐδὲ θέλω χωρισθῶ ἀπὸ τὰς ἐντολάς σου, ἀλλὰ θέλω ἐρευνήσω αὐτάς, καὶ ἀπὸ ἐκείνας θέλω λάβω παρηγορίαν εἰς τὴν ψυχήν μου. ὑπερηφάνους δὲ νόησον καὶ τοὺς Δαίμονας, καὶ τοὺς ἀνθρώπους, ὁποῦ καταφρονοῦν τὸν θεῖον νόμον. ἐκ γὰρ τῆς ὑπερηφανίας ἡ καταφρόνησις τοῦ θείου νόμου προέρχεται. (3)

70 :„ Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐ„ τῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμε„ λέτησα.

(1) Λέγει δὲ ὁ Χρυσόστομος σὺν τῷ Θεοδωρίτῳ· „ Ἐγώ, φησιν, ἐμαυτῷ τὴν παιδείαν προὐξένησα· ἀδικίας γὰρ ἐλευθέρα τῆς τιμωρίας ἡ ψῆφος· τῇ ἁμαρτίᾳ ἠκολούθησεν ἡ παιδεία· τῇ δὲ παιδείᾳ, τῶν νόμων ἡ φυλακή· ἠγνόησα, ἐτμήθην, ἐρρώσθην. λέγει δὲ καὶ ὁ Θεολόγος Γρηγόριος· „ Μέσην πλημμελείας καὶ διορθώσεως τὴν ταπείνωσιν τίθησιν, ὡς ἐκ μὲν ταύτης, γεννωμένην· τὴν δὲ, γεννήσασαν· ἁμαρτία μὲν γὰρ ταπεινώσεως μήτηρ, ἐπιστροφῆς δὲ, ταπείνωσις. ὁ δὲ Κύριλλος ἄλλως ἐννοεῖ τὸ ῥητόν, πλημμέλειαν μὲν λέγων τὴν κατὰ διάνοιαν ἁμαρτίαν· ταπείνωσιν δὲ, τὴν διὰ τοῦ ἔργου γενομένην· πρὶ τοῦ γὰρ νὰ πέσῃ ὁ ἄνθρωπος εἰς τὴν κατὰ πρᾶξιν ἁμαρτίαν, ἁμαρτάνει κατὰ διάνοιαν καὶ κατὰ λογισμούς· οὕτω γάρ φησι· „ Τοῦτο οὖν δηλοῖ τό, πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, ὅτι πρὸ τοῦ παθεῖν τελείως τὴν ἁμαρτίαν, πλημμελοῦμεν ἡμεῖς τῇ συνέσει τῶν λογισμῶν, τιμῶντες αὐτὴν καὶ καταδεχόμενοι, καὶ τόπον εἰσόδου διδόντες διὰ τούτων τῷ Σατανᾷ· ἔςι δὲ τύπος καὶ εἰκὼν τοῦ πράγματος, τοῦ προδότου (Ἰούδα) τὸ πάθος· προκινίσχουσι γὰρ ἐν ἡμῖν τῶν ἀποτελεσμάτων αἱ ἡδοναί· πρὸ γάρ τοι τῶν ἀποτελεσμάτων γίνεται δὴ πάντως ἐν πλημμελείαις ὁ νοῦς, προσδινήσας τὴν ἡδονήν· πλὴν ἐν μόναις ἔτι ταῖς ἐπιθυμίαις τῆς ἁμαρτίας κειμένης, ἔστηκεν ἐν μεταιχμίῳ πρὸς ἄμφω βλέπων ὁ νοῦς, καὶ ἐλευθέραν ἔχων, πρὸς ὅπερ ἂν βούλοιτο τὴν ῥοπήν· καὶ ἕως ἐστὶν ἐν ὠδῖσιν ἔτι, τὸ τοῦ νοῦ τὸ κακόν, οὔπω τέτοκεν.

(2) Ὁ δὲ Ἡσύχιός φησι· „ Δικαίου ἔργον ἐςί, πᾶν τὸ κληρούμενον ἀπὸ τῆς προνοίας, ἱλαρῶς δεχομένου λέγειν καὶ ἐπὶ τοῖς πικροτέροις εἶναι κεραννύμενοις τῷ Θεῷ, τό· „ Χρηστὸς εἶ σὺ Κύριε· καὶ παρ' αὐτοῦ τοῦ Κυρίου τῶν γνώσεων αἰτεῖν διδαχθῆναι τοῦ αὐτοῦ δικαιώματος τοὺς λόγους· ἐν τῇ χρηστότητι δὲ λέγει, διατὶ ἐν τῷ Θεῷ εἶναι καὶ ἀποτομία: ἤτοι ὀργή, κατὰ τὸν Παῦλον.

(3) Λέγει δὲ ὁ Ὠριγένης· „ Ὅσον δίκαιός τίς ἐςι, προστιθέμενος ἐπιπλεῖον τῷ Θεῷ, καὶ ὅσον πληθύνεται ἐν αὐτῷ ἡ εἰρήνη τοῦ Θεοῦ· ἐπὶ τοσοῦτον, ὡς ἐπὶ ἀθλητὴν μείζονα πληθύνεται ἐπ' αὐτῷ ἡ τῶν ἀδικεῖν αὐτὸν θελόντων ὑπερηφάνων, εἴτε Δαιμόνων ἀντικειμένων, εἴτε ἀνθρώπων ἀδικία· τούτων δὲ γινομένων, οὐδὲ κατὰ ποσὸν ἐνδίδωσιν ὁ δίκαιος τοῦ μὴ ἐν ὅλῃ καρδίᾳ ἐξερευνᾶν τὰς ἐντολὰς τοῦ Θεοῦ πρὸς τὸ ποιῆσαι αὐτάς.

Ἐσκληρύνθη, λέγει, ἐναντίον μου ἡ καρδία τῶν ὑπερηφάνων ἀνθρώπων, ὡσὰν τὸ γάλα. ἐπειδὴ τὸ γάλα ὅταν πήξῃ καὶ γένῃ τυρί, σκληρύνεται. ἢ λέγει, ὅτι ἡ καρδία τῶν ὑπερηφάνων ἐπαχύνθη, τρεφομένη μὲ τὰς ἀδικίας, διατὶ καὶ τὸ γάλα, ὅταν γένῃ τυρί, φαίνεται πλέον παχύτερον. (1)

71: „Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, „ὅπως ἂν μάθω τὰ δικαιώματά „σου.

Συμφέρον, λέγει, καὶ ὠφέλιμον ἔγινεν εἰς ἐμένα, διατὶ μὲ ἐπαίδευσας Κύριε, μὲ τοὺς πειρασμούς. ἵνα ἐκ τῆς παιδείας ταύτης μάθω τὴν δικαιοσύνην σου, μὲ τὴν ὁποίαν τιμωρεῖς τοὺς ἁμαρτάνοντας. καὶ ἵνα μάθω, ὅτι ἂν ἐδῶ τοὺς τιμωρῇς, πολλὺ μᾶλλον ἐμέ; (2)

72: „Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός „σου ὑπὲρ χιλιάδας χρυσίου „καὶ ἀργυρίου.

Ἀγαθός: ἤτοι πλέον πολύτιμος εἶναι εἰς ἐμένα ὁ νόμος σου Κύριε, τὸν ὁποῖον ἐσὺ ὑπαγόρευσας εἰς τὸν Μωϋσῆν διὰ τοῦ στόματός σου, περισσότερον ἀπὸ τὰς χιλιάδας τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου. διατὶ ὁ νόμος σου παιδαγωγεῖ μὲν τὸ σῶμα, ῥυθμίζει δὲ τὰ ἤθη, καὶ συνετίζει τὴν ψυχὴν κατὰ τὸν Θεῖον Κύριλλον. (3)

Στό

(1) Ὁ δὲ Θεόδωρος λέγει· „Ἀντὶ τοῦ ἐτυρώθη, ὁ Ἀκύλας εἶπεν, ἐλιπάνθη ὡς στέαρ ἡ καρδία αὐτῶν· ἀλλὰ τῶν μὲν ἡ καρδία, φησιν, ἐλιπαίνετο ἐν τῇ παρούσῃ τρυφῇ· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα, ἀπὸ τῆς τούτου μελέτης τὴν γνῶσιν τῆς σῆς προνοίας θηρώμενος· ἢ κατὰ τὸν Ἀνώνυμον· „Πρὸ μὲν τῆς ὑπερηφανίας, φησίν, εὔεικτοί τινες ϗ ἁπαλοὶ ἦσαν τὴν καρδίαν οἱ ἐχθροί μου, ὡς γάλακτι παραβάλλεσθαι τροφιμωτάτῳ· ἡνίκα δὲ τὴν ὑπερηφανίαν ἐνεδύσαντο, πάντες σκληρυνθέντες, οἱονεὶ ἀπὸ γάλακτος εἰς τυρὸν μετεβλήθησαν.

(2) Ὁ δὲ Σύμμαχος εἶπε· „Συνήνεγκέ μοι, ὅτι ἐκακώθην ὑπὲρ τοῦ μαθεῖν τὰ προστάγματά σου· λέγει ϗ ὁ Θεολόγος Γρηγόριος· „Πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ δόξης ταπείνωσις· τοῦτο ϗ Δαβὶδ εἰδώς, ἐν τῷ τῶν ἀγαθῶν ϗ τὸ συνεσάλθαι τίθεται, ϗ χάριν ὁμολογεῖ τῷ συστείλαντι, ὡς τοῦ τὰ δικαιώματα μαθεῖν ἐντεῦθεν προσγινομένου. Καὶ πάλιν· „Σωφρόνων ἀνδρῶν, οἵτινες παιδεύονται ταῖς συμφοραῖς ϗ ὡς χρυσὸς πυρὶ καθαίρονται, λέγειν· „Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὡς τικτούσης τῆς ταπεινώσεως τὸ γινώσκειν τὰ δικαιώματα· ϗ τὸ τοῦ Πέτρου πάσχειν ἐπικαλεσσαμένου τὴν σωτηρίαν ἐν τῷ μέλλειν καταδύεσθαι· (Λόγ. πρὸς τοὺς πολιτευομένους Ναζιανζοῦ.) Ἔφη δὲ ϗ ὁ θεῖος Κύριλλος· „Σωφρονεστέρους ἡμᾶς ἀποτελοῦσιν αἱ θλίψεις, καὶ τῶν τῆς ῥαθυμίας ἐξέλκουσι βόθρων, τῆς ἐπιεικείας τοὺς τρόπους ἀγαπᾷν ἀναπείθουσαι. ϗ τὸν δυσήνιον, ὡς ἐξ ἀνάγκης ϗ φόβου, τῷ τῆς ὁσιότητος ϗ ὑπακοῆς ζυγῷ ὑποφέρουσαι, εὐαρεστούμενος τοίνυν ϗ ὁ ψάλλων τοῖς ἐπιπόνοις, ἃ ϗ ταπείνωσιν ὀνομάζει, εὐδοκεῖ ἐν ἀσθενείαις, ἐν ἀνάγκαις· ἵν᾽ ἐκ τοῦ ταῦτα ὑπομεμενηκέναι, ἄξιος κριθῇ τοῦ μανθάνειν τὰ τοῦ Θεοῦ δικαιώματα· οὐδενὸς αὐτὰ εἰσομένου, μὴ πρότερον ταπεινωθέντος ϗ ἐν πολλοῖς θλιβέντος. προστίθησι δὲ ὁ ἀνωτέρω Θεολόγος Γρηγόριος· „Οἱ σώφρονες ἄνδρες παιδεύονται ταῖς συμφοραῖς· ἵνα μᾶλλον προσχωρῶσι Θεῷ διὰ τὸ ἀλγεῖν, ϗ τὸν εὐεργέτην οἰκειοῦνται διὰ τῆς θλίψεως· ἐπειδὴ κάμνουσα ψυχὴ ἐγγύς ἐστι Θεοῦ, ϗ τὸ χρῄζειν ἐπιστρέφει πρὸς τὸν δοῦναι δυνάμενον, (ἤτοι τὸν Θεὸν) τῷ ἀφθόνῳ τῆς δωρεᾶς τυχὸν ϗ καταφρονούμενον.

(3) Προστίθησι δὲ ὁ αὐτὸς Κύριλλος· „Πλοῦτος μὲν γὰρ ὁ ἐπίγειος τῇ τοῦ σώματος ζωῇ συνεκτείνεται μόλις, ἀποθανούσης δὲ τῆς σαρκός, οἴχεται ϗ αὐτός· σαρκικῶν γάρ ἐστιν ἐπιθυμιῶν ὑπηρέτης· ὁ δὲ χρυσοῦ ϗ ἀργύρου τὰ θεῖα λόγια προτετιμηκώς, ϗ τὸν οὐράνιον θησαυρὸν εἰς τὴν ἑαυτοῦ συλλέγων καρδίαν, τρισμακάριος ἔσται, ϗ ἀκράδαντον ἕξει παρὰ Θεῷ τὴν ἐλπίδα, τὴν ἐφ᾽ ἅπασι τοῖς ἀγαθοῖς. λέγει δὲ ὁ Ἀνώνυμος· „Ὁ νόμος τοῦ Θεοῦ τοῖς προσέχουσι παρέχει τὸ αὔταρκες· χρυσίου δὲ ϗ ἀργυρίου χιλιάδες εἰς ὄρεξιν πλούτου ϗ πλεονεξίας ἐπιθυμίαν τὸν κεκτημένον διερεθίζουσι· ϗ οὐδέ ποτε ὁ τοιοῦτος ἀνενδεὴς εὑρίσκεται, ἐπιθυμῶν τοῦ πλείονος, ϗ διὰ

τοῦ-

Στάσις Α'.

73: „ Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔ-
„ πλασάν με. συνέτισόν με καὶ μα-
„ θήσομαι τὰς ἐντολάς σου.

Σὺ με ἔπλασας, λέγει, Κύριε. διὰ τοῦτο καὶ σὺ με συνέτισον, καὶ σὺ με δίδαξον, ἵνα ἐκ τῆς συνετίσεώς σου ταύτης μάθω νὰ κατορθώσω τὰς ἐντολάς σου· μερικοὶ δὲ χεῖρας μὲν τοῦ Πατρὸς νοοῦσι τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ μέσου τῶν ὁποίων ἐποίησε τὰ πάντα. (1)

74: „ Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐ-
„ φρανθήσονται, ὅτι εἰς τοὺς λόγους
„ σου ἐπήλπισα.

Ἐκεῖνοι, λέγει, ὁποῦ σὲ φοβοῦνται Κύριε, θέλουν ἰδοῦν ἐμένα πῶς προκόπτω, ἐὰν ἐσὺ με συνετίσῃς. καὶ ἀκολούθως θέλουν εὐφρανθοῦν, διατὶ ἐγὼ ἤλπισα εἰς τὰς ἐντολάς σου, καὶ ὄχι εἰς κανένα ἄλλο βιωτικὸν πρᾶγμα. (2)

75: „ Ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ
„ κρίματά σου, καὶ ἀληθείᾳ ἐτα-
„ πείνωσάς με.

σοῦτο ἐν ἐνδείᾳ καὶ στερήσει γίνεται. ἢ κατὰ τὸν Δίδυμον· „ Νόμον λέγει τὸν Εὐαγγελικὸν, στόμα δὲ τὸν Χριστόν· ὃς ἀπὸ τοῦ στόματος αὐτοῦ ἐλάλησε τὸ Εὐαγγέλιον.

(1) Λέγει δὲ ὁ Βασίλειος· „ Ὅσης παρὰ Θεοῦ ἠξίωται ὁ ἄνθρωπος τιμῆς, διδάσκεται ἐνταῦθα ὁ εἰσαγόμενος· ὡς τὰ μὲν ἕτερα ζῶα προστάγματι ἐκέλευσε γενέσθαι, τὸν δὲ ἄνθρωπον τῶν ἰδίων χειρῶν κατηξίωσε· καὶ ἕτερον ἀξίωμα, τὸ δεκτικὸν εἶναι καὶ χωρητικὸν τῆς αὐτοῦ διδασκαλίας καὶ τῆς παρ' αὐτοῦ συνέσεως· τὴν μὲν οὖν μίαν χεῖρα τοῦ Θεοῦ, δείκνυσιν ὁ Ἰὼβ λέγων· „ Πνεῦμα θεῖον τὸ ποιῆσάν με· τὴν δὲ ἄλλην χεῖρα σαφηνίζει Σολομῶν λέγων· „ Θεὲ Πατέρων ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, Χριστὸς δὲ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· ἐποίησε μὲν οὖν τὸν ἔσω ἄνθρωπον, ἔπλασε δὲ τὸν ἔξω. καὶ ὁ Νύσσης λέγει· „ Πρέπει ἡ μὲν πλάσις πηλῷ, ἡ δὲ ποίησις τῷ κατ' εἰκόνα· ὥστε, ἐπλάσθη μὲν ἡ σὰρξ, ἐποιήθη δὲ ἡ ψυχή. κατὰ δὲ τὸν ἅγιον Ἰουστῖνον· „ Διαφέρει ποιητὴς καὶ δημιουργός: ἤτοι πλάστης· ὅτι ὁ μὲν ποιητὴς, οὐδενὸς ἑτέρου προσδεόμενος, ἐκ τῆς ἑαυτοῦ δυνάμεως καὶ ἐξουσίας ποιεῖ τὸ ποιούμενον· ὁ δὲ δημιουργὸς, τὴν τῆς δημιουργίας δύναμιν ἐκ τῆς ὕλης εἰληφὼς, κατασκευάζει τὸ γινόμενον. Ἄλλος δὲ λέγει· „ Ἢ τάχα εἰπὼν ὅτι ἐποίησεν, ἑρμηνεύει καὶ πῶς ἐποίησεν; ἤτοι ὅτι ἔπλασεν· ὁ πλάσας οὖν με φησὶ, καὶ συνέσεως δεκτικὸν ἐργασάμενος, συνέτισόν με, ὥστε ἐπιγνῶναι τὰς ἐντολάς σου. ὁ δὲ Θεοδώριτός φησιν· „ Ὁ Θεὸς λέγεται διαπλάσαι τῶν ἀνθρώπων τὴν φύσιν, οὐ χερσὶ χρησάμενος· ἀσώματος γάρ· ἀλλὰ πλείονα περὶ τόδε τὸ ποίημα διάθεσιν ἐνδειξάμενος. ὁ δὲ Ἀνώνυμος λέγει· „ Λόγῳ δημιουργήσας ὁ Θεὸς τὰ πάντα, ὅτε ἦλθεν ἐπὶ τὸν ἄνθρωπον εἶπε· „ Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· τίνι δὲ ἄλλῳ λέγει ποιήσωμεν ἄνθρωπον, ἢ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, οὓς καὶ χεῖρας νῦν ἀποκαλεῖ; καὶ ἐν τῷ Ἰὼβ δὲ γέγραπται· αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· μετὰ ταῦτα μεταβαλών με ἔπαισας (Ἰώβ. ι' 8.) καὶ τὸ μὲν, ποιήσωμέν τινες ἐπὶ τῆς πρώτης δημιουργίας φασὶν εἰρῆσθαι· τὸ δὲ ἔπλασαν ἐπὶ τῆς τοῦ λουτροῦ παλιγγενεσίας καὶ ἀναπλάσεως.

(2) Λέγει δὲ ὁ Ὠριγένης· „ Οἱ τῷ ἁγνῷ φόβῳ τὸν Θεὸν φοβούμενοι, τῷ μηδενὶ αὐτοὺς ὑστερεῖν, τέλειοί εἰσιν· οὐκ ἔστι γάρ, φησιν, ὑστέρημα τοῖς φοβουμένοις αὐτόν· ὄντες δὲ τοιοῦτοι, ἀγαθοὶ τυγχάνουσι, κατὰ τὸν, ὃν ἔχουσι φόβον· διὸ καὶ πάντες βούλονται προκόπτειν καὶ ὠφέλειαν ἔχειν, καὶ εὐφραίνονται ἐπὶ τοῖς εὐαρεστοῦσι Θεῷ· καὶ ὁ Δίδυμος· „ Οὐ πάντες οἱ βλέποντες τὸν δίκαιον εὐφραίνονται· „ Βαρὺς γάρ τισίν ἐστι καὶ βλεπόμενος. ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. (Σοφ. β'. 15.) καὶ διὰ τοῦτο οὐχ ἡδέως αὐτὸν ὁρῶσιν· ὥσπερ δὲ τούτοις βαρύς ἐστι βλεπόμενος· οὕτως εὐφροσύνη τοῖς εὐσεβέσι· τὸ δὲ βλέπειν ἢ αἰσθητῶς νοεῖται, ἢ νοητῶς κατὰ τὴν ψυχήν· ἵνα εἴπῃ, ὅτι βλέπει τὸν λόγον αὐτοῦ, τὰ νοήματα αὐτοῦ, τὴν σοφίαν, ἣν ἔχει· ζητήσωμεν οὖν αὐτὸν οὕτως ἰδεῖν, καὶ εὐφρανθῆναι ταύτῃ τῇ νοήσει

Ἐγὼ, λέγει, ἐγνώρισα μὲ τὴν δοκιμὴν, ὅτι αἱ κρίσεις σου Κύριε, εἶναι δίκαιαι, καὶ διὰ τοῦτο εὐλόγως καὶ δικαίως μὲ ἐταπείνωσες μὲ τοὺς πειρασμοὺς διὰ νὰ σωφρονισθῶ, ἐπειδὴ καὶ ἥμαρτον. (1)

76: „ Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου, τῷ δούλῳ σου.

Ἂς γένῃ, λέγει, ὦ Κύριε, τὸ ἔλεός σου εἰς ἐμένα τὸν δοῦλόν σου, διὰ νὰ μὲ παρηγορήσῃ, ὁποῦ ἐκακοποιήθην καὶ ἐλυπήθην. ἂς γένῃ δὲ αὐτὸ εἰς ἐμὲ, κατὰ τὴν ὑπόσχεσίν σου. ἐπειδὴ σὺ ὑπεσχέθης ἐν τῷ νόμῳ νὰ βοηθῇς τοὺς μετανοοῦντας. (2)

77: „ Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

Ἂς ἔλθουν, λέγει, Κύριε, οἱ οἰκτιρμοί σου εἰς ἐμένα, ὅστις ἀποπνίγομαι ἀπὸ τὴν λύπην, καὶ θέλω ζήσω μὲ αὐτούς. ἂς ἔλθουν δὲ εἰς ἐμένα· διατὶ ὁ νόμος σου εἶναι μελέτη ἐδική μου, καὶ ὄχι ἄλλο κανένα πρᾶγμα τοῦ Κόσμου. (3)

78: „ Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

Ἂς ἐντραποῦν, λέγει, Κύριε, οἱ ὑπερήφανοι, μὲ τὸ νὰ νικηθοῦν καὶ νὰ μὴ κατορθώσουν τίποτε. λέγει δὲ ὑπερηφάνους τοὺς ἀνωτέρω σημειωθέντας: τοὺς Δαίμονας δηλαδὴ, καὶ τοὺς καταφρονητὰς τοῦ θείου νόμου· διατὶ αὐτοὶ ἀδίκως ἥμαρτον εἰς ἐμένα, ἐναντιούμενοι ἀπὸ μόνον τὸν φθόνον τους. (4)

79: „ Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Ἀν-

(1) Λέγει δὲ ὁ Ἀπολλινάριος· „ Ὅτι δικαιοσύνη ἐστὶ τὰ κρίματα τοῦ Θεοῦ, ὁ πιστὸς πιστεύει· ἀλλ' οὐκ ἂν ἔγνω, εἰμὴ ἔλαβε λόγον γνώσεως· ὁ δὲ ἄπιστος οὐ πεπίστευκεν, ἀλλ' ἐγκαλεῖ τῇ Προνοίᾳ· ὁ δὲ βελτίων οὐ πεπίστευκε μόνον, ἀλλὰ καὶ ἔγνω, τίς ἡ ἐν τούτοις κρίσις τοῦ Θεοῦ.

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „ Τοῖς γὰρ μεταμελείᾳ χρωμένοις, τὴν σὴν εὐμένειαν ἐπηγγείλω· τοῦτο καὶ διὰ Ἡσαΐου ἔφη: „ Ὅτε ἐπιστραφεὶς στενάξεις, τότε σωθήσῃ. ἢ κατὰ τὸν Ἀθανάσιον „ Ἔλεος τοῦ Πατρὸς ὁ Υἱὸς, ὃς καὶ παρεκάλεσεν ἡμῶν τὰς καρδίας τυραννουμένας ὑπὸ τοῦ Σατανᾶ· ὅρα δὲ λέγει ὁ Τιμόθεος, ὅτι καθάπερ γενναῖος ἀθλητὴς καὶ μεμαθηκὼς φέρειν τὰ συμβαίνοντα, εὔχεται, οὐκ ἀποστῆναι τὰ λυποῦντα αὐτὸν, ἀλλὰ δοθῆναι οἱ ἐν τῷ καιρῷ τῶν πειρασμῶν λόγον ἰσχυρὸν παρακλήσεως, τὸν δυνάμενον αὐτῷ χαρίσασθαι μετὰ πάσης εὐθυμίας καὶ ἀταραξίας φέρειν τὸ συμβεβηκός· ἐν τούτῳ γάρ με, φησὶν, ἐλέησον, ἵνα γένηταί μοι παράκλησις καὶ παραμυθία. προστίθησι δὲ ὁ Ἀθανάσιος· „ Πολλοὶ παρακλήσεως τυχόντες ἀπατῶνται, ὡς ἐξ ἰδίας φρονήσεως, καὶ ἀπὸ λογισμοῦ οἰκείου ἐσχηκέναι ταύτην· ὅπως οὖν μὴ ὡσαύτως τούτοις κἀγὼ πλανηθῶ, ἐμοὶ τῷ δούλῳ σου τὸ ἔλεός σου γενέσθω παράκλησις.

(3) Κατὰ δὲ τὸν θεῖον Κύριλλον· „ Δικαίως τῶν οἰκτιρμῶν τυχεῖν ἀξιοῖ, ἐπειδὴ καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ πληροῖ, καὶ ἐν αὐτῇ τῇ ταπεινώσει: ἤτοι τοῖς πειρασμοῖς, τὸν νόμον μελετῶν: τὸν Εὐαγγελικὸν δηλαδὴ, ὁ νέος λαός· ἅπαξ γὰρ ἐπεσημηνάμεθα εἰς πρόσωπον τοῦ νέου λαοῦ τὸν Ψαλμὸν τοῦτον εἰρῆσθαι. καὶ ὁ Θεοδώριτος· „ Νεκρὸν ἑαυτὸν ἡγεῖται τῆς θείας ἐστερημένον εὐμενείας· οὗ δὴ χάριν, ὥσπερ ἀναβιῶναι διὰ τῆς θείας φιλανθρωπίας παρακαλεῖ.

(4) Κατὰ τὸν Θεοδώριτον· „ Οὐκ ἐπαρᾶται τοῖς αἰσθητοῖς ἐχθροῖς, ἀλλ' ὑπερεύχεται τούτων· ἡ γὰρ ἐπὶ τοῖς

Ἄλλως, λέγει, ἐδῶ καμμίαν φορὰν ἦθε- λα πλανηθῶ ἀπὸ τὰς ἐντολάς σου ἄς με ἐπιςρέψουν εἰς τὴν ἴσην ςράταν αὐτῶν ἐκεῖνοι, ὁποῦ σὲ φοβοῦν- ται Κύριε, καὶ ὁποῦ ἠξεύρουν τὰ λόγιά σου. (1)

80: „ Γενηθήτω ἡ καρδία μου ἄμωμος „ ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν „ μὴ αἰσχυνθῶ.

Ἄς γένῃ, λέγει, Κύριε, ἡ καρδία μου τε- λεία καὶ ἄμεμπτος, μὲ τὸ νὰ μελετᾷ εἰς τὰ δικαι- ώματά σου, καὶ ἄς καθαρίζεται ἀπὸ τὸν φόβον τού- των, ἵνα ἐκ τούτου μὴ ἐντραπῶ, πράξας κἀνένα ἔργον πονηρὸν, ἄξιον ἐντροπῆς καὶ αἰσχύνης. (2)

81: „ Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυ- „ χή μου, εἰς τοὺς λόγους σου ἐπήλ- „ πισα.

Ἡ ψυχή μου, λέγει, Κύριε, τρόπον τινὰ ἀποδημεῖ ἀπὸ τὸ σῶμα, καὶ ἐκλύεται καὶ ὀλιγοθυμεῖ, μὲ τὸ νὰ μὴν ὑποφέρῃ τὴν ὑπερβολὴν καὶ θερμότη- τα τοῦ θείου σου πόθου. σωτήριον δὲ ὀνομάζει τὴν σωτήριον ἐνανθρώπησιν τοῦ Χριςοῦ, κατὰ τὸν Εὐσέ- βιον. λέγει λοιπὸν, ὅτι πολλὰ ἐπιθυμῶ τὸ σωτήρι- ον τοῦτο. καὶ εἰς τοὺς λόγους σου θαῤῥῶ, ὅτι τοῦ- το θέλει γένει ἐξάπαντος: εἰς τοὺς λόγους δηλαδὴ τοὺς ἐν τῷ νόμῳ γεγραμμένους περὶ τῆς ἐνανθρωπή- σεως τοῦ Χριςοῦ. μερικοὶ δὲ ὡς ὁ Θεοδώριτος νο- οῦσι, ὅτι ὁ Δαβὶδ ὁμιλεῖ ἐδῶ διὰ τὴν σωτηρίαν τὴν ἰδικήν του: ἤγουν, ὅτι ἐγὼ ποθῶ τὴν παρὰ σοῦ σωτηρίαν Κύριε, καὶ εἰς τὰς ἐντολάς σου θαῤῥῶ, ὅ- τι θέλω σωθῶ, μὲ τὸ νὰ φυλάττω αὐτάς. ἀδιάφο- ρον δὲ εἶναι, εἴτε λόγους εἴπῃ τινὰς πληθυντικῶς, εἴτε λόγον ἑνικῶς. (3)

82: „ Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ „ λόγιόν σου, λέγοντες, πότε παρα- „ καλέσεις με.

Ἀσθένησαν, λέγει, καὶ παρελύθησαν οἱ νοη-

ἁμαρτήμασιν αἰσχύνη τὴν σωτηρίαν πραγματεύεται. λέγει δὲ καὶ ὁ Θεόδωρος. „ Εὔχεται ὁ Προφήτης ὑπὲρ αὐ- τῶν· ὁ γὰρ ἁμαρτάνων, ὅσον μὲν ἀναισθητεῖ τοῦ ἡμαρτηκέναι, οὐκ ἐρυθριᾷ· ὅταν δὲ εἰς συναίσθησιν ἔλθῃ τῶν οἰκείων ἁμαρτημάτων, τότε αἰδεῖται. ἡκέτωσαν οὖν, φησὶν, ἐπὶ τὸ αἰσχύνεσθαι· καὶ μανθανέτωσαν, ὅτι ἀδίκως ἠδίκησάν εἰς ἐμέ. εἶπε δὲ καὶ ὁ Κυρήνης Συνέσιος. „ Ἀλλ᾽ ἔςιν ἄρα καὶ τοῦτο δεύτερον ἀγαθὸν, τὸ αἰσχύνε- σθαι· τὸ μὲν γὰρ ἀναμάρτητον, θείας ἀντικρυς ἐςὶ καὶ μοίρας καὶ φύσεως· τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γενομένοις ἐρυ- θημα, σωφροσύνης τις ἂν ἀπεφήνατο.

(1) Λέγει δὲ ὁ Ἀθανάσιος. „ Τῆς παρὰ τῶν σῶν οἰκετῶν διδασκαλίας τύχοιμι· ἔςαι δὲ τοιαύτη, οἷα ἐπιςρέ- φειν εἰδεῖα ψυχὰς διὰ τὸ πλουτεῖν τὸν φόβον τὸν σόν. ὁ δὲ Θεοδώριτος. „ Ὡς πόῤῥω, φησὶ, τοῦ χοροῦ τῶν δικαίων διὰ τὴν ἁμαρτίαν γενόμενος, καὶ πάντων αὐτῶν παραπλησίως τῷ Θεῷ ἀποςραφέντων, ἱκετεύει πάλιν αὐτοῖς ἑνωθῆναι, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν ἀπολαβεῖν. ὁ δὲ Ὠριγένης λέγει. „ Βούλεται ὁ Προφήτης τοὺς φοβου- μένους τὸν Θεὸν ἐπιςρέψαι πρὸς αὐτὸν καὶ οἰκεῖν· ἵν᾽ αὐτοῖς μεταδῷ τοῦ χαρίσματος τοῦ ἐν αὐτῷ.

(2) Κατὰ δὲ τὸν Θεόδωρον. „ Πάντα τὰ ἁμαρτήματα αἰσχύνης ἐςὶν ἄξια· ἕως μὲν οὖν ἀτελὴς τυγχάνει ἡ καρδία, πολλὴ φροντὶς καὶ ἀγωνία, μήποτε ἄρα καὶ ἀσθενήσῃ, καὶ χείρων ἑαυτῆς γένηται· ὅτε δὲ εἰς ἄκρον φθάσῃ τε- λειότητος, λοιπὸν ὥσπερ ἐν ἕξει ἀρετῆς καταςᾶσα, οὐκέτι δέδοικε, μήποτε καταισχυνθῇ· διὰ τοῦτο καὶ εὐθὺς ἀρ- ξάμενος τοῦ Ψαλμοῦ, τοὺς ἀμώμους ἐμακάρισεν· ὅμοιον δὲ τοῦτο τῷ. „ Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός.

(3) Ὁ δὲ Θεοδώριτος. „ Οἱ σφόδρα τι ποθοῦντες καὶ ἐςερημένοι τοῦ ποθουμένου ἐκλείπειν φασίν· οὕτως οἱ ἄ- γαν διψῶντες καὶ σπαίροντες ὕδατος· οὕτως οἱ τινὰ τῶν γνωρίμων ἐξ ἀποδημίας προσμένοντες, ἱμείρονται μὲν ἀ- εὶ, κατατήκονται δὲ τῷ πόθῳ διαμαρτάνοντες· οὕτω καὶ οἱ συμφοραῖς τισὶ προσπαλαίοντες, καὶ τὴν θείαν συμμαχίαν προσμένοντες, ἀναβαλλομένης ταύτης ὁρῶντες, ἐκλείπουσιν.

νῦν τοὶ ὀφθαλμοὶ τῆς ψυχῆς μου, ἀποβλέποντες ὅλως ὅλου εἰς τὸν νόμον σου. ἀσθένησαν δὲ ζητοῦντες, πότε ἔχεις νὰ μὲ παρηγορήσῃς, συνετίσας, καὶ τὸν πλοῦτον τὸν κεκρυμμένον εἰς τὰς ἐντολάς σου ἀνακαλύψας εἰς ἐμένα. (1)

83: „Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, „τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Μερικοὶ μὲν λέγουσιν, ὅτι τὸ ἀσκὶ, ὅταν ψυχραίνεται εἰς τὴν πάχνην, σφίγγει. τοιοῦτος λοιπὸν, λέγει, ἔγινα καὶ ἐγὼ ὡσὰν τὸ ἀσκί. ἐπειδὴ ἐσφίγχθηκα ἀπὸ τοὺς πειρασμοὺς καὶ ἐσωφρονίσθην· καὶ διὰ τοῦτο εἰς τὸ ἑξῆς δὲν θέλω λησμονήσω τὰ δικαιώματα τοῦ Θεοῦ, ἵνα μὴ πέσω πάλιν εἰς πειρασμούς. μερικοὶ δὲ ἄλλοι λέγουν τὸ ἐναντίον. ὅτι τὸ ἀσκὶ, ὅταν εὑρίσκεται εἰς τὴν πάχνην, μαλακώνει καὶ γίνεται χαῦνον καὶ ἁπαλόν. τοιοῦτος λοιπὸν, λέγει, ἔγινα καὶ ἐγώ· ἐπειδὴ εἰς τοὺς πειρασμοὺς εὑρισκόμενος ἀτόνησα καὶ ἐχαυνώθην. πλὴν μὲ ὅλην τὴν ἀτονίαν μου, δὲν ἐλησμόνησα ποτὲ τὰ δικαιώματά σου, ὥστε ὁπού νὰ κάμω κἀνένα πρᾶγμα παράνομον. ἢ νοεῖται καὶ ἄλλως. ὅτι ἐγὼ ἔγινα ὡσὰν ἕνα ἀσκὶ, νεκρὸς μὲν εἰς τὰ πάθη καὶ ἁμαρτίας, καθὼς εἶναι νεκρὸν καὶ τὸ ἀσκί· χωρητικὸς δὲ τῶν θείων λογίων, καθὼς εἶναι καὶ τὸ ἀσκὶ χωρητικὸν τῶν ὑγρῶν. ἔγινα δὲ τοιοῦτος μὲ τὴν πάχνην καὶ δρόσον τῆς θείας χάριτος, ἥτις κατέβη ἄνωθεν εἰς τὴν ψυχήν μου, καὶ ἐψύχρανε τὴν εἴσοδον τῶν παθῶν. διὰ τοῦτο δὲν ἐχωρίσθηκα ἀπὸ τὸν νόμον σου. ἐπειδὴ καὶ ἠξεύρω, ὅτι διὰ μέσου τοῦ θείου νόμου σου, ἠξιώθηκα νὰ λάβω τὴν ἄνωθεν χάριν σου. (2)

84: „Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου „σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Πόσαι, λέγει, εἶναι αἱ ἡμέραι μου Κύριε; βέβαια ὀλίγαι. „Αἱ γὰρ ἡμέραι τῶν ἐτῶν ἡμῶν,

(1) Ὁ δὲ Θεόδωρος λέγει· „Λόγιον, ὑφ' οὗ παρακληθήσεται, τὸν Κύριον ἡμῶν Ἰησοῦν φησιν. αὐτὸν γὰρ ἔχομεν παράκλητον πρὸς τὸν Πατέρα· αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὸν Ἰωάννην· τοῦτον οὖν προσδοκῶν συντετριμμένοις τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, καὶ ὅλος τῆς αὐτοῦ θέας γινόμενος, τῆς παρ' αὐτοῦ παρακλήσεως τυχεῖν ἀξιοῖ, ὡς εἶπεν ὁ Εὐσέβιος· ὁ δὲ Θεοδώρητος λέγει· Λόγιον καὶ ἡ ὑπόσχεσις ἡ θεία καλεῖται, καὶ ἡ θεόπνευστος Γραφή· ἐκλείπει τοίνυν, οὐ μόνον ὁ τὴν ὑπόσχεσιν τὴν θείαν ἀναμένων καὶ τὴν λύσιν τῶν ἐπικειμένων κακῶν προσδεχόμενος· ἀλλὰ καὶ ὁ τοῖς θείοις ἐντυγχάνων λογίοις καὶ τὴν τούτων διάνοιαν καταμαθεῖν ἀκριβῶς ἐφιέμενος, καὶ παράκλησιν καὶ ψυχαγωγίαν ὑπολαμβάνων τὴν εὕρεσιν.

(2) Κατὰ δὲ τὸν Θεοδώρητον καὶ Χρυσόστομον· „Ὁ ἀσκὸς θερμαινόμενος μὲν χαυνοῦται, καὶ φυσώμενος ἐξογκοῦται· ἐν δὲ τῇ πάχνῃ ψυχόμενος, σκληρύνεται καὶ συσφίγγεται· οὕτω καὶ τοῦ σώματος ἡ φύσις, χαυνοῦται μὲν τῇ τρυφῇ καὶ ἐξογκοῦται, καὶ κατὰ τῆς ψυχῆς ἐξανίσταται· τῇ δὲ ἀσκητικῇ κακουχίᾳ, καὶ τῇ πάχνῃ τῆς ἄνωθεν χάριτος ταπεινοῦται καὶ πιέζεται καὶ νεκρὸν πρὸς τὰ πάθη γίνεται· τοιγάρτοι καὶ ὁ Προφήτης, ἐπειδὴ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, κρείττων ἦν τῶν παθῶν καὶ συνεστέλλετο, εἰρήνης δὲ ἀπολαύσας, τοῖς ἀπὸ τρυφῆς ἐβλάβη κτήμασι· ταπεινώσας τὸ σῶμα τῶν θείων νόμων τὴν μνήμην ἀνενεώσατο. ὁ δὲ Ὠριγένης λέγει· „Πολλαχοῦ τῆς Γραφῆς εὑρήσεις τροπολογούμενον τὸ σῶμα εἰς ἀσκὸν, ὡς τό· „Οὐ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· οὐ γὰρ βούλεται ὁ λόγος τὰ νέα δόγματα εἰς τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης χωρεῖν, ἀλλ' εἰς τὸν ἀνακαινούμενον διὰ τῆς σωτηριώδους διδασκαλίας· ἐνέκρωσά μου, φησί, τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· τὴν θερμότητα τοῦ σώματος ἔψυξα τῷ θείῳ λόγῳ· οὐκέτι εἰμὶ θερμὸς πρὸς πρᾶξιν τῶν κατὰ τὴν κοιλίαν, ἢ πρὸς τὰ σωματικά. Καὶ ὁ Ἀθανάσιος· „Ἀσκὸς ἐν πάχνῃ γίνεται ὁ τὴν ἑαυτοῦ σάρκα κατατήξας, καὶ μηδὲν ἐν αὐτῇ πυρῶδες καὶ ἐπιθυμητικὸν ἐῶν, ἀλλ' ἀποψύχων ὥσπερ αὐτήν. Καὶ ὁ Θεόδωρος· „Ὁ τοῦ Θεοῦ λόγος πάχνη ὤν· (ἐπεὶ καὶ δρόσος καὶ ὑετὸς πολλαχοῦ λέγεται) καταψύχει μου τὸν ἀπὸ τῶν παθῶν ἀκόλαστον φλογμὸν, ὡς τὴν νέκρωσιν Ἰησοῦ φέρειν ἐν τῷ σώματί μου.

μῶν, φησιν, ἑβδομήκοντα ἔτη. (Ψαλ. πθ. 10) ἐπειδὴ λοιπὸν ὀλίγον καιρὸν ἔχω νὰ ζήσω, πότε θέλεις κάμεις κρίσιν εἰς ἐμένα ἀπὸ τοὺς ἐχθροὺς ἐκείνους, ὁποῦ με κυνηγοῦν; τόσον τοὺς ἀοράτους Δαίμονας, ὅσον καὶ τοὺς ὁρατοὺς ἀνθρώπους; θέλεις δὲ κάμεις ἐκδίκησιν, ὅταν ἀποστρέψῃς καὶ διώξῃς αὐτοὺς μακρὰν ἀπὸ λόγου μου. (1)

Ὅλαι, λέγει, αἱ ἐντολαί σου εἶναι ἀληθιναὶ, μὲ τὰς ὁποίας ἐπρόσταξες νὰ μὴν ἀδικῶ τινας. ἐπειδὴ δὲ ἐγὼ ἀδικοῦμαι, διὰ τοῦτο βοήθησόν μοι, μᾶλλον δὲ βοήθησαι καὶ ἐκδίκησον τοὺς ἀδίκους σου νόμους, οἵτινες παραβαίνονται ἀπὸ τοὺς ἀδίκους. τοῦτο δὲ τὸ ῥητὸν εἶναι διὰ τοὺς ὁρατοὺς ἐχθρούς. (3)

85: „ Διηγήσαντό μοι παράνομοι ἀδολε-
„ σχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου
„ Κύριε.

Οἱ παράνομοι, λέγει, ἄνθρωποι, ἐδιηγήθησαν εἰς ἐμένα φλυαρίας δογμάτων. ἀλλ᾽ αὐταὶ ἦτον ἐναντίον εἰς τὸν νόμον σου Κύριε. ἢ ἐδιηγήθησαν εἰς ἐμένα ληρῳδίας, μὲ τὰς ὁποίας ἑρμήνευαν τάχα τὸν νόμον σου. ἀλλ᾽ ὅμως αὐταὶ δὲν ἦτον σύμφωνοι μὲ τὸν νόμον σου. τοῦτο δὲ τὸ ῥητὸν ἠμπορεῖ νὰ λέγηται διὰ ὅλους ὁμοῦ τοὺς λόγους τῶν αἱρετικῶν. (2)

86: „ Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀ-
„ δίκως κατεδίωξάν με, βοήθησόν
„ μοι.

87: „ Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ
„ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς
„ ἐντολάς σου.

Ὀλίγον, λέγει, ἔλειψε νὰ με θανατώσουν οἱ ἐχθροί Κύριε, συντέλεια γὰρ λέγεται καὶ ἡ συμπλήρωσις τῆς ζωῆς. συνετέλεσαν λοιπόν: ἤγουν ἔκαμαν νὰ τελειώσῃ ἡ ζωή μου. ἢ συνέκλεισαν καὶ μὲ κατέστρεψαν εἰς τὴν γῆν. ἐγὼ ὅμως καὶ ἔτζι πάσχων, δὲν ἐχώρισα τὸν ἑαυτόν μου ἀπὸ τὴν μελέτην καὶ φύλαξιν τῶν ἐντολῶν σου. (4)

88: „ Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ
„ φυλάξω τὰ μαρτύρια τοῦ στόμα-
„ τός σου.

Ζω-

(1) Λέγει δὲ ὁ Ὠριγένης· „ Πᾶσαι αἱ ἀνθρώπιναι ἡμέραι ὀλίγαι εἰσίν· ἐπεὶ οὖν ὀλίγον χρόνον ζῶ ἐπὶ γῆς, βούλομαι ἰδεῖν τοὺς καταδιώκοντάς με κρινομένους· καὶ παρακαλῶ σε μὴ ὑπερθέσθαι· οἱ δὲ καταδιώκοντες ἡμᾶς, ὅ Σατανᾶς τε ἐστι καὶ τὰ πνευματικὰ τῆς πονηρίας· ὅταν δὲ ἡμᾶς καὶ ἄνθρωπος ὁρμῇ καταδιώκειν, ὁ πρώτως καταδιώκων οὐκ ἄνθρωπος ἐστιν, ἀλλὰ ὁ Διάβολος, οὗ μιμητὴς ἐστιν ὁ ἄνθρωπος.

(2) Ὅθεν καὶ ὁ θεῖος Κύριλλος εἶπεν· „ Ἀλλὰ καὶ ὁ νέος λαὸς ἀποπέμπεται τοὺς γραώδεις μύθους τῶν Ἰουδαίων, τὰς διδασκαλίας καὶ ἐντάλματα τῶν ἀνθρώπων· ἀλλὰ καὶ τὰς φλυαρίας τῶν σοφῶν τοῦ αἰῶνος τούτου, οὐδὲν ἐχούσας ἀληθές. λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Προσήκει ἡμῖν φυγεῖν, οὐ μόνον τοὺς Ἑλλήνων μύθους, καὶ τὴν Ἰουδαίων ἀπιστίαν, ἀλλὰ καὶ τῶν αἱρετικῶν τὰ βλάσφημα δόγματα. καὶ ὁ Ὠριγένης· „ Πολλοὶ ἑρμηνείαν ἐπιχειροῦσι τὰς θείας Γραφάς· ἀλλ᾽ οὐ πάντες λέγουσι καλῶς· σπάνιος γὰρ ὁ ἔχων ἀπὸ τοῦ Θεοῦ εἰς τοῦτο χάριν· πολλῶν μὲν ἐπαγγελλομένων λέγειν, οὐ καλῶς δὲ, ἀλλὰ παρανόμως βιούντων· οὕτι οὖν λέγουσιν οἱ τοιοῦτοι, ἀδολεσχία καὶ φλυαρία· οὐ γὰρ δύναται λόγος εὔτονος καὶ ἐῤῥωμένος καὶ σωτήριος εἶναι ἐν τῇ ψυχῇ τοῦ παρανόμου.

(3) Λέγει δὲ ὁ Ἀπολλινάριος· „ Οὐ τύπος, οὐδὲ σύμβολον αἱ ἐντολαί σου· ἀδίκως κατεδίωξάν με· ἐπειδὴ ἔςι δικαίως καταδιωχθῆναι καὶ ἀδίκως· δικαίως καταδιώκεται ὁ παρανόμως βιούς· ἀδίκως δὲ, ὁ δίκαιος καὶ ὁ φιλαλήθης, ἀνθρώποις ἐχθρὸς γινόμενος διὰ τὴν ἀλήθειαν.

(4) Συντελεσθῆναί ἐστιν ἐν τῇ γῇ κατὰ τὸν Δίδυμον, οὐ τὸ ἁπλῶς τεθνάναι, ἀλλὰ τὸ εἰς ὀλίγον ἔχειν ἐλθεῖν, ὥστε ἀπολέσαι γῆν, ὡς εἰς τέλος ἐλθεῖν τῇ κατ᾽ αὐτὴν ποιωθῆναι.

Ζωοποίησόν με, λέγει, Κύριε με τὸ ἔλεός σου, καθὸ εἶσαι ἐλεήμων. ἵνα ἐγὼ ὑπὸ τοῦ ἐλέους σου βοηθούμενος φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου, τὰ ὁποῖα σὺ μὲν ὑπαγόρευσας εἰς τὸν Μωϋσῆν, ἐκεῖνος δὲ τὰ ἔγραψε. (1)

89: „Εἰς τὸν αἰῶνα Κύριε, ὁ λόγος σου
„ διαμένει ἐν τῷ οὐρανῷ.
90: „Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά
„ σου· ἐθεμελίωσας τὴν γῆν, καὶ
„ διαμένει.

Πάντοτε, λέγει, τὸ πρόσαγμά σου Κύριε, διαμένει ἀσάλευτον εἰς τὸν οὐρανόν· δηλαδὴ τὸ περὶ τῆς τάξεως. διατὶ αὐτὸ συνέχει καὶ συγκρατεῖ τὸν οὐρανὸν εἰς τὴν τάξιν ἐκείνην, εἰς τὴν ὁποίαν ἐκτίσθη ἀπ' ἀρχῆς. ἀλλὰ καὶ ἡ ἀλήθεια τοῦ προστάγματός σου πάντοτε ἀληθεύει εἰς καθε γενεὰν, χωρὶς νὰ μετακινηθῇ ἡ τάξις ἐκείνη, ἥτις ὡρίσθη καὶ ἐνομοθετήθη ἀπ' ἀρχῆς. σὺ, λέγει, ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει ἀσάλευτος, καθὼς αὐτὴν διέταξας. (2)

91: „Τῇ διατάξει σου διαμένει ἡμέρα·
„ ὅτι τὰ σύμπαντα δοῦλα σά.

Μὲ τὴν διάταξιν, λέγει, καὶ πρόσαγμα τὸ ἐδικόν σου Κύριε, διαμένει ἡ ἡμέρα φυλάττουσα τὴν ἐδικήν σου τάξιν, καθὼς τὴν ἐπρόσαξας. αἴτιον δὲ τῆς τοιαύτης διαμονῆς εἶναι, διατὶ ὄχι μόνον ταῦτα ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ ἡμέρα εἶναι ἐδικοί σου δοῦλοι, ἀλλὰ καὶ ὅλα ὁμοῦ τὰ κτίσματα. ὅθεν πείθονται εἰς τὸ πρόσαγμα τοῦ δεσπότου των, καθὼς καὶ οἱ λογικοὶ δοῦλοι ὑποτάσσονται εἰς τοὺς αὐθέντας των. (3) κατὰ δὲ ὑψηλοτέραν θεωρίαν νοοῦνται τὰ ῥητὰ ταῦτα, ὅτι πάντοτε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, ἤγουν ἐν τοῖς Ἀγγέλοις. „Δυνατοὶ γὰρ φησιν ἰσχυΐ ποιοῦντες τὸν λόγον αὐτοῦ„ (Ψαλ. ρβ'. 20) διαμένει δὲ ἡ ἀλήθειά σου, τόσον εἰς τὴν γενεὰν τοῦ παλαιοῦ νόμου, ὅσον καὶ εἰς τὴν γενεὰν τοῦ νέου νόμου τοῦ Εὐαγγελίου. καὶ εἰς τοὺς δύω γὰρ νόμους ἀληθὴς ὁμολογεῖται ὁ λόγος τοῦ Θεοῦ. ἐθεμελίωσας δὲ τὴν γῆν ἤτοι τὴν Ἐκκλησίαν κατὰ τὸν Ὠριγένη, καὶ ἐστερέωσας αὐτὴν μὲ τὴν πίστιν τοῦ Εὐαγγελίου. ἡ γὰρ Ἐκκλησία, γῆ ἦτον πρότερον. καθότι ἐφρόνει τὰ γήϊνα, καὶ ἐκαταγίνετο εἰς τὰ γήϊνα· διὰ τοῦτο καὶ διαμένει αὐτὴ, καθὼς ἐστάθη

(1) Λέγει δὲ ὁ Θεοδώρητος· „Ταπεινοφροσύνη τὸν λόγον ἐκόσμησεν· οὐ γὰρ τῆς δικαιοσύνης ἀντίδοσιν ᾔτησε τὴν ζωὴν, ἀλλὰ δῶρον ἐλέου ταύτην λαβεῖν ἠντιβόλησε„ φυλάττειν ὑπισχνούμενος τοῦ Θεοῦ τὰ μαρτύρια.

(2) Κατὰ δὲ τὸν Ἀθανάσιον, Βασίλειον, καὶ Κύριλλον· „Λόγος ἐνταῦθα οὐκ ἔστι ῥῆμα διαλυόμενον, ἀλλ' ὡς ὁ ψάλλων φησίν· „Εἰς τὸν αἰῶνα μένει· καί μοι δοκεῖ αἰνιγματωδῶς ὑψηλοτέρων ὁ Προφήτης ἅπτεσθαι. κατὰ τὸν Θεόδωρον· οἶδα, φησιν, ὅτι ὁ σὸς λόγος, δι' οὗ τὰ πάντα ἐδημιούργησας, ἄνω ἐν τῷ οὐρανῷ τυγχάνων, διαμένει εἰς τὸν σύμπαντα αἰῶνα· ὥστε τοῦ ἀϊδίου λόγου τοῦ Πατρὸς μνημονεύει, τοῦ ἐν ἀρχῇ ὄντος, καὶ τῆς διακοσμήσεως τοῦ παντός· σαφῶς τε δούλην αὐτοῦ τὴν σύμπασαν κτίσιν ἀποκαλεῖ„. λέγει δὲ ὁ Θεοδώρητος· „Αἰνίττεται δὲ κατὰ τὸν Ἀθανάσιον ὡς τῶν Ἀγγέλων οἱ δῆμοι τὸν οὐρανὸν κατοικοῦντες, τὸν θεῖον διαφυλάττουσι νόμον, καὶ παραβάσεώς εἰσιν ἁπάσης ἐλεύθεροι. λέγει δὲ ὁ Ὠριγένης· „Εἰ θέλεις ἀκριβέστερον θεωρῆσαι τὸ εἰρημένον τῷ Προφήτῃ, ἐξέτασαί μοι τὰ οὐράνια καὶ τὰ ἐπίγεια· οὐδεμία παράβασις τῆς ἡλιακῆς ἀκτῖνος, ἀλλὰ τὸν δρόμον αὐτοῦ (ὁ ἥλιος) ἀπαραβάτως τηρεῖ· ἴδε καὶ τῆς σελήνης τοὺς δρόμους καὶ τὴν τάξιν, τὰ σχήματα· ἀνάβα μετὰ ταῦτα καὶ ἐπὶ τοὺς λοιποὺς ἀστέρας, καὶ τὴν λοιπὴν κτίσιν ὑπακούουσαν ἀπαρεγκλίτως τῷ λόγῳ τοῦ διακοσμήσαντος ξυνιέμενα. λέγει δὲ ὁ Δίδυμος· „Καλῶς δὲ εἶπεν εἰς τὸν αἰῶνα, καὶ οὐχὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων· μετὰ γὰρ τὸν αἰῶνα τοῦτον ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· γενεὰν δὲ καὶ γενεὰν ὀνομάζει ὁ Ἀνώνυμος καὶ ὁ Θεοδώρητος· „Τὴν προτέραν τῶν Ἰουδαίων, καὶ τὴν δευτέραν τῶν Ἐθνῶν. ὅσα γὰρ ἡ προτέρα γενεὰ τῶν Ἰουδαίων ἀπέβαλε τὴν ἀλήθειαν καὶ εἶπεν· „Αἶρε τοῦτον ἀπὸ τῆς γῆς„ τότε μεταβέβηκεν ἡ ἀλήθεια ἀπ' ἐκείνης τῆς γενεᾶς ἐπὶ ταύτην τὴν γενεάν.

(3) Λέγει δὲ καὶ ὁ Θεοδώρητος· „Πάντα γὰρ σοὶ δουλεύει„ καὶ τοῖς σοῖς νεύμασιν εἴκει· σὺ γὰρ ὁ Δημιουργὸς τῶν ὅλων· τὸ δὲ ἔργον, τοῦ ποιήσαντος δοῦλον.

διέταξας. πολλοὶ γὰρ πειρασμοὶ ἐλθόντες κατὰ τῆς Ἐκκλησίας, δεν ἐνίκησαν, οὔτε κατίσχυσαν αὐτήν. „Ἐπειδὴ πύλαι ᾄδου οὐ κατισχύσουσιν αὐτῆς. (Ματθ. ις. 18) διαμένει δὲ ἡ ἡμέρα: ἤτοι τὸ φῶς τῆς εὐσεβείας, τὸ ὁποῖον ἀνέτειλε διὰ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου, καὶ οὔτε διακόπτεται, οὔτε σβύνεται ἀπὸ τὴν δύναμιν τῶν ἀντικειμένων Δαιμόνων τε καὶ ἀνθρώπων. προφητικῶς δὲ λέγει ὁ Δαβίδ.

92: „Εἰμὴ ὅτι ὁ νόμος σου μελέτη μου „ἐστὶ, τότε ἂν απωλόμην ἐν τῇ ταπεινώσει μου.

Ἀνίσως, λέγη, καὶ ἐγὼ δὲν ἤθελα ἐλευθερωθῶ ἀπὸ τοὺς πειρασμοὺς, διατὶ εἶχον τὸν νόμον σου μελέτην μου, βέβαια ἔμελλον νὰ ἀποθάνω ἀπὸ τὴν ταπείνωσιν: ἤγουν ἀπὸ τὴν κακοπάθειαν, ὁποῦ ἔλαβον τότε. ἐπειδὴ καὶ οἱ πειρασμοὶ ἦλθον δυνατοὶ κατ᾽ ἐπάνω μου. (1)

93: „Εἰς τὸν αἰῶνα οὐμὴ ἐπιλάθωμαι „τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Εἰς ὅλον, λέγει, τὸν παρόντα αἰῶνα δὲν θέλω λησμονήσω τὰς ἐντολάς σου Κύριε. ἐπειδὴ καὶ δι᾽ αὐτὰς ἐζωοποίησας ἐμὲ, τὸν ἀποπνιγόμενον ἀπὸ τοὺς πειρασμούς. ἐλευθερώθην γὰρ ἐγὼ ἀπὸ τοὺς πειρασμοὺς, διατὶ εἶχον μελέτην ἐδικήν μου τὸν θεῖον νόμον σου. (2)

Μέση.

94: „Σός εἰμι ἐγὼ, σῶσόν με. ὅτι τὰ „δικαιώματά σου ἐξεζήτησα.

Εἶναι γεγραμμένον εἰς τὸν νόμον. „Ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς, (Λευϊ. ιη. 5.) ἐπειδὴ λοιπὸν, λέγει, ἐγὼ εἶμαι ἐδικός σου Κύριε, διὰ τοῦτο σῶσόν με ἀπὸ ἐκείνους ὁποῦ με ἐπιβουλεύονται. ἐδικός σου γὰρ εἶμαι, διατί

(1) Εἶπε δὲ ὁ Χρυσορρήμων σὺν τῷ Θεοδωρίτῳ· „Ταῦτα ἕκαστος ἂν εἴποι τῶν εὐσεβῶν περιπεσὼν συμφορᾷ· ὁ Ἰωσὴφ, δουλείαν καὶ μοιχείαν καὶ συκοφαντίαν φυγών· καὶ ὁ Δανιὴλ, εὔξασθαι κωλυθείς· καὶ οἱ νικηφόροι Μάρτυρες παντοδαπῆς τιμωρίας ὑπομείναντες εἴδη· εἰκότως δὲ ταῦτα ἔφη ὁ μακάριος Δαβὶδ, ἐξελαθεὶς μὲν ὑπὸ τοῦ Σαοὺλ, ἀλλοφύλοις δὲ καὶ δυσμενέσιν ἀνθρώποις συνδιάγειν ἀναγκαζόμενος· ἐκοινώνησε γὰρ ἂν τῆς ἀσεβείας, εἰμὴ τῶν θείων νόμων συμπεριέφερε τὴν μελέτην. λέγει δὲ καὶ ὁ Ἀπολλινάριος· „Ὁ καιρὸς τῶν πειρασμῶν καὶ τῶν περιστάσεων, ταπείνωσις ὀνομάζεται. Μακαρίου τοίνυν ἐστὶν ἀνδρὸς τὸ γενέσθαι ἐν τῇ ταπεινώσει καὶ μὴ ἀπολέσθαι. οἷον, ἐλήλυθα εἰς πειρασμὸν μαρτυρίου, εἰμὴν ὁ νόμος τοῦ Θεοῦ μελέτη μου ἦν ἀεὶ πρὸ τοῦ ἐμπεσεῖν, ἐλθὼν ἐπὶ τὴν ταπείνωσιν καὶ τὸν πειρασμὸν τοῦ μαρτυρίου, οὐκ ἀπόλλυμαι· οὕτως ἁρμόζει καὶ ἐπὶ παντὸς πειρασμοῦ εἰπεῖν· καὶ γὰρ τῶν πονηρῶν λογισμῶν καὶ ἀντικειμένων δυνάμεων πολεμουσῶν ἐμοὶ, εἶχον ἂν ἀπολέσθαι· εἰμὴ ὁ σὸς νόμος ἀντιστήριγμά μοι ἐγένετο.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „Μακάριος, ὃς τὴν φωνὴν ταύτην ἐν ἀληθείᾳ ἀναπέμπει πρὸς τὸν Θεὸν, καὶ ἐν τοῖς δικαιώμασιν αὐτοῦ βιοῖ ἐν τῷ κόσμῳ τούτῳ· ὁ γὰρ ἁμαρτωλὸς οὐ δύναται εἰπεῖν: „Εἰς τὸν αἰῶνα οὐμὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, παραβαίνων τὰς ἐντολὰς τοῦ Θεοῦ. καὶ ὁ Θεοδώριτος· „Τῇ γὰρ πείρᾳ μαθὼν ὁ Προφήτης λέγει· ὅτι ζωὴν τὰ σὰ δικαιώματα φύει· καὶ ἄσβεστον τούτων διατηρήσω τὴν μνήμην. ὁ δὲ Δίδυμος λέγει· „Ὥσπερ ὁ ἐκ μεγάλης νόσου διά τινων ἰατρικῶν βοηθημάτων ἀναλαβὼν ὑγείαν, οὐκ ἐπιλανθάνεται τῶν ἰατρικῶν ἐκείνων· οὕτως ὁ ἅγιος οὗτος ζωοποιηθεὶς ὑπὸ Θεοῦ, ἐν οἷς ἔσχε παρ᾽ αὐτοῦ δικαιώμασι, λέγει παρ᾽ ὅλον τὸν αἰῶνα μὴ ἐπιλανθάνεσθαι αὐτῶν, αἰτίαν ἀποδιδοὺς, τὸ ἐν αὐτοῖς τὸν Θεὸν αὐτὸν ἐζηκέναι: εἴτουν ζωοποιῆσαι. οὕτω γὰρ εἴρηκεν· „Ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς, ἀντὶ τοῦ δι᾽ αὐτά, (Λευϊ. ιη΄. 5.) λέγει δὲ καὶ ὁ Ἀθανάσιος· „Ἐν τοῖς σοῖς λόγοις, φησὶν, ἔσχον τὴν ζωήν· ζῶν οὖν ἐστὶ μόνος ὁ δίκαιος, κἂν τεθνηκέναι δοκῇ· νεκροὶ δὲ οἱ ἄδικοι, κἂν ζῆν φαίνωνται· ἐκεῖνοι μὲν γὰρ τὴν τῆς ζωῆς σύστασιν ἔχουσιν ἐν ἑαυτοῖς, τὴν δικαιοσύνην· οἱ δὲ ἄδικοι ταύτην οὐκ ἔχοντες, ταῖς οὐ παρ᾽ ἑαυτῶν, ἀλλ᾽ ἔξωθεν κινουμένοις ἀψύχοις ἐοίκασιν.

τὶ ἐκζητῶ τὰ θεῖά σου δικαιώματα καὶ ἐντολάς. (1)

95: „ Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀ-
„ πολέσαι με, τὰ μαρτύριά σου συ-
„ νῆκα,

Ἐμένα, λέγει, ἐπιβούλευσαν οἱ ἁμαρτωλοὶ καὶ ἐκαρτέρησαν εἰς τὸν δρόμον διὰ νὰ μὲ θανατώσουν· οἱ γὰρ ἐπιβουλεύοντες καὶ ἐνεδρεύοντες προσμένουσι καὶ καρτεροῦσι τὸν ἐνεδρευόμενον. ἐγὼ ὅμως συνετισθεὶς ἀπὸ λόγου σου, καὶ διδαχθεὶς τὰ μαρτύριάσου, παρηγοροῦμαι μὲ αὐτά. (2)

96: „ Πάσης συντελείας εἶδον πέρας·
„ πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ἐγώ, λέγει, ἐγνώρισα τὸ τέλος κάθε σπουδῆς καὶ τέχνης, τόσον τῆς τῶν ἀνθρώπων, ὅσον καὶ τῆς τῶν Δαιμόνων. διατὶ πλατεῖα πολλὰ εἶναι ἡ ἐντολή σου Κύριε. ἐπειδὴ δὲν στενοχωρεῖ τὸν νοῦν, ἀλλὰ πλατύνει αὐτὸν εἰς τὴν γνῶσιν. ἀπὸ ταύτην λοιπὸν καὶ ἐγὼ πλατυνθεὶς κατὰ τὸν νοῦν, ἐγνώρισα κάθε τέχνης καὶ κινήσεως τὸ τέλος. ἢ νοεῖται καὶ ἄλλως, ὅτι ἐγὼ ἐγνώρισα τὸ τέλος κάθε καταστροφῆς. συντέλεια γὰρ λέγεται καὶ ἡ καταστροφή, κατὰ τὸν Δίδυμον. ἤτοι ποῖον μὲν εἶναι τὸ τέλος τοῦ θανάτου τοῦ ἁμαρτωλοῦ. εἶτα ἀναγινώσκεται τὸ ἑξῆς. πλατεῖα ἡ ἐντολή σου σφόδρα. ἡ ἐντολή σου, λέγει, Κύριε, πλατύνει μὲν ἐκεῖνον, ὁποῦ εὑρίσκεται καὶ ζῇ εἰς στενοχωρίαν θλίψεως, κατὰ τὸν Εὐσέβιον. δὲν προξενεῖ δὲ στενοχωρίαν καὶ ταλαιπωρίαν εἰς τοὺς αὐτὴν ἐργαζομένους: ἀγκαλὰ καὶ αὐτὴ φαίνεται εἰς τοὺς ἀμελεῖς κοπιαστικὴ καὶ ἐπίμοχθος. (3)

97: „ Ὡς ἠγάπησα τὸν νόμον σου Κύ-
„ ριε. ὅλην τὴν ἡμέραν μελέτη μου
„ ἐστιν.

Πολ-

(1) Κατὰ τὸν Θεοδώρητον· „ Οὐ πάντες κεχρῆσθαι τῇ φωνῇ δυνάμεθα· ψεύδεται γὰρ τῆς ἁμαρτίας ὁ δοῦλος τοῦ Θεοῦ ἑαυτὸν ὀνομάζων· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται· ἐὰν τοίνυν ἐκείνης ἀπαλλαγέντες, τοὺς θείους προελώμεθα νόμους, καὶ διὰ τῶν κατὰ Θεὸν ὁδεύσωμεν ἐννοιῶν καὶ λόγων καὶ πράξεων, τότε ἐροῦμεν τῷ Θεῷ· σός εἰμι· πόθεν δῆλον; ὅτι τὰ σὰ τηρῶ δικαιώματα· ὁ δὲ τοιοῦτος ὑπὸ τῶν ἁμαρτωλῶν ἐπιβουλεύεται, ἀφ' ὧν ἄξιοι σώζεσθαι· κατὰ διαφόρους δὲ τρόπους ἔστιν ἀκοῦσαι τὸ σός εἰμι, κατὰ τὸν Εὐσέβιον, καὶ Ἀθανάσιον· δύναται γὰρ καὶ ὡς δοῦλος λέγειν δεσπότῃ, σός εἰμι· καὶ ὡς υἱὸς πατρί· καὶ ὡς πρόβατον ποιμένι· πλὴν ἀλλὰ κατὰ πάντας τοὺς τρόπους δυσωπεῖ τὸν Θεὸν λέγων· φύλαξον σαυτῷ τὸ σὸν κτῆμα· κατὰ γὰρ τὸν Ἀθανάσιον, προσυπακούεται ἔξωθεν, ὅτι σός εἰμι δοῦλος, ἢ υἱὸς κατὰ χάριν, ἢ θεράπων. λέγει δὲ καὶ ὁ Χρυσόστομος· „ Εἶ τοῦ Θεοῦ τυγχάνεις, τὰ τοῦ Θεοῦ πράττε· αὐτῷ μόνῳ στρατεύου· ἐκζήτει τὰ παρ' αὐτοῦ δικαιώματα· μηδὲν ἐπιζήτει βιωτικόν, μηδὲ γήϊνον· οὐδεὶς γὰρ δυσὶ κυρίοις δουλεύειν δύναται, Θεῷ καὶ μαμμωνᾷ· οὐδεὶς φιλίαν μετὰ τυράννου καὶ βασιλέως ἔχει· μόνου τοίνυν γενώμεθα τοῦ Θεοῦ, τῆς τοῦ κόσμου φιλίας (ἔχθρα γὰρ αὕτη ἐστὶν εἰς Θεὸν) ἀποσχόμενοι· καὶ τότε πρὸς αὐτὸν σὺν παῤῥησίᾳ ἐροῦμεν· σός εἰμι ἐγώ· σῶσόν με· ὁ δὲ, ἔτι σου λαλοῦντος, ἐρεῖ· ἰδοὺ πάρειμι.

(2) Ὁ δὲ Θεοδώρητος λέγει· „ Τὸ ὑπέμειναν, προσεδόκησαν ὁ Σύμμαχος, καὶ ὁ Θεοδοτίων εἰρήκασιν· ἐκεῖνοι μὲν, ἤλπισάν με παραδοῦναι θανάτῳ, ἐγὼ δὲ, τοῖς σοῖς προσέχων μαρτυρίοις, τὴν ἐντεῦθεν ἐκαρπούμην ζωήν.

(3) Ὁ δὲ Σύμμαχος εἶπε· „ Πάσης κατασκευῆς εἶδον πέρας· εὐρύχωρος ἡ ἐντολή σου σφόδρα· πάντα, φησίν, ὁ Θεοδώρητος, τὰ ἀνθρώπινα, πλοῦτος καὶ πενία καὶ δυναστεία, ἡγεμονίαι καὶ στρατηγίαι· καὶ τυραννίδες καὶ βασιλεῖαι· τέλος ἔχουσι, καὶ τέλος ταχύ· ἡ δὲ σὴ ἐντολὴ πλατεῖά ἐστι καὶ ἀνώλεθρος. καὶ τοῖς φυλάσσουσι προξενεῖ τὸν ἀπέραντον ἐκεῖνον καὶ αἰώνιον βίον, καὶ τὰ ἀγαθὰ τὰ μεταβολὴν οὐδεμίαν δεχόμενα. λέγει δὲ καὶ ὁ Ἀθανάσιος· „ Συντέλειαν τὴν ἐπιβουλήν φησι, τὴν παρὰ τῶν Δαιμόνων· ταύτης εἶδον τὸ πέρας ἐκβὰν εἰς οὐδέν· ὅτε καὶ πλατεῖά μοι γέγονεν ἡ ἐντολὴ πορευομένῳ· εἰ γὰρ τὴν στενήν τις ὁδεύει καὶ τεθλιμμένην ὁδὸν, ἐν τῷ πλάτει τῶν ἐντολῶν

Πολλά, λέγει, καὶ μὲ ὑπερβολὴν ἠγάπησα τὸν νόμον σου Κύριε, καὶ ὅλην τὴν ἡμέραν μελετῶ εἰς αὐτόν· ἤτοι καθ' ἡμέραν, ποτὲ μὲν ἀναγινώσκων τας αὐτόν, ποτὲ δὲ πράττων καὶ ἐργαζόμενος αὐτόν, ποτὲ δὲ καὶ νοῶν αὐτὸν καὶ συλλογιζόμενος. (1)

98: „ Ὑπὲρ τοὺς ἐχθρούς σου ἐσόφισάς
„ με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν
„ αἰῶνα ἐμή ἐστιν.

Ἐχθροὶ ἐκεῖνων, ὁποῦ φυλάττουσι τὰς ἐντολὰς τοῦ Θεοῦ, εἶναι ἐκεῖναι, ὁποῦ δὲν τὰς φυλάττουσι. περισσότερον λοιπὸν, λέγει, καὶ βαθύτερον ἀπὸ αὐτοὺς ἐδίδαξας ἐμένα τὴν ἐντολήν σου Κύριε. διατὶ αὐτὴ εἶναι ἠγαπημένη εἰς ἐμέ. ὅθεν ἐκεῖνοι μὲν, ἀδικοῦσιν ἐμένα. ἐγὼ δὲ αὐτοὺς δὲν ἀδικῶ ἀμοιβαίως, μὲ τὸ νὰ εἶμαι διδαγμένος σοφώτερα ἀπὸ αὐτούς. (2)

99: „ Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με
„ συνῆκα, ὅτι τὰ μαρτύριά σου με-
„ λέ-

λῶν πορεύεται· οὐδεὶς γὰρ ἐν ἐντολῇ Θεοῦ περιπατῶν στενοχωρεῖται, μεγαλόψυχος ϗ μεγαλόνους γινόμενος ἐκ τοῦ περιέπειν αὐτήν· ἐμοὶ οὖν, φησι, πλατεῖα ἡ ἐντολή σου γέγονε, διὰ τὴν κατόρθωσιν αὐτῆς· ὁ μὲν γὰρ τὴν ἐναντίαν βαδίζων ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ϗ ἐν κακίᾳ ἐξεταζόμενος, στενὴν ἡγεῖται ϗ τεθλιμμένην εἶναι τὴν κατόρθωσιν τῶν ἐντολῶν τοῦ Θεοῦ· ὁ δὲ ἐν ἀρετῇ τέλειος γεγονὼς, ἀκοπιάστως λοιπὸν τὴν ἐντολὴν τοῦ Θεοῦ φυλάσσει· διὸ ϗ αὐτῷ πλατεῖαν εἶναί φησι ταύτην, κατὰ δὲ τὸν Κύριλλον· „ Πάσης συντελείας εἶδον πέρας: τουτέστι πάσης πράξεως, πρὸ τῆς ἀρχῆς τὸ τέλος ἠρεύνησα, ϗ προεσκεψάμην, οὗ ἥκει, ϗ εἰς οἷον πέρας φέρει· τὸ δὲ πλατεῖα ἡ ἐντολή σου φησι, τὴν τοῦ νόμου στενότητα διασύρων· στενὸς γὰρ ὁ νόμος· ἡμεῖς δὲ πλατυνόμεθα διὰ πίστεως ϗ ἀγάπης μονονουχὶ περιφύντες Χριστῷ, ϗ κατευθύνεται μικρῷ ϗ μεγάλῳ τῆς εὐδοκιμήσεως ἡ ὁδὸς, ἑκάστου καρποφοροῦντος κατὰ τὸ μέτρον τῆς ἑαυτοῦ δυνάμεως· ἀποδέχεται γὰρ ὁ Θεὸς τὴν πνευματικὴν εὐανδρίαν, τὴν ἐγκράτειαν, τὴν ὑπομονὴν, ϗ τὰς λοιπὰς ἀρετάς. λέγει δὲ ϗ ὁ Τιμόθεος· „ Εἰ ϗ τῆς ἀρετῆς ἓν τέλος τὸ μετὰ πᾶσαν προκοπὴν ἐγγινόμενον, ἀλλ' οὖν γε ϗ ἑκάστης προκοπῆς ἔστι τις συντέλεια· ὁ οὖν διὰ πάσης προκοπῆς ἀφιγμένος εἰς τὸ τέλος τῆς ἀρετῆς, ἐρεῖ· πάσης συντελείας εἶδον πέρας, τοῦ ἐπὶ τὸ τέλειον ἀγαθὸν διαβαίνοντος πολλὰς ἀρχὰς ϗ τέλη καταβαλλομένου· τῆς γὰρ προτέρας προκοπῆς ἡ περιγραφὴ, ἀρχὴ τῆς ἐχομένης ἐστί· ϗ τὸ ἐκείνης τέλος, στοιχεῖον τῆς ἑπομένης· ὅθεν εἴρηται· „ Ὅταν συντελέσῃ ὁ ἄνθρωπος, τότε ἄρχεται· ϗ ὅταν καταπαύσηται, τότε ἀπορηθήσεται. (Σειρ. ιη'. 7.) ὡσὰν νὰ λέγῃ με τὰ λόγια ταῦτα ὁ Δαβὶδ, ὅτι ἐγὼ ἔφθασα εἰς τὸ τέλος κάθε πνευματικῆς προκοπῆς ϗ ἀρετῆς, ἡ ἐδική σου ὅμως ἐντολὴ Κύριε, εἶναι πλατεῖα ϗ τέλος δὲν ἔχει· ὅθεν οὐδὲ ἐγὼ ἐδυνήθην νὰ φθάσω εἰς τὴν αὐτῆς τελειότητα· ὅσον γὰρ ζητεῖ ὁ ἄνθρωπος νὰ γένῃ τέλειος εἰς τὰς ἐντολὰς, τοσοῦτον βλέπει τὸν ἑαυτόν του δοῦλον ἀχρεῖον, ϗ μακρὰν ὄντα τῆς τελειότητος ἐκείνων.

(1) Λέγει ὁ Θεοδώρητος· „ Οὐ πᾶς δὲ τὸν θεῖον νόμον πληρῶν ἀγαπῶν τοῦτον πληροῖ· ἀλλ' οἱ μὲν, δέει ϗ φόβῳ τῆς τιμωρίας· οἱ δὲ, δόξαν παρὰ ἀνθρώποις θηρώμενοι· οἱ δὲ γνήσιοι τῆς ἀρετῆς ἐρασταὶ, τῇ περὶ τὰ ἀγαθὰ διαθέσει πληροῦν ἐπείγονται τὰ θεῖα προστάγματα. Καὶ ὁ Θεόδωρος· „ Ἀπόδειξιν τῆς τοῦ θείου νόμου ἀγάπης, τὴν μελέτην αὐτοῦ τὴν πανημέριον ἔταξεν· ἀκριβὴς γὰρ ϗ ἀγάπης ϗ ἀναμφιβολίας ἔλεγχος, τὸ πᾶσαν ἡμέραν τῷ ἀγαπωμένῳ σχολάζειν ϗ προσκαθέζεσθαι, ὥστε πρὸς μηδὲν ἕτερον ὁρᾶν, νεκρὸν δὲ εἶναι πᾶσι, ϗ νεκρὰ ἡγεῖσθαι τὰ πάντα, ἵνα τοῦ ἀγαπωμένου διηνεκῆ τις τὴν ἀπόλαυσιν κτήσηται· ὥστε οἱ παρέργως μελετῶντες τὰ νόμιμα, οὐκ ἐξ ἀγάπης αὐτὰ τοῦ νόμου μελετῶσιν, ἀλλ' ἐπιδείξασθαι τοῖς ἀνθρώποις βουλόμενοι. ϗ ὁ Ὠριγένης· „ Μελετᾶται ὁ νόμος οὐκ ἐν λέξεσι, ϗ φωναῖς μόνον, ἀλλὰ ϗ ἐν πράξεσιν· ὅτε γὰρ ἀναγινώσκει τις νοῶν τὰ λεγόμενα ϗ πράττων αὐτὰ, μὴ παραλιπὼν ἔν τινι πράξει, ἀλλ' ἐν πᾶσι ποιῶν, ὃ βούλεται ὁ νόμος· οὗτος ϗ λέγων ἃ ἀναγινώσκων ϗ πράττων μελετᾷ τὸν τοῦ Θεοῦ νόμον· ὅθεν ϗ λέγεται· „ Ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν· ὁ μὲν οὖν ἀρχόμενος, ἢ ϗ προκόπτων, μελετᾷ τὸν νόμον ἡμέρας ϗ νυκτός· ὁ δὲ τετελειωμένος οὐκ ἔστιν ἐν νυκτὶ, ἀλλ' ἐν ἡμέρᾳ· ὡς ὁ Παῦλός φησιν· ἡ νὺξ προέκοψεν ἡ δὲ ἡμέρα ἤγγικε· ϗ „ Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν. ὁ δὲ Δίδυμος λέγει τὸ, ὅλην τὴν ἡμέραν δυνάμεθα νοεῖν, ἀντὶ ἐν ὅλῳ τῷ τῆς ζωῆς ἡμῶν χρόνῳ.

(2) Λέγει δὲ ὁ Θεοδώρητος· „ Θερμῶς τὸν θεῖον ἀγαπᾶν ὁ Προφήτης ὁμολογήσας νόμον, τῇ θείᾳ χάριτι τὸ πᾶν ἀνατίθησι· παρὰ σοῦ γὰρ, φησι, σοφίαν ϗ γνῶσιν δεξάμενος, τὸν σὸν ἔστερξα νόμον· πλείονα γάρ μοι τῶν ἐχθρῶν εἴδησιν ἔδωκας. ὁ δὲ Ὠριγένης, ἐχθροὺς λέγει τοὺς Ἰουδαίους· ὑπὲρ τούτους γὰρ ὁ Χριστιανὸς ἐσοφίσθη τὴν ἐντολὴν τοῦ Θεοῦ, πνευματικῶς τὸν νόμον νοῶν ϗ φυλάττων.

μελέτη μου ἐστίν.

Ἐγὼ, λέγει, καὶ ἀπὸ αὐτοὺς τοὺς διδασκάλους μου ἔγινα συνετώτερος. διατὶ ἔχω μελέτην μου συνεχῆ τὸν νόμον σου, ὁ ὁποῖος ἠξεύρει νὰ φωτίζῃ καὶ νὰ σοφίζῃ τὸν ἄνθρωπον. (1)

100: „ Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι „ τὰς ἐντολάς σου ἐξεζήτησα.„

Ἐγὼ, λέγει, ἔγινα συνετώτερος καὶ σοφώτερος ἀπὸ ἐκείνους, ὁποῦ εἶναι παλαιότεροι ἀπὸ ἐμένα κατὰ τοὺς χρόνους καὶ τὴν ἡλικίαν. φανερώνει δὲ ὁ Δαβὶδ μὲ τὰ λόγια ταῦτα τὸν Σαοὺλ, τὸν παλαιότερον ὄντα ἀπὸ αὐτὸν, κατὰ τὸν Θεοδώρητον. τοιοῦτος δὲ ἔγινε καὶ ὁ Δανιὴλ, ὁ ὁποῖος συνῆκε καὶ ἐδιάκρινε τὴν κρίσιν τῆς Σωσάννης, περισσότερον ἀπὸ τοὺς πρεσβυτέρους αὐτοῦ Ἰουδαίους· αἴτιον δὲ, λέγει, τῆς τοιαύτης συνέσεως ἔγινεν εἰς ἐμένα, ἡ ἐκζήτησις τῶν θείων ἐντολῶν σου Κύριε· ἤτοι ἡ ἀκριβὴς ἔρευνα καὶ φύλαξις αὐτῶν. ταῦτα δὲ τὰ λόγια ἠμποροῦν νὰ λέγωνται καὶ ἐκπροσώπου τοῦ νέου λαοῦ τῶν Χριστιανῶν. τούτων γὰρ ἐχθροὶ ἦτον οἱ Ἰουδαῖοι, οἵτινες πάντοτε πολεμοῦσι τοὺς Χριστιανούς. διδάσκαλοι δὲ τῶν Χριστιανῶν ἐστάθησαν οἱ αὐτοὶ Ἰουδαῖοι. ἐπειδὴ αὐτοὶ πρῶτοι διὰ τῶν Ἀποστόλων ἐδίδαξαν τοὺς ἐξ Ἐθνῶν πιστεύσαντας Χριστιανοὺς περὶ τοῦ μόνου Θεοῦ, καὶ ἔδωκαν τὰ βιβλία τοῦ νόμου καὶ τῶν Προφητῶν εἰς αὐτούς. οἱ αὐτοὶ δὲ Ἰουδαῖοι εἶναι καὶ πρεσβύτεροι τῶν Χριστιανῶν, καθὼς γέγραπται. „ Υἱὸς πρωτότοκός μου Ἰσραὴλ (Ἐξ. δ. 22) περισσότερον λοιπὸν ἀπὸ τοὺς Ἰουδαίους ἐσοφίσθημεν ἡμεῖς οἱ Χριστιανοὶ τὸν νόμον τοῦ Θεοῦ. ἐπειδὴ καὶ σοφώτερα ἀπὸ αὐτοὺς νοοῦμεν τὸ κεκρυμμένον νόημα τοῦ νόμου. ὅθεν ἀκολούθως καὶ περισσότερον ἀγαπῶμεν τὸν θεῖον νόμον αὐτόν. καὶ διὰ ὅλα τὰ ἄλλα, μάλιστα δὲ διατὶ αὐτὸς ἐπροφήτευε τὰ περὶ τοῦ Χριστοῦ. (2)

101: „ Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυ- „ σα τοὺς πόδας μου, ὅπως ἂν φυ- „ λάξω τοὺς λόγους σου.

(1) Λέγει δὲ ὁ Ὠριγένης· „ Αἱ θεῖαι Γραφαὶ τῶν Ἰουδαίων ἦσαν πρῶτον, οἷς ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ· ἐκεῖνοι διδάσκαλοι ἐπαγγέλλονται γεγονέναι, ἅτε πρῶτοι παραλαβόντες νόμον ϗ Προφήτας· ἡμεῖς οὖν οἱ ἀπὸ τῶν Ἐθνῶν λέγομεν· ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα· διατὶ δέ; ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστί· καινὰ εὑρίσκω μαρτύρια παρὰ τὰ πολλάκις εἰρημένα μαρτύρια· μελέτη μου γάρ ἐστι τὰ μαρτύρια Ἰησοῦ Χριστοῦ· παρεδεξάμην γὰρ αὐτὰ τὰ μαρτύρια· ϗ διὰ τοῦτο ἐγὼ ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα. Καὶ ὁ Εὐσέβιος· „ Εἰ δὲ λέγοι που ὁ Σωτήρ· „ Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· λεκτέον, ὅτι ταῦτα εἴρηται τῷ Σωτῆρι προδιαστειλαμένῳ ϗ φήσαντι προσδιωρισμένως· „ Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ διδάσκαλος ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ὡς πρὸς ἐκεῖνον οὖν τὸν διδάσκαλον, οὐκ ἔστι μαθητὴς κρείσσων· οἱ δὲ ἐνταῦθα δηλούμενοι πολλοὶ διδάσκαλοι, ἕτεροι τυγχάνουσιν, ὧν πολλάκις ὁ μαθητὴς κρείττων γίνεται διὰ πλείονος ϗ συνεχοῦς τῆς περὶ τοὺς θείους λόγους ἀσκήσεως.

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „ Βασιλέων ἴδιον τὸ διδάσκειν, τὸ δὲ διδάσκεσθαι τῶν ἀρχομένων· ἐβασίλευσε τοίνυν ὁ Σαούλ· πρεσβύτερος δὲ ἦν τῷ χρόνῳ· ἀλλ᾽ ὅμως οὔτε ἡ ἐξουσία τῆς βασιλείας, οὔτε τῆς ἡλικίας ὁ χρόνος σωφρονεῖν αὐτὸν παρεσκεύαζεν· ἀλλὰ τὸν εὐεργέτην ἀνελεῖν ἐπεχείρει· ὁ δὲ μέγας Δαβὶδ τοῖς ὑποτεταγμένοις ἔτι συντεταγμένος, ϗ νέαν ἄγων τὴν ἡλικίαν, φιλοσοφίαν ἠγάπησε. λέγει δὲ ὁ Ὠριγένης· „ Ὅτι οὓς εἶπεν ἀνωτέρω διδάσκοντας, τούτους λέγει νῦν πρεσβυτέρους. ὁ δὲ Ἀνώνυμος λέγει· „ Ἠσαῦ πρεσβύτερος ἦν τοῦ Ἰακώβ, ἡ εὐλογία ἀπέκειτο τῷ Ἠσαῦ· ἀλλ᾽ ἐγὼ ὁ Χριστιανὸς, ὡς ἄλλος Ἰακώβ, ἀκούσας ὡς ἄλλης Ῥεβέκκας τῶν ὑποθηκῶν τῆς πνευματικῆς μητρός μου τῆς Ἐκκλησίας, ἢ ϗ τῆς ἄνω Ἱερουσαλήμ, ἥτις ἐστὶ μήτηρ ἡμῶν· ἐνδύομαι τὴν καλὴν στολὴν τοῦ Ἠσαῦ: ἤτοι τοῦ παλαιοῦ λαοῦ τῶν Ἰουδαίων· (ἐπειδὴ ἐκεῖνος καταλιπὼν τὰς ἡμέρους διατριβὰς, ἐξῆλθεν ἐπὶ τὰ θηρία.) στολὴ δὲ αὐτοῦ καλὴ, ὁ νόμος ϗ οἱ Προφῆται· ϗ οὕτως ἐνδυθεὶς, προσέρχομαι τῷ πνευματικῷ μου Πατρὶ Χριστῷ, ϗ προσφέρω αὐτῷ τροφὰς ἡμέρους· ἐρίφους ἁπαλοὺς ϗ καλούς· τρέφεται γὰρ ὁ Πατήρ μου ταῖς ἡμέροις, ϗ οὐ ταῖς ἀγρίαις τροφαῖς· ϗ οὕτω λαμβάνω τὰς εὐλογίας τοῦ πρωτοτόκου λαοῦ· ϗ συνῆκα ἐγὼ ὑπὲρ τὸν πρεσβύτερον.

„ λάξω τοὺς λόγους σου.

Ἐγὼ, λέγει, ἐμπόδισα τοὺς πόδας μου ἀπὸ τὸ νὰ περιπατοῦν εἰς κάθε στράταν πονηράν. τοῦτο δὲ ἐποίησα διὰ νὰ μὴ παραβῶ τὰς ἐντολάς σου Κύριε, αἱ ὁποῖαι προστάζουσι τοῦτο: τὸ νὰ μὴ περιπατῇ δηλαδὴ τινὰς εἰς τὴν στράταν τῆς πονηρίας. (1)

102: „ Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέ-
„ κλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Δὲν ἐξέκλινα, λέγει, οὐδὲ τὸ παραμικρὸν ἀπὸ τὰς ἐντολάς σου Κύριε. διατὶ ὄχι ἄνθρωπος, ἀλλὰ σὺ ὁ ἴδιος Θεὸς ἐνομοθέτησας εἰς ἐμένα ταύτας τὰς ἐντολάς σου. ὅθεν καὶ φοβούμενος ἐσένα, δὲν ἐπαρατράπηκα ἀπὸ αὐτάς. ἀδιάφορος δὲ εἶναι ἡ σύνταξις τοῦ ἐνομοθέτησας, διατὶ, ἀντὶ νὰ εἰπῇ μὲ δοτικὴν, ἐνομοθέτησάς μοι, εἶπε μὲ αἰτιατικὴν ἐνομοθέτησάς με.

103: „ Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ
„ λόγιά σου, ὑπὲρ μέλι τῷ στόμα-
„ τί μου.

Πολλὰ γλυκὰ εἶναι, λέγει τὰ λόγιά σου Κύριε, τόσον εἰς τὸν αἰσθητόν μου λάρυγγα καὶ εἰς τὸ αἰσθητόν μου στόμα, ὅσον καὶ εἰς τὸν νοητὸν λάρυγγα καὶ στόμα τῆς ψυχῆς μου. διατὶ, ἀπὸ μὲν τὸν αἰσθητόν μου λάρυγγα καὶ τὸ στόμα μου, λαλοῦνται τὰ θεῖα λόγιά σου. ἀπὸ δὲ τὸν νοητὸν τῆς ψυχῆς μου, ταῦτα νοοῦνται· φανερώνει δὲ μὲ τὰ λόγια αὐτὰ ὁ Δαβὶδ τὴν ἡδονὴν ὁποῦ εἶχεν εἰς τὰ λόγια τοῦ Θεοῦ, ἡ ὁποία προξενεῖται εἰς ἐκείνους, ὁποῦ ἔχουν ὑγιῆ καὶ ἐῤῥωμένα τὰ αἰσθητήρια τῆς ψυχῆς. ἐπειδὴ εἰς τοὺς ἔχοντας κακὸν στόμαχον, φαίνεται καὶ τὸ γλυκὺ μέλι πικρὸν, κατὰ τὴν κοινὴν παροιμίαν. (2)

104: „ Ἀ-

(1) „ Οὐδὲ γὰρ δυνατὸν, κατὰ τὸν Θεοδώριτον, δύο κατὰ ταυτὸν ὁδεύειν ὁδοὺς, ἀκολασίαν καὶ σωφροσύνην, δικαιοσύνην καὶ ἀδικίαν· ἀλλὰ δεῖ τὰς ἐναντίας φυγεῖν, καὶ τὴν εὐθεῖαν ὁδεῦσαι· οὕτω γὰρ οἷόν τε γενέσθαι τῶν θείων φύλακας νόμων· τοῦτο γάρ ἐστι τὸ φυλάξαι τὸν θεῖον νόμον, τὸ ἔργοις αὐτὸν ἐκπληρῶσαι. Καὶ ὁ Ὠριγένης· „ Πονηρὰς ὁδοὺς ὁδεύομεν, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς· τελείων δέ ἐστιν ἡ φωνὴ αὕτη ἡ προφητική· ὅσον γὰρ ἔτι ἁμαρτάνομεν, ταύτην λέγειν οὐ δυνάμεθα· ἐκ γὰρ τοῦ κωλύειν τοὺς πόδας ἡμῶν ἐκ πάσης ὁδοῦ πονηρᾶς, φυλάξομεν τοὺς λόγους τοῦ Θεοῦ· ποίους λόγους; τοὺς ἐν τῷ νόμῳ, νοήσαντες αὐτοὺς πνευματικῶς, καὶ ἐπιγινώσκοντες τὸν δι' αὐτῶν κρυπτόμενον Ἰησοῦν Χριστόν· ἐμφαίνει δὲ τὸ ἐλεύθερον τῆς προαιρέσεως τὸ, ἐκώλυσα τοὺς πόδας μου· ὡς γὰρ ἐπ' αὐτῷ ὄντος τοῦ κινεῖν τοὺς πόδας εἰς τὸ βαδίζειν, ἢ καὶ κωλύειν αὐτοὺς, εἶπε τοῦτο. λέγει δὲ καὶ ὁ Δίδυμος· „ Ὁδοὶ πονηραὶ, ὅσαι πρὸς πονηρίαν ἄγουσιν· ὁδὸς πονηρὰ ἀσωτία καὶ μέθη· ἐπειδὴ πρὸς πορνείαν χειραγωγοῦσιν ἑκάτεραι· ὁδὸς πονηρὰ, ὁ θυμός· ἐπειδὴ πότε πρὸς φόνον, καὶ πότε πρὸς βλασφημίαν ἐξάγει· καὶ τὰ ὅμοια τούτοις.

(2) Οὐχ' οὕτως ἡδύνει μου, φησὶν ὁ Θεοδώριτος, τὴν τοῦ στόματος αἴσθησιν ἡ γλυκύτης τοῦ μέλιτος, ὡς εὐφραίνει μου τὴν ψυχὴν ἡ τῶν θείων λογίων μελέτη· τὸν μέντοι λάρυγγα τέθεικεν, ὡς ὄργανον ὄντα φωνῆς· διὰ φωνῆς δὲ ἡ μελέτη· τούτοις δὲ ἡ ψυχὴ κεχρημένη, τὴν ἐντεῦθεν καρποῦται ὠφέλειαν. Ἄλλος δὲ λέγει· „ Ἡ χάρις τῶν γεγραμμένων φυσικῶς ἔχει τὸ εὐπαράδεκτον· καὶ πάσῃ καρδίᾳ προσηνές τε καὶ φίλον τῶν τὸ ἀληθὲς τοῦ πιθανοῦ προτιμώντων· καθὰ καὶ ὁ ψαλμῳδὸς ἐμφαντικώτατα τὸ ἐκ τῆς ἀληθείας ἡδὺ παριστῶν, ὡς γλυκέα, φησὶ, τῷ λάρυγγί μου τὰ λόγιά σου· μέλι γὰρ ὥσπερ ψυχαῖς, σοφὸς καὶ ὠφέλιμος λόγος, καὶ τὴν ἐκ φαυλότητος πικρίαν ἀφανίσαι δυνάμενος. λέγει δὲ καὶ ὁ Ἀθανάσιος· „ Γλυκέα τὰ λόγια τοῦ Θεοῦ, διὰ τὴν ἐπ' αὐτοῖς λογικὴν τέρψιν· ἀλλ' ὑπὲρ μέλι, τῶν παρ' ἀνθρώποις πάντων ἡδέων δι' αὐτοῦ δηλουμένων. καὶ ὁ Ἀπολλινάριος· „ Ὥσπερ τὸ ὑγιαῖνον αἰσθητήριον ἀντιλαμβάνεται τῆς τοῦ μέλιτος γλυκύτητος· ὁ δὲ νοσῶν καὶ πυρέττων πικράζεται μᾶλλον ὑπ' αὐτοῦ· τὸν αὐτὸν τρόπον, ἐὰν ὑγιαίνῃ σου τὸ νοερὸν τῆς γεύσεως αἰσθητήριον, γλυκάζεται τῷ λόγῳ τοῦ Θεοῦ· ἐὰν δὲ νοσῇ, οὐκ ἀποδέχῃ αὐτὸν, οὐδὲ γλυκάζῃ· διὰ τοῦτο εἴρηται· „ Εἰς ὦτα ἄφρονος μηδὲν λέγε· μή ποτε μυκτηρίσῃ τοὺς συνετοὺς σου λόγους. (Παρ. κγ'. θ.) Καὶ ὁ Δίδυμος, μέλι τὴν παιδείαν ἐκόμαζει τὴν ἔξω-

104: „ Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα·
„ διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀ-
„ δικίας.

Ἐγώ, λέγει, ἐσοφίσθηκα ἀπὸ τὰς ἐντολάς σου, καὶ ἔγινα συνετώτερος. διὰ τοῦτο ἐκ τῆς συνέσεως ταύτης ἀπεστράφηκα καὶ ἐμίσησα κάθε στράταν κακίας. (1)

105: „ Λύχνος τοῖς ποσί μου ὁ νόμος
„ σου, καὶ φῶς ταῖς τρίβοις μου.

Ὁ νόμος σου, λέγει, Κύριε, μὲ ὁδηγεῖ εἰς τὰ καλά, ὡσὰν εἶναι λύχνος καὶ εἶναι φῶς, ἔστωντας μέσα εἰς τὴν νύκτα τῆς ζωῆς ταύτης, καὶ εἰς τὸ σκότος τῶν παθῶν μὲ δείχνει εἰς ἐμένα τὴν στράταν τῆς ἀρετῆς, καὶ δὲν μὲ ἀφίνει νὰ σκοντάψω εἰς τὴν ἁμαρτίαν. πόδας δὲ καὶ τρίβους ὀνομάζει τὴν στράταν, ἥτις φέρει πρὸς τὸν Θεὸν, τοὺς περιπατοῦντας ἐν αὐτῇ. νοεῖ καὶ ὧδε καὶ ἄλλως. ὅτι ὁ διὰ Μωσέως νόμος, σωματικῶς μὲν καὶ κατὰ τὸ γράμμα λαμβανόμενος, λύχνος γίνεται εἰς ἐκείνους, ὑπου περιπατοῦν ἐν τῇ πρακτικῇ ἀρετῇ. πνευματικῶς δὲ νοούμενος, φῶς γίνεται εἰς ἐκείνους, ὁπου ἀναβαίνουν εἰς τὴν Θεωρίαν καὶ γνῶσιν. (2)

106: „ Ὠ-

ξωθεν, διὰ τὸ γλυκὺ καὶ προσηνὲς τῆς λέξεως· ὁμοῦ δὲ καὶ διὰ τὴν κολακείαν, ἥτις ἐπὶ τὰς ἡδονὰς παρορμᾷ καὶ προτρέπει· ὑπὲρ ταύτην οὖν γλυκέα τὰ λόγια τοῦ Θεοῦ τῷ στόματι τοῦ δικαίου καὶ τῷ λάρυγγι, διὰ τὴν κατάποσιν· τουτέστι τὴν ἐργασίαν· ὁ γὰρ τῶν νομίμων ἐργάτης, ἀρέσκεται τοῖς σώζουσι, καὶ οὐχὶ τοῖς τέρπουσιν ἥδεται.

(1) Ἄλλος δὲ λέγει· „ Ἀπεστράφην, φησι, πᾶσαν κακίαν, διὰ τῆς τῶν κρειττόνων παραθέσεως βδελυκτὴν αὐτὴν ὁρῶν καὶ ὀλέθριον, καὶ παντὸς μίσους ἀξίαν. καὶ ὁ Θεοδώριτος· „ Συνεὶς τίσιν ἀρέσκῃ, ἀπεστράφην ἅπαντα τὰ τῆς κακίας εἴδη.

(2) Ἔφη δὲ ὁ Κύριλλος· „ Δεῖ οὖν τοῖς θείοις λόγοις ἐντρυφᾷν ἀκαταλήκτως, καὶ λύχνον ὥσπέρ τινα ποιεῖσθαι τὸ γράμμα τὸ ἱερόν. καὶ ὁ Ἀθανάσιος· „ Ὁ ἐν τῷ φωτὶ τοῦ θείου νόμου περιπατῶν, ὀρθὴν καὶ ἀπρόσκοπον πορείαν ποιεῖται, ὡς ἐν νυκτὶ καὶ σκότει τῷ ἐπὶ γῆς χωρίῳ. Παῦλος γοῦν δεικτικῶς εἰπών· „ Πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, διὰ τοῦ σκότους τὸν ὑπὲρ γῆς ἀέρα παρέστησεν· ὡραῖον δὲ εἶναι καὶ τὸ ὁμοίωμα, ὁποῦ φέρει ὁ μέγας Βασίλειος λέγων· „ Ὥσπερ οἱ ναυτιλλόμενοι τὴν ὁδηγίαν τοῦ πλοίου λαμβάνουσιν ἐν νυκτὶ ἀπὸ τῆς ἄρκτου, ἤ τινος ἄλλου τῶν ἀειφανῶν ἀστέρων, καὶ τούτοις ἀεὶ τεκμαίρονται τὴν εὐθύτητα· οὕτω καὶ ὁ οἱόν τισι ἄστροις περιφανέσι ταῖς ἐντολαῖς τοῦ Κυρίου κατευθυνόμενος, οὐ δίδωσιν ὕπνον τοῖς ὀφθαλμοῖς· ἵνα ἔχῃ διαρκῆ τὴν ἐκ τῶν ἐντολῶν ὁδηγίαν· ἐπειδὴ γὰρ οὐχ ἅπασιν ἁπλῶς εὐκατόρθωτος ἡ ἀρετὴ, οὐδὲ πᾶσιν ὁ τῆς δικαιοσύνης τρόπος εὐσύνοπτος, τίς ἂν ἡμᾶς σοφοὺς ἀποφανεῖ; καὶ τὸ ἀγαθὸν ἐναργὲς καταστήσει; ἵνα γνόντες ἐπιτελέσωμεν; ἢ δηλονότι Χριστὸς, καὶ τὰ αὐτοῦ θεσπίσματα; ἤτοι τῶν Εὐαγγελικῶν κηρυγμάτων τὸ φῶς· εἰδέναι δὲ χρὴ κατὰ τὸν Θεοδώριτον, ὡς ὁ μὲν νόμος, λύχνος ὠνόμασται· μόλις γὰρ ἓν Ἔθνος κατηύγασεν· ὁ δὲ Σωτὴρ ἥλιος δικαιοσύνης πᾶσαν φωτίζων τὴν οἰκουμένην. κατὰ δὲ τὸν Δίδυμον· „ Λύχνος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ, ὃν παρεδέξατό τις, δι' οὗ πεπίστευκε τῷ Θεῷ· οὗτος οὖν ἔστω καιόμενος, καὶ μηδέ ποτε σβεννύσθω· „ Φῶς γὰρ δικαίοις διαπαντὸς, φῶς δὲ ἀσεβῶν σβέννυται· (Παρ. ιγ΄. 9.) ἐν τῇ Σκηνῇ τοῦ μαρτυρίου λύχνος ἥπτετο· ἵνα οἱ λατρεύοντες τῷ Θεῷ βλέπωσι τὸν λύχνον, καὶ τὰς λατρείας ἐπιτελῶσι, φωτιζόμενοι ὑπ' αὐτοῦ· οὕτως ἐν τῇ Ἐκκλησίᾳ λύχνος ἅπτεται· καὶ ὁ Θεόδωρος· „ Εἴτις ἔχοι τὸν λόγον τοῦ Θεοῦ, καὶ χρῆται αὐτῷ ἐν πάσῃ πράξει, ὡς ἔστιν εἰπεῖν, καθ' ἕκαστον βῆμα ἐπαίρων τὸν πόδα πρὸς τὸ περιπατεῖν· οὗτος οὐ δύναται προσκόψαι· ἔχει γὰρ τὸν λύχνον, καὶ χρῆται αὐτῷ· εἰ δὲ παρεδέξατο μὲν τὸν λύχνον, καὶ πιστεύειν αὐτῷ δοκεῖ, οὐ παραλαμβάνει δὲ αὐτὸν ἐν πάσῃ πράξει· καὶ ἐν παντὶ διαβήματι αὐτοῦ οὐ σκοπεῖ μετὰ τοῦ λόγου, ποῦ θείη τὸν πόδα τῆς αὐτοῦ ψυχῆς· οὗτος ἁμαρτάνει διπλῆν ἁμαρτίαν· ὅτι ἔχει τὸν λόγον, καὶ ὅτι οὐ χρῆται αὐτῷ πανταχοῦ· ἐλθόντος γὰρ τοῦ λόγου ἀπὸ τῶν οὐρανῶν, ἕκαστος τῶν πιστευόντων, μὴ μειουμένου ἐκείνου, ἀνῆψεν ἀπ' ἐκείνου ἐν ἑαυτῷ τὸν λύχνον καὶ τὸ φῶς· καὶ οὕτως ἀφ' ἑνὸς φωτὸς, πολλοὶ γεγόνασι λύχνοι· ἐν παντὶ οὖν καιρῷ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν διαλογισμῷ χρησώμεθα τῷ λύχνῳ ἔμπροσθεν ἡμῶν· οὐδεὶς γάρ, φησι, λύχνον ἅψας, καλύπτει σκεύει (Ματθ. ε΄. 15.) Καὶ ὁ Τιμόθεος· „ Ἡ τῶν λύχνων χρῆσις ἐν νυκτὶ παραλαμβάνεσθαι εἴωθεν· ἐπειδὴ τοίνυν νυκτὶ, διὰ τὴν σύγχυσιν καὶ τὸ σκότος τῆς ἁμαρτίας, ὁ παρὼν πολιτεία παρέοικε, λύχνος ἡμῖν ὁ νόμος

σα-

106: „ Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐπειδὴ, λέγει, ἐγὼ ἐγνώρισα μὲ τὴν δοκιμὴν τὴν ὠφέλειαν, ὁποῦ ἔχουν αἱ ἐντολαί σου Κύριε, διὰ τοῦτο ὤμοσα: ἤτοι ἀληθῶς ὑποσχέθηκα, καὶ τὴν ὑπόσχεσιν ταύτην ἔκαμα ἀμετακίνητον, διὰ νὰ φυλάξω τὰς ἐντολάς σου. ςάσιν δὲ ὀνομάζει τὴν ςερέωσιν τοῦ ἀνωτέρω ὅρκου: ἤτοι τῆς ὑποσχέσεως. (1)

107: „ Ἐταπεινώθην ἕως σφόδρα Κύριε, „ ζῆσόν με κατὰ τὸν λόγον σου.

Πολλὰ καὶ μὲ ὑπερβολὴν, λέγει, ἐταπεινώθηκα Κύριε, εἴτε ἀπὸ τὴν ςανικὴν ταλαιπωρίαν μου, εἴτε καὶ ἀπὸ τὴν θεληματικὴν κακοπάθειάν μου. ὅθεν ἐπειδὴ τόσον ἐταλαιπωρήθην, ζωοποίησόν με Κύριε, κατὰ τὴν ὑπόσχεσιν ὁποῦ ἔδωκες, ὅτι νὰ βοηθῇς τοὺς κακοπαθοῦντας. ἢ καὶ κατὰ τὸν λόγον ἐκεῖνον, ὁποῦ εἶναι γεγραμμένος εἰς τὸ Λευιτικόν, „ Ὁ ποιήσας αὐτὰ (τὰ προςάγματα) ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. (Λευϊ. ιη. 5.) (2)

108: „ Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἀπόδεξαι, λέγει, ὦ Κύριε, καὶ φέρε εἰς ἀγαθὴν ἔκβασιν τὰς ὑποσχέσεις, ὁποῦ ἔκαμα, ὄχι κατὰ ἀνάγκην, ἀλλὰ μὲ τὴν ἑκούσιόν μου προαίρεσιν καὶ μὲ τὴν εὐγνωμοσύνην μου. αὗται δὲ ἦτον, τὸ νὰ φυλάξω τὰς ἐντολάς σου. ὅθεν δίδαξόν με τὰς κρίσεις καὶ ψήφους σου, αἱ ὁποῖαι εἶναι δυσκαλοκατάληπτοι. „ Τὰ κρίματα γὰρ, φησι, Κυρίου, ἄβυσσος πολλή. (Ψαλ. λε. 6.) ἢ δίδαξόν με τὰς ἐντολάς σου βαθύτερον. (3)

109: „ Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Εἰς

παρὰ Θεοῦ δεδώρηται, προσκόπτειν οὐ συγχωροῦν τοὺς πρὸς αὐτὸν ἰθύνοντας· ὅς τις καὶ φῶς ταῖς ἡμετέραις τρίβοις γίνεται: ταῖς πορείαις δηλαδὴ καὶ ταῖς πράξεσιν.

(1) Λέγει δὲ ὁ θεῖος Βασίλειος· „ Ὅρκον πολλαχοῦ τὴν ἀμετάθετον περὶ ἑκάστου πράγματος βεβαίωσιν ἡ Γραφὴ ὀνομάζει, ὡς ἐνταῦθα· τὴν γὰρ βεβαίαν τῆς ψυχῆς κρίσιν καὶ ἀμετακίνητον, ὅρκον ἐκάλεσεν· ἐπειδὴ ὅρκῳ βεβαιοῦται τῶν πραγμάτων τὰ πλεῖςα· ἔςησα δὲ εἶπεν, οὐχὶ τοῦ παραβῆναι, ἀλλὰ τοῦ φυλάξασθαι τὰς ἐντολάς σου· χρήσιμον δὲ τὸ ῥητὸν πρὸς τοὺς ὀμνύντας πρᾶξαί τι κακὸν, καὶ οἰομένους εὐορκεῖν, εἰ πράξαιεν. λέγει δὲ καὶ ὁ Ὠριγένης· „ Τὸ ςῆσαι ἐνταῦθα, τὸ βεβαίως ὁρίσαι δηλοῖ· καὶ τὸ ὀμόσαι τὸ ἀμεταθέτως τοῦτο προθέσθαι, καὶ ἀπαράβατον φυλάττειν τὸ ἔργον· ἵςημι δέ φησιν ὁ δίκαιος τὰ κρίματα τοῦ Θεοῦ τῇ ἐμῇ ψυχῇ· καὶ ὅταν αὐτὰ ςήσω, γίνεται ἐκεῖνο τὸ εἰρημένον· „ Λογισμοὶ δικαίων κρίματα· (Παρ. ιβ΄. 5.)

(2) Ὁ δὲ Ἀπολλινάριος λέγει· „ Εἰ καὶ εἶχόν, φησιν, ὑπόθεσιν τοῦ ἐπαίρεσθαι, ὡς βασιλεὺς καὶ σοφὸς καὶ Προφήτης· ἀλλ᾽ ἐταπεινώθην ἕως σφόδρα· ὁ Θεὸς γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν (Παρ. γ΄. 34.) Καὶ ὁ Θεόδωρος· „ Ταπείνωσις ἕως σφόδρα, ἡ τῶν ἁμαρτημάτων εἰκότως ἐςὶν ἐξαγόρευσις· τὸ γὰρ μηδὲ χρήζειν ἐλέγχων, ἀλλ᾽ αὐτὸν ἑαυτόν τινα κατηγορεῖν, ὑπερβολή ἐςι ταπεινώσεως· τούτοις ζωοποιεῖν τὸ τοῦ Θεοῦ λόγιον ἐπαγγέλλεται, ὡς ἀγαθότητι καὶ φιλανθρωπίᾳ χρωμένου πρὸς ἡμᾶς μετὰ τὴν ἐξαγόρευσιν· „ Ἐξομολογεῖσθε γὰρ, φησι, τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

(3) Ἄλλος δὲ λέγει· „ Ἐπειδὴ τῶν ἁμαρτημάτων, τὰ μὲν προαιρετικὰ τυγχάνει, τὰ δὲ ἀπροαίρετα· συμβαίνει δὲ καὶ διὰ τοῦ ςόματος σφάλλεσθαι πολλάκις, οὐ κατὰ προαίρεσιν, ἀλλὰ κατά τινα πρόληψιν, ἢ ἄγνοιαν· ἱκετεύει τὸν Θεὸν τὰ κατὰ προαίρεσιν αὐτῷ λαλούμενα μόνα ἀποδέχεσθαι· ἓν δὲ τούτων ἦν καὶ τὸ ὀμόσαι τοῦ φυλά-

Εἰς ἐσένα, λέγει, Κύριε, ἐγχειρίζω καὶ παραδίδω πάντοτε τὴν ψυχήν μου. καὶ ἐσένα κάμνω φύλακα καὶ ὑπερασπιστὴν καὶ κυβερνήτην αὐτῆς. διὰ τοῦτο γὰρ καὶ ἐφύλαξα τὸν νόμον σου, διὰ νὰ μὴν ἐκπέσω ἀπὸ τὰς χεῖράς σου. (1)

110: „ Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι.
„ καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλα-
„ νήθην.

Οἱ ἁμαρτωλοὶ, λέγει, Δαίμονες, καὶ οἱ παράνομοι ἄνθρωποι ἔβαλον εἰς ἐμένα παγίδα, σπουδάζοντες διὰ νὰ μὲ πιάσουν. ἐγὼ ὅμως δὲν ἐπλανέθηκα, οὐδὲ ἐπαρασάλευσα ἀπὸ τὰς ἐντολάς σου, φοβούμενος μήπως μακρύνωντας ἀπὸ τὰς ἐντολάς σου πέσω μέσα εἰς τὴν παγίδα τῶν ἀνωτέρω ἁμαρτωλῶν. διότι ἐκεῖνος ὁποῦ περιπατεῖ εἰς τὸν νόμον καὶ εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ, αὐτὸς δὲν πίπτει εἰς τὰς παγίδας. (2)

111: „ Ἐκληρονόμησα τὰ μαρτύριά σου
„ εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς
„ καρδίας μου εἰσί.

Κληρονομίαν, λέγει, παντοτινὴν ἐγὼ ἐλογίασα Κύριε, τὰς ἐντολάς σου, καὶ κέρδος, ὁποῦ δὲν δύναται τινὰς νὰ τὸ πάρῃ ἀπὸ λόγου μου. δείχνει δὲ μὲ τὸν λόγον τοῦτον ὁ Δαβὶδ τὴν πολλὴν ἀγάπην ὁποῦ εἶχεν εἰς τὰς ἐντολὰς τοῦ Κυρίου. (3)

112: „ Ἐ-

λάξασθαι τὰ κρίματα. κατὰ δὲ τὸν Θεοδώριτον καὶ Εὐσέβιον, καὶ Ὠριγένη, τῶν τῆς ἀρετῆς κατορθωμάτων, τὰ πλεῖστα μὲν οἱ θεῖοι νόμοι διαγορεύουσιν· ἔνια δὲ καὶ ἡ γνώμη προστίθησιν, ἃ καὶ δῶρα προσηγόρευσαν· τὴν μὲν γὰρ σωφροσύνην, καὶ δικαιοσύνην οἱ Εὐαγγελικοὶ νόμοι διαγορεύουσι. Παρθενία δὲ καὶ ἡ ἀκτημοσύνη, καὶ ὁ μονήρης βίος καὶ ἡ ἐν ἐρήμοις διαγωγὴ, τῆς γνώμης ἔργα, τὸν νόμον ὑπερπηδῶντα· τὰ τοιαῦτα τοίνυν ἑκούσια προσηγόρευσεν· ἃ καὶ εὔχεται ἀποδοχῆς ἄξια γενέσθαι παρὰ Θεῷ. λέγει δὲ καὶ ὁ Κύριλλος· „ Ἀδέσποτον ἡ ἀρετὴ καὶ ἑκούσιον. καὶ ἀνάγκης ἁπάσης ἐλεύθερον· τοιοῦτος ἦν ὁ Δαβὶδ, ὁ τὰ ἑκούσια μόνα τῶν παρ' αὐτοῦ γινομένων, εὐδοκηθῆναι τῷ Θεῷ προσευχόμενος.

(1) Λέγει δὲ ὁ Ἀπολλινάριος· „ Ἡ ψυχή τινος ἐν χερσὶ Θεοῦ ἐστιν, εἴ ποτε ἐν κινδύνοις γεγένηται· ἐγὼ οὖν, φησὶν ὁ δίκαιος, καθ' ἡμέραν ἀποθνήσκω· ἀεὶ κινδυνεύω διὰ τὸν λόγον σου, διὰ τὴν ἀλήθειάν σου· καὶ διὰ ταῦτα ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός· οὐ γὰρ ὁ κίνδυνος τοῦ θανάτου ἐποίει με ἐπιλαθέσθαι τοῦ νόμου σου. καὶ ὁ Θεόδωρος· „ Μείζων τῆς προθυμίας ἀπόδειξις, τὸ διὰ κινδύνων ἰόντα, μὴ ἀφίστασθαι τοῦ νόμου· καὶ ἐν ἐπιβουλαῖς ὄντα, μὴ ἀφέλκεσθαι τοῦ δικαίου, ὀργῇ καὶ παροξυσμῷ τῷ πρὸς τοὺς ἐπιβουλεύοντας. Καὶ ὁ Ἀνώνυμος „ Ἐὰν εἰς τὰς χεῖρας τοῦ Θεοῦ τὴν ἡμετέραν ψυχὴν ἀναπετάσωμεν, ὥστε ἐκεῖθεν αὐτὴν τροφὴν, καὶ ζωὴν, καὶ τιμὴν, καὶ δόξαν προσδέχεσθαι, λήθην τοῦ νόμου τοῦ Θεοῦ οὐδὲ τὴν τυχοῦσαν ὑπομενοῦμεν· ἀεὶ δὲ αὐτοῦ μεμνησόμεθα, οὐδενὸς ἡμᾶς τῶν βιωτικῶν ἀμελῆσαι τῶν θείων ἀναγκάζοντος.

(2) Λέγει δὲ ὁ Ὠριγένης· „ Παγίδας οἱ ἁμαρτωλοὶ πολλὰς τοῖς δικαίοις καὶ διαφόρους ῥάπτουσιν· οἷον τῷ Ἰωσὴφ, ἡ Αἰγυπτία καὶ οἱ ἀδελφοί· τῷ Δανιὴλ, οἱ παρὰ τοῦ Δαρείου λαβόντες ἐξουσίαν· ἀλλ' οὐκ ἀπεπλανήθησαν οἱ δίκαιοι τῶν ἐντολῶν τοῦ Θεοῦ· καὶ διὰ τοῦτο τῶν παγίδων ἀνώτεροι ἐγένοντο. καὶ ὁ Θεόδωρος· „ Ὥσπερ οἱ θηρευταὶ τῶν ἀλόγων ζώων ἱστᾶσι παγίδας· ἵνα ταῦτα λάβωσιν· οὕτως ὁ Διάβολος καὶ οἱ τούτου ἄγγελοι, παγίδων πάντα πεπληρώκασι· καὶ ὅλος ὁ βίος μεστός ἐστι παγίδων· ἐκεῖνοι μὲν οὖν, φησὶν, ἔθηκαν παγίδα μοι πανταχοῦ· ἐγὼ δὲ ἐτήρουν σου ἀεὶ τὰς ἐντολὰς, καὶ οὐκ ἀπεπλανήθην αὐτῶν. ὁ δὲ Ἀνώνυμος· „ Χαριέντως ὁ ὁμολογῶν καὶ μαρτυρῶν τῇ ἀληθείᾳ, καὶ μὴ ἐπαισχυνόμενος τὸ ὄνομα τοῦ Χριστοῦ ἐπὶ τῶν ἀνθρώπων, ἀλλ' ἕως θανάτου ἀγωνιζόμενος ὑπὲρ τοῦ μαρτυρῆσαι τῇ ἀληθείᾳ, λέγοι ἂν τὰ εἰρημένα ταῦτα.

(3) Λέγει δὲ ὁ Ὠριγένης· „ Ὅσοι χαίρουσι ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ τὴν δικαιοπραγίαν ἀσπάζονται, οὗτοι διαπαντὸς κληρονομοῦσιν αὐτοῦ τὰ μαρτύρια, κλῆρον αὐτὰ καὶ μερίδα ἀντὶ πάντων τῶν ἐν τῷ κόσμῳ κτώμενοι, καὶ διόπερ ἐὰν πάθωσιν ἐπ' αὐτοῖς, εὐφραινόμενοι. καὶ ὁ Ἀπολλινάριος· „ Ἀγαλλίαμα τῆς καρδίας τῶν Ἀποστόλων ἦν τὰ μαρτύρια τοῦ Θεοῦ, ὅτε ἐξῆλθον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ ἀτιμασθῆναι.

ριβ: „ Ἔκλινα τὴν καρδίαν μου τοῦ ποι-
„ ῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰ-
„ ῶνα δι' ἀντάμειψιν.

Ἐγὼ, λέγει, ἐγύρισα τὴν καρδίαν μου διὰ νὰ κάμνῃ πάντοτε τὰς ἐντολάς σου Κύριε, διὰ τὸν μέγαν μισθὸν καὶ τὴν ἀνταμοιβὴν, ὁποῦ ἔχει νὰ δοθῇ εἰς τοὺς ἐργαζομένους αὐτάς. (1)

ριγ: „ Παρανόμους ἐμίσησα, τὸν δὲ νό-
„ μον σου ἠγάπησα.

ριδ: „ Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ
„ σὺ, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐγὼ, λέγει, τοὺς μὲν παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα Κύριε, καὶ ἐγὼ ἤλπισα εἰς τὸν νόμον σου, ὁ ὁποῖος δικαιώνει ἐκείνους, ὁποῦ τελειώνουν αὐτόν. καὶ ὑπόσχεται εἰς αὐτοὺς, ὅτι ἔχουν νὰ λάβουν πολλὰ ἀγαθὰ εἰς τοὺς οὐρανούς. (2)

ριε: „ Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμε-
„ νοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς
„ τοῦ Θεοῦ μου.

Ἀναχωρήσατε, λέγει, ἀπὸ λόγου μου, ἐσεῖς οἱ πονηροὶ ἄνθρωποι καὶ Δαίμονες καὶ ἄτοποι λογισμοὶ, διὰ νὰ ἠμπορέσω μὲ ἡσυχίαν νὰ ἐρευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. ἐπειδὴ ἡ ἰδική σας ἐνόχλησις μὲ ἐμποδίζει ἀπὸ τὴν τούτων σωτηριώδη καὶ κατὰ βάθος ἐρευνᾶν. (3)

ρις: „ Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν
„ σου, καὶ ζῆσόν με, καὶ μὴ κα-
„ ταισχύνῃς με ἀπὸ τῆς προσδοκίας
„ μου.

Βοήθησόν μοι, λέγει, Κύριε, κατὰ τὴν ὑπόσχεσίν σου: διατὶ σὺ ὑπεσχέθης ἐν τῷ νόμῳ σου νὰ βοηθῇς ἐκείνους, ὁποῦ φυλάττουσιν αὐτόν. ἢ καὶ κατὰ τὴν ἁπλῶς σου ὑπόσχεσιν, καὶ ζωοποίησόν με διὰ τῆς σῆς ἐπισκέψεως, καὶ μὴ με κάμῃς νὰ ἐντραπῶ τὸ ὁποῖον θέλω πάθω, ἀνίσως ἀποτύχω τὴν ἐλπίδα, ὁποῦ ἔχω εἰς ἐσὲ διὰ νά μοι βοηθήσῃς. (4)

ριζ: „ Βοή-

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Εὖ δὲ τὸ ἔκλινα· ἵνα δείξῃ τὸ προαιρετικόν· τρυτάνῃ γὰρ ἔοικε τὸ τῆς ψυχῆς βουλευτήριον· κατέχει δὲ τὴν τρυτάνην ὁ νοῦς, ἡγεμονεύειν λαχὼν, καὶ οἷς ἂν τύχῃ προσθέμενος, ἀνάγκη κλίνειν τὰ τῆς διανοίας ζυγά· τοῦτο δεδρακέναι ὁ Προφήτης ὁμολογεῖ· κύριος γὰρ, φησιν, ὢν ἐμαυτοῦ, ὅπου βούλομαι, κλῖναι τὴν καρδίαν, μετέστρεψα ταύτην ἐπὶ τὰ προστάγματά σου· σκοπὸν ἐμαυτῷ θέμενος τὴν παρὰ σοῦ ἀντιμισθίαν. λέγει δὲ ὁ Ἀνώνυμος· „ Ἡ δὲ ἀμοιβὴ βασιλεία Θεοῦ ἐστι, καὶ τὰ ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

(2) Ὁ δὲ Θεοδώριτός φησι· „ Ὅτι παρανόμους λέγει ἐδῶ ὁ Δαβὶδ τοὺς σοφοὺς τοῦ αἰῶνος τούτου· ἢ τοὺς ἀρχηγοὺς τῶν αἱρέσεων· ἢ τοὺς πονηροὺς λογισμοὺς τοὺς παρανομεῖν ὑποτιθεμένους· ἐπειδὴ δὲ δυνάμεις ἔχει ἡ ψυχὴ, δι' ὧν ἀγαπᾷ, καὶ δι' ὧν μισεῖ· ἔργον δὲ, ταύταις κατὰ λόγον χρῆσθαι· ἐσεμνύνατο δὲ ὁ Προφήτης, ὡς τὴν μὲν δύναμιν τῆς ἀγάπης ἀνατιθεὶς τῷ νόμῳ τοῦ Θεοῦ· τὴν δὲ δύναμιν τοῦ μισεῖν, τοῖς ἐναντίοις τοῦ νόμου· διὰ τοῦτό φησι πρὸς Θεὸν, ὅτι οὐ δίχα τοῦτο τῆς σῆς βοηθείας κατώρθωσα· ἀλλὰ τῆς σῆς ἀπολαύσας ῥοπῆς· ὁ δὲ Χρυσορρήμων εἶπε· „ Τοιαῦτα τὰ καυχήματα τῶν ἁγίων, καθὼς καὶ ἐν ἑτέρῳ Ψαλμῷ λέγει· „ Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; ὥσπερ γὰρ ὁ ἀγαπῶν τὸ φῶς, τὸ σκότος ἀπεχθάνεται· οὕτως ὁ τὸν νόμον τοῦ Θεοῦ ἀγαπῶν, τοὺς παρανόμους λογισμοὺς καὶ πράξεις μισεῖ.

(3) Ὅθεν εἶπε καὶ ὁ Ἀνώνυμος· „ Τοὺς πονηροὺς λογισμοὺς, φησιν, ὧν πεπλήρωται ἡμῖν ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος· ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται πονηροὶ διαλογισμοὶ, φόνοι, μοιχεῖαι, πορνεῖαι, καὶ τὰ ἑξῆς, τὰ κοινοῦντα τὸν ἄνθρωπον· τούτοις τοῖς διαλογισμοῖς φησιν· „ Ἐκκλίνατε ἀπ' ἐμοῦ.

(4) Λέγει δὲ ὁ Θεόδωρος· „ Εἰπὼν ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, ἀκολούθως τὸν Θεὸν εἰς τοῦτο ἐπικαλεῖται.

117: „ Βοήθησόν μοι καὶ σωθήσομαι, „ καὶ μελετήσω ἐν τοῖς δικαιώμασί „ σου διὰ παντός.

Ἐὰν, λέγει, ἐσὺ με βοηθήσῃς Κύριε, ἐγὼ θέλω σωθῶ ἀπὸ τὴν ἐπιβουλὴν τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν μου· καὶ ἀκολούθως θέλω μελετῶ πάντοτε εἰς τὰ δικαιώματά σου. (1)

118: „ Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων „ σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐ„ τῶν.

Ἀπεστράφης, λέγει, Κύριε, ὡς ἀχρήστους, ὅλους ἐκείνους, ὅπου ἀποστατοῦν ἀπὸ τὰ δικαιώματά σου. διατὶ αὐτοὶ ἐνθυμούμενοι τὸ νὰ παρανομοῦν, διὰ τοῦτο δὲν φυλάττουν τὸν νόμον σου (2)

119: „ Παραβαίνοντας ἐλογισάμην πάν„ τας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, „ διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά „ σου.

Ἐγὼ, λέγει, ἐσταχάσθηκα, πῶς ὅλοι οἱ ἁμαρτωλοὶ τῆς γῆς εἶναι παραβάται τῶν ἐντολῶν σου. ὅθεν διὰ νὰ μὴ γένω καὶ ἐγὼ παραβάτης, διὰ τοῦτο ἠγάπησα τὸν νόμον σου Κύριε. τῆς γῆς δὲ εἶπε. διατὶ οἱ ἁμαρτωλοὶ εἶναι ἀπὸ τὴν γῆν. ἢ διατὶ ἐν τῇ γῇ ὄντες, ἁμαρτάνουσιν. (3)

120: „ Κα-

σαι· ὡς ἂν τῇ αὐτοῦ δυνάμει ἀπελαθεῖεν τῆς ἑαυτοῦ ψυχῆς οἱ πονηρευόμενοι· σχολῆς τε τυχὼν, τῆς κατὰ Θεὸν ζωῆς τε καὶ σωτηρίας τύχοι, καὶ μὴ ἀποπέσοι τῆς ἑαυτοῦ προσδοκίας. κατὰ δὲ τὸν Δίδυμον· „ Προσδοκία τῶν ἁγίων ἡ αἰώνιος ζωὴ· ἡ βασιλεία τῶν οὐρανῶν· ὅταν οὖν τις ἀνάξιος γένηται, μὴ ἑπόμενος, ᾧ ἔδοξε πεπιστευκέναι λόγῳ, καταισχύνεται ἀπὸ τῆς ἑαυτοῦ προσδοκίας.

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Καὶ γὰρ τυχὼν τῆς σωτηρίας, τῶν σῶν δικαιωμάτων οὐκ ἀμελήσω· ἀλλὰ διηνεκῶς τὴν τούτων μελέτην ποιήσομαι· μελέτην δὲ λέγει, οὐ τὴν ἐν λόγοις μόνον, ἀλλὰ καὶ τὴν ἐν ἔργοις. καὶ ὁ Ἀπολλινάριος· ἡ „ Ἀνωτέρω μὲν εἴρηται· „ Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ· ἐνταῦθα δὲ βοήθησόν μοι· οὐκ ἀρκεῖ μοι, φησιν, ἡ βοήθεια, ἣν βεβοηθήμην, δέομαι δὲ βοηθείας ἔτι· ἀδιαλείπτως βοήθησόν μοι· τὸ δὲ σωθήσομαι, οὔπω τέλειον, ὅσον ἐσμὲν ἐνθάδε· ὅταν δὲ ἀπαλλαγῶμεν τούτου τοῦ βίου, τότε σωθῆναι ἔστιν, ὅταν ζῶμεν μετὰ τῶν ἐκλεκτῶν Ἀγγέλων. ὁ δὲ Ἀνώνυμος· „ Διαπαντός· τουτέστιν οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ γὰρ ἐκεῖ μέλλομεν μελετᾷν τὰ δικαιώματα πρόσωπον πρὸς πρόσωπον· οὐκέτι κατὰ τὴν σκιὰν, ἀλλὰ κατὰ τὴν ἀλήθειαν.

(2) Ὁ δὲ Δίδυμος λέγει· „ Οὐ ταυτόν ἐστι τὸ ἁμαρτάνειν καὶ τὸ ἀποστατεῖν· ὁ ἀποστατήσας, ἀπέστη τέλεον τοῦ θεοσεβεῖν, τοῖς δὲ τοιούτοις εἴρηται· „ Οὐαὶ τέκνα ἀποστάται· (Ἡσ. λ'. 1.) καὶ πάλιν· „ Οὐαὶ αὐτοῖς ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ. (Ὠσ. ζ'. 13.) τοὺς οὖν τοιούτους παιδεύων, οὐ μαστίζων ἔτι κατὰ τοὺς ἀγαπωμένους υἱοὺς παρ' αὐτοῦ, ἐξουθενεῖ φάσκων πρὸς ἕκαστον· „ Παιδεύσει σε ἡ ἀποστασία σου καὶ ἡ κακία σου ἐλέγξει σε· (Ἰερ. β'. 19.) „ Ἀλλ' ἐγώ, φησιν ὁ Θεοδώριτος, πολλὴν περὶ τὰς σὰς ἐντολὰς σχήσω τὴν προθυμίαν, ἐπονειδίστους καὶ καταγελάστους καὶ ἀποβλήτους τοὺς τούτων παραβάτας εἰδώς· τοῦτο γὰρ τὸ τέλος, κατὰ τὸν Ἀθανάσιον, τῶν ἀθετούντων τὸν τοῦ Θεοῦ νόμον· ἐξουδενοῦνται γάρ· καὶ τί τὸ αἴτιον; ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν, τὸ πατῆσαι βουλεύσασθαι τὸν θεῖον νόμον.

(3) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ἀντὶ δὲ τοῦ, παραβαίνοντας ἐλογισάμην, ὁ Θεοδοτίων εἶπεν· εἰς οὐδέν· ὁ δὲ Ἀκύλας· σκύβαλα. ὁ δὲ Σύμμαχος· σκωρίαν. ὁ δὲ Προφήτης δεδήλωκεν, ὡς ἐξουδενῶν καὶ αὐτὸς τῷ Θεῷ παραπλησίως τοὺς παραβάτας· καὶ ὥσπερ τινὰ σκωρίαν ἀπερριμμένην, καὶ ἄχρηστα σκύβαλα ἀποδοκιμάζων, πᾶσαν προθυμίαν εἰς τὴν ἐκπλήρωσιν τῶν θείων λογίων εἰσήνεγκεν· ἅτε δὴ τὴν τῆς παρανομίας ζημίαν εἰδώς. ὁ δὲ Ὠριγένης λέγει· „ Παραβάται λέγονται· μὴ μόνον οἱ μετὰ τὴν πίστιν ἀποστάντες· ἀλλὰ καὶ οἱ ὁπωσποτοῦν ἁμαρτάνοντες· ἁμαρτωλοὶ δὲ τῆς γῆς, οἱ ἐπὶ γῆς ἡμαρτηκότες ἄνθρωποι· ἄλλοι γὰρ ἁμαρτωλοὶ οὐρανοῦ, πρὸς οὓς ἡμῖν ἡ πάλη, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· ἐκεῖ γὰρ πρῶτον ἁμαρτόντες, ὕστερον καὶ ἐπὶ γῆς

120: „ Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς „ σάρκας μου· ἀπὸ γὰρ τῶν κριμά„ των σου ἐφοβήθην.

Ἀπὸ τὴν ἀνάγνωσιν, λέγει, ὁποῦ ποιῶ εἰς τὰς κρίσεις καὶ ψήφους σου Κύριε, ἐφοβήθηκα μὲν κατὰ τὴν ψυχήν, δὲν ἔχω δὲ καὶ τὸ σῶμα συσταλμένον μὲ τὸν τοιοῦτον σωτηριώδη φόβον. διὰ τοῦτο λοιπὸν σὺ κάρφωσον καὶ νέκρωσον αὐτὸ ἀπὸ τὸν φόβον σου. διὰ νὰ μὴ μετακινῆται πλέον εἰς ἀτάκτους ὁρμάς, καὶ ἀτόπους πράξεις. (1)

121: „ Ἐποίησα κρίμα καὶ δικαιοσύνην· „ μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἐγὼ, λέγει, ἔκαμα κρίσιν δικαίαν Κύριε· τοῦτο γὰρ δηλοῖ τὸ κρίμα καὶ ἡ δικαιοσύνη, ἐκ παραλλήλου τιθέμενα. διὰ τοῦτο, ὡς δίκαιος κριτὴς, μήμε παραδώσῃς εἰς ἐκείνους, ὁποῦ μὲ ἐπιβουλεύονται ἀδίκως. μηδὲ οἱ παράνομοι ἂς κατακυριεύσουν ἐμένα τὸν ἔννομον.

122: „ Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγα„ θόν, μὴ συκοφαντησάτωσάν με ὑ„ περήφανοι.

Μακροθύμησον, λέγει, Κύριε, εἰς ἐμένα τὸν δοῦλόν σου διὰ ἀγαθόν· δηλαδὴ, ἵνα διὰ μετανοίας καθαρᾶς καὶ ἀληθινῆς δυνηθῶ νὰ ἀποπλύνω τὸν μολυσμὸν τῆς ἁμαρτίας μου, καὶ ἂς μήμε συκοφαντήσουν οἱ ὑπερήφανοι: ἤτοι οἱ ὑπερόπται τοῦ ἐδικοῦ σου νόμου καὶ καταφρονηταί. πῶς δηλαδὴ ἐγὼ ταλαιπωροῦμαι ἀπὸ τοὺς πειρασμοὺς ἁπλῶς καὶ κατὰ τύχην, καὶ ὄχι διὰ τὴν τολμηθεῖσαν παρ᾽ ἐμοῦ ἁμαρτίαν. ἢ ἂς μὴ με συκοφαντοῦν, πῶς ματαίως μετανοῶ, ἢ πῶς ματαίως ἐλπίζω σωτηρίαν. (2)

123: „ Οἱ

γῆς τοῦτο ποιοῦσι, καὶ ὁ Ἀνώνυμος· „ Πᾶς, φησιν, ἁμαρτωλὸς, ἐν τοῖς τοῦ νόμου παραβάταις ταχθήσεται, εἴτε βραχύ τι παραβαίνει τοῦ νόμου, εἴτε μέγα· διὰ τοῦτο ὁ Θεολόγος Ἰωάννης ἔγραψε· „ Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ· καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία· (Α. Ἰω. γ΄. 4.)

(1) Ὁ δὲ μέγας Βασίλειος λέγει· „ Φόβος ἄρα ψυχῇ καθάρσιον, κατὰ τὴν εὐχὴν τοῦ Προφήτου· ὡς ὅπου φόβος ἐνοικεῖ, ἐκεῖ ψυχῆς ἅπασα καθαρότης ἐνίδρυται, πάσης πονηρᾶς πράξεως ὑποφευγούσης, τῶν τοῦ σώματος μελῶν κινηθῆναι πρὸς ἀτόπους ἐνεργείας μὴ δυναμένων, διὰ τὸ τῷ φόβῳ κεκαθηλῶσθαι· ὡς γὰρ ὁ ἐμπεπηγότας ἔχων ἐν ἑαυτῷ τοὺς ἥλους τοὺς σωματικοὺς, ἀνενέργητός ἐστιν, ὑπὸ τῶν ὀδυνῶν κατεχόμενος· οὕτως ὁ τῷ φόβῳ τοῦ Θεοῦ κατειλημμένος. οὐκ ὀφθαλμῷ χρήσασθαι πρὸς ἃ μὴ δεῖ· οὐ χεῖρας κινῆσαι πρὸς ἀπηγορευμένας πράξεις· οὐχ ὅλως μικρὸν, ἢ μεῖζον ἐνεργῆσαι παρὰ τὸ καθῆκον δύναται, οἷον ὀδύνῃ τινὶ τῇ προσδοκίᾳ τῶν ἀπειληθέντων ἐμπεπαρμένος. ὁ δὲ Ἀθανάσιος λέγει· „ Τὸ καθήλωσον ἀντὶ τοῦ πῆξον νοεῖται, πῆξον οὖν, φησιν, εἰς ἁγνείαν τὰς σάρκας μου. καὶ ὁ Ὠριγένης· „ Ὁ καθηλούμενος, σταυροῦται. ζητῶ οὖν τὸν Σταυρόν· καὶ ζητῶ, μή ποτε ὁ Σταυρὸς ἐστὶν ὁ φόβος τοῦ Θεοῦ· καὶ γὰρ εἶπεν ὁ Σωτήρ· „ Ὃς ἂν μὴ αἴρῃ τὸν Σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῇ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος· ἐπειδὴ δὲ εἰρήκαμεν τελειότερον τὸν ἀγαπῶντα τοῦ φοβουμένου, καὶ ὅπου εἰσέλθῃ ἡ τελεία ἀγάπη, ἔξω βάλλει τὸν φόβον· ἐπεὶ τοίνυν εὑρίσκεται καθηλούμενος ἐκ τοῦ φόβου ὁ δίκαιος, ζητῶ· μή ποτε ὁ μὲν σταυρούμενος φοβῆται, καθηλούμενος ἐκ τοῦ φόβου· ἵνα νεκρώσῃ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· ἡνίκα δ᾽ ἂν ἔλθῃ ἡ τελεία ἀγάπη, καθαιρεῖται ἀπὸ τοῦ Σταυροῦ, θάπτεται, ἐκ νεκρῶν ἐγείρεται· ἵν᾽ ἐν καινότητι ζωῆς περιπατήσῃ, οὐκέτι κατὰ φόβον, ἀλλὰ κατὰ ἀγάπην τὴν ἐν Χριστῷ Ἰησοῦ.

(2) Ὁ δὲ Θεοδώρητος λέγει· „ Πίστευσόν, φησιν, ὑποσχομένῳ τῷ δούλῳ σου· αὐτὸς ἀνάδοχος καὶ ἐγγυητὴς γενοῦ τῆς ἐμῆς ὑποσχέσεως, ὅτι σπουδάσω ἐκπληρῶσαι τοὺς νόμους· ἐπειδὴ δὲ ἀλγεινὴ ἡ συκοφαντία, κἂν μέγαν ἔχῃ μισθὸν, ῥυσθῆναι ταύτης αἰτεῖ, καὶ μάλιστα τῆς τῶν ἀλαζόνων καὶ δυνατῶν. ὅσῳ καὶ χαλεπωτέρα· ἀδικία γὰρ προσλαβοῦσα τὴν δυναστείαν, μείζονα τὴν λώβην ἐργάζεται. ἀναγκαίως δὲ κατὰ τὸν Εὐσέβιον, παρακαλεῖ τὸν Θεὸν ἀνάδοχον ἑαυτοῦ, ὥσπερ ἐγγυητὴν γενέσθαι· ἵνα αὐτὸς καὶ φύλαξ αὐτοῦ γένηται, τηρῶν ἑαυτοῦ τὴν ἐγ-

123 : „ Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ „ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον „ τῆς δικαιοσύνης σου.

Ἀτόνησαν, λέγει, καὶ ἀπέκαμον οἱ ὀφθαλμοὶ τῆς ψυχῆς μου, ἀποβλέποντες εἰς τὴν βοήθειαν ἐκείνην, ὁποῦ ἐλπίζω νὰ μοὶ χαρίσῃς. καὶ εἰς τὴν ὑπόσχεσιν τῆς δικαιοσύνης σου. (1)

124 : „ Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Κάμε, λέγει, Κύριε, ἔλεος εἰς ἐμένα τὸν δοῦλόν σου, καθὼς εἶσαι ἐλεήμων. ἢ κάμε εὐεργεσίαν εἰς ἐμένα μὲ τὸ ἔλεός σου. καὶ ἀφ' οὗ μὲ ἐλεήσῃς, δίδαξόν με τὰ δικαιώματά σου. (2)

125 : „ Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν „ με, καὶ γνώσομαι τὰ μαρτύριά „ σου.

126 : „ Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ: „ διεσκέδασαν τὸν νόμον σου.

Ἐγὼ εἶμαι, λέγει, δοῦλός σου Κύριε. καὶ ἂν με συνετίσῃς, θέλω γνωρίσει τὰ μαρτύριά σου. (3) Καιρὸς δὲ εἶναι εἰς ἐσένα τὸν Κύριον νὰ κάμῃς τί; ἐκδίκησιν δηλαδή. (τοῦτο γὰρ ἐλλείπει καὶ πρέπει νὰ νοῆται ἔξωθεν) ἐπειδὴ καὶ οἱ παράνομοι ἐκατάργησαν καὶ παρέβηκαν τὸν νόμον σου. (4)

127 : „ Διὰ

ἐγγύην, πρὸς τὸ μηδεμίαν λαβὴν παρασχεῖν τοῖς ἐνεδρεύουσιν αὐτῷ συκοφάνταις. λέγει δὲ ὁ Ὠριγένης· „ Πῶς συκοφαντοῦσιν αἱ πονηραὶ δυνάμεις; αὗται ἐνήργησαν καὶ ἔπεισαν· ἵνα ἁμαρτωλὸς γένωμαι· καὶ αὗται μου κατήγοροι γίνονται, ὅλην τὴν αἰτίαν τῶν ἁμαρτημάτων εἰς ἐμὲ ἀναφέρουσαι· λέγει δὲ καὶ ὁ Δίδυμος· „ Ὁ ποιήσας κρίμα καὶ δικαιοσύνην. οὐ παραδίδοται τοῖς ἀδικοῦσιν αὐτόν· ἐκδέχεται γὰρ αὐτὸν δοῦλον αὐτοῦ γενόμενον ὁ Θεὸς εἰς ἀγαθὸν, καὶ οὐκ ἐᾷ αὐτὸν συκοφαντεῖσθαι ὑπὸ τῶν ὑπερηφάνων.

(1) Καὶ ὁ Θεοδώριτος· „ Πάλιν ἐνταῦθα λόγιον τὴν ὑπόσχεσιν καλεῖ· συνεχῶς, φησι, τὴν παρὰ σοῦ σωτηρίαν προσμένω, καὶ τῆς ὑποσχέσεως ἀναμένω τὸ τέλος· τὸ δὲ ἐξέλιπον τέθεικε, τὴν ἐπιτεταμένην ἐπιθυμίαν δηλῶν.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ὁ τοσαύτης ἀρετῆς ἐργάτης ἐλέους τυχεῖν ἀξιοῖ, καὶ διὰ τούτου σωτηρίας ἀπολαῦσαι αἰτεῖ· καὶ οὐκ ἀπαιτεῖ μισθὸν, ἀλλὰ φιλανθρωπίαν αἰτεῖ. Καὶ ὁ Δίδυμος· „ Ἐν τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ εἰκότως ἀριθμεῖται, τὸ μαθεῖν αὐτοῦ τὰ δικαιώματα· οὐδὲ γὰρ ἄξιοι ταύτης ἐσμὲν τῆς γνώσεως, παραβάται τοῦ νόμου τοῦ κατὰ φύσιν γενόμενοι· ἀλλ' ὅμως διὰ τὸ ἔλεος τοῦ Θεοῦ διδασκόμεθα. καὶ ὁ Ἀπολλινάριος· „ Ὁρᾷς ὅτι μόνοι παρὰ τοῦ Θεοῦ τὸν νόμον διδάσκονται, ὅσοι περ αὐτῷ δουλεύειν αἱροῦνται· ταῖς ἄλλαις δηλαδὴ δουλείαις ἀποταξάμενοι; καὶ τούτους συνετίζει καὶ γνῶσιν τῶν ἑαυτοῦ μαρτυρίων ἐντίθησιν (ὁ Θεὸς,) ὥστε μὴ μόνον ἀναγινώσκειν ἡμᾶς. ἀλλὰ καὶ γινώσκειν τὸ νόημα.

(3) Λέγει δὲ ὁ Θεοδώριτος· „ Πάντες μὲν ἄνθρωποι φύσει δοῦλοι Θεοῦ· διαθέσει δὲ, οἱ τοῦ Θεοῦ τὴν δεσποτείαν ἀσπασίως αἱρούμενοι· ταύτης ὢν τῆς συμμορίας ὁ Προφήτης, δοῦλον ἑαυτὸν ὀνομάζει, καὶ συνέσεως ἀξιωθῆναι παρακαλεῖ· ὥστε γνῶναι τοῦ Θεοῦ τὰ μαρτύρια. Καὶ ὁ Ὠριγένης· „ Οὐδεὶς δοῦλος τῆς ἁμαρτίας, δοῦλός ἐστι τοῦ Θεοῦ· ὁ οὖν δουλεύων ἐν πάσῃ πράξει καὶ διανοήσει, ποιῶν πάντα κατὰ τὸν λόγον αὐτοῦ (τοῦ Θεοῦ) οὗτος λεγέτω· „ Δοῦλός σου εἰμὶ ἐγώ· τοιοῦτος ὢν ὁ Προφήτης ἀξιοῖ μισθὸν λαβεῖν τῆς δουλείας τό· „ Συνέτισόν με· ἔστι γὰρ σύνεσις δεδομένη ἀπὸ Θεοῦ, ἣ ἀπόκειται παρὰ τῷ Θεῷ ὡς ἐν θησαυροφυλακίῳ· „ Πνεῦμα γάρ, φησι, σοφίας καὶ συνέσεως καὶ τὰ ἑξῆς χαρίσματα ἀναπαύσεται ἐπ' αὐτόν. (Ἡσ. ια'. 2.)

(4) Ὅθεν εἶπεν ὁ Θεοδώριτος· „ Ὁ πάντα σταθμῷ καὶ μέτρῳ πρυτανεύων Θεὸς, φέρει μὲν ἐπιπλεῖστον τῶν ἀνθρώπων τὰς ἁμαρτίας· ὅταν δὲ αὐξηθεῖσαν ἴδῃ τῇ μακροθυμίᾳ τὴν πονηρίαν, τότε εὐκαίρως τὴν τιμωρίαν ἐπάγει· τοῦτο τοίνυν καὶ ἐνταῦθά φησι· καιρὸς διαναστῆναι εἰς ἐπικουρίαν ὦ Δέσποτα, τῶν ἀδικουμένων· καιρός σοι τῷ Κυρίῳ τοῦ ποιῆσαι ἐκδίκησιν· κομιδῇ γάρ σου τὸν νόμον ἀπώσαντο οἱ πολέμιοι· ὑπεμφαίνει δὲ κατὰ τὸν Ἀνώνυμον,

**127 : „ Διὰ τοῦτο ἠγάπησα τὰς ἐντο-
„ λάς σου ὑπὲρ χρυσίον καὶ τοπά-
„ ζιον.**

Ἐπειδὴ, λέγει, οἱ παράνομοι ἄνθρωποι διεσκέδασαν τὸν νόμον σου. διὰ τοῦτο ἐγὼ, τὸν ἠγάπησα περισσότερον ἀπὸ τὸ χρυσάφι, καὶ ἀπὸ τοὺς τιμίους λίθους, καὶ ἀπὸ τὸν πολὺν πλοῦτον. (1)

**128 : „ Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντο-
„ λάς σου κατωρθούμην, πᾶσαν ὁ-
„ δὸν ἄδικον ἐμίσησα.**

Ἐγὼ, λέγει, ἐδυνόμην καὶ ἐπρόκοπτον, ὄχι εἰς ταύτην ἢ εἰς ἐκείνην τὴν μερικὴν ἐντολὴν, ἀλλὰ εἰς ὅλας ἁπλῶς τὰς ἐντολάς σου Κύριε. ἐπρόκοπτον δὲ εἰς ὅλας διὰ νὰ θεραπεύσω ἐσένα, ὁποῦ τὰς ἐπρόςαξες ὅλας. διατὶ ἐκεῖνοι, ὁποῦ παραβαίνουν κἂν μίαν ἀπὸ αὐτὰς, παροργίζουν ἐσένα. οὐ μόνον δὲ ἐπρόκοπτον εἰς ὅλας τὰς ἐντολάς σου, ἀλλὰ καὶ ἐμίσησα κάθε ςράταν κακίας. διατὶ ὅποιος ἀγαπᾷ τὰς ἐντολὰς τοῦ Θεοῦ, αὐτὸς ἐξ ἀνάγκης μισεῖ κάθε κακίαν, ἥτις εἶναι ἐναντία εἰς τὰς ἐντολάς. ἀσύμφωνα γὰρ καὶ ἀσυμβίβασα εἶναι ἡ ἀρετὴ καὶ ἡ κακία, τὸ φῶς καὶ τὸ σκότος, ἡ ὑγεία καὶ ἡ ἀσθένεια. καὶ εἰς ἕνα ὑποκείμενον δὲν ἠμποροῦν νὰ εὑρεθοῦν καὶ τὰ δύω. (2)

**129 : „ Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ
„ τοῦ-**

καὶ τὴν κλῆσιν τοῦ νέου λαοῦ, λέγων· καιρὸς τοῦ ποιῆσαι τὴν κλῆσιν τῶν Ἐθνῶν· ὅτε τὸν νόμον σου οἱ παραλαβόντες αὐτὸν διεσκέδασαν: τουτέςιν οἱ ἐκ περιτομῆς Ἰουδαῖοι· „ Καιρῷ γάρ, φησι, δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. λέγει δὲ ὁ Δίδυμος· „ Διασκεδάζουσι τὸν νόμον, οἱ μὴ μίαν παρανομίαν, διαφόρους δὲ καὶ πολλὰς ἐργαζόμενοι, καὶ πάντας εἰς πολυσχιδεῖς κακίας ἐρεθίζοντες· ὅταν ἄρχοντες οὗτοι μάλιςα τῶν λαῶν τυγχάνωσιν. ἢ διδάσκαλοι· τότε τοίνυν χρὴ δικαιοπραγεῖν, καὶ τὸν ἑαυτοῦ τινα βίον ῥυθμίζειν μετὰ σπουδῆς εἰς εὐσέβειαν.

(1) Λέγει γὰρ ὁ Θεοδώριτος· „ Ἐκεῖνοι μὲν οὖν τοῦ σοῦ κατεφρόνησαν νόμου· ἐγὼ δὲ ἀξιεραςοτέρας ἡγοῦμαι τὰς σὰς ἐντολὰς χρυσίου καὶ λίθων πολυτελῶν· τῶν γὰρ τιμίων λίθων ἐςὶν ὁ τοπάζιος· ἀπὸ τοῦ ἑνὸς γὰρ λίθου τοῦ τοπαζίου, ὃν εἰκὸς κατ' ἐκεῖνον τὸν χρόνον προτιμᾶσθαι, παρεδήλωσεν ἅπαντας. λέγεται δὲ κατὰ τὸν Νικήταν, ὁ λίθος οὗτος διαυγέςατος εἶναι καὶ ὑποχλωρίζων, ἐν Τοπάζῳ πόλει Ἰνδικῇ εὑρισκόμενος· τριβόμενος δὲ ἐν ἰατρικῇ ἀκόνῃ, οὐκ ἐρυθρὸν ἀποδίδωσι κατὰ τὸ χρῶμα χυλὸν, ἀλλὰ γαλακτώδη· ἐμπίπλησι δὲ κρατῆρας, ὅσας ἂν ἐθέλῃ ὁ ὑποτρίβων. καὶ οὔτε τῷ ςαθμῷ, οὔτε τῇ περιφερείᾳ ἐλαττοῦται· ὃ καὶ παράδοξον· ἡ μέν τοι τοῦ Πτολεμαίου μήτηρ, ἐφ' οὗ ἑρμηνεύθη ἡ θεία Γραφὴ, ἰδοῦσα τὸν λίθον τοῦτον, ἥσθη τῷ θαύματι· καὶ συναγαγοῦσα αὐτὸν, τίμιον πεποίηκε. Μερικοὶ δὲ λέγουν, ὅτι τὸ τοπάζιον ἔχει χρῶμα ὅμοιον τῷ τοῦ χρυσίου, καὶ διὰ τοῦτο μετὰ τοῦ χρυσίου ὁ Δαβὶδ αὐτὸ συνηρίθμησε. λέγει δὲ καὶ ὁ Ἀθανάσιος· „ Ταῦτα συνᾴδει τῷ· „ Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου· καὶ τῷ· „ Λάβετε παιδείαν καὶ μὴ ἀργύριον, καὶ γνῶσιν, ὑπὲρ χρυσίον δεδοκιμασμένον (Παρ. η'. 10) κρείσσων γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐςίν. ὁ δὲ Ὠριγένης, τὸ διὰ τοῦτο ἀποδίδει εἰς τὸ καιρὸς τοῦ ποιῆσαι: ἤτοι ἐπειδὴ εἶναι καιρὸς νὰ κάμῃς ἐκδίκησιν κατὰ τῶν διασκεδασάντων τὸν νόμον σου Κύριε, διὰ τοῦτο ἐγὼ φοβούμενος νὰ μὴ περιπέσω εἰς τὸν καιρὸν ἐκεῖνον τῆς σῆς ἐκδικήσεως, ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ πάντα τὰ τίμια.

(2) Λέγει δὲ ὁ Νικήτας· „ Θαυμασίως δὲ εἴρηται τὸ, πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, τοῦτο γὰρ τελειότητος· τῷ δὲ τοιούτῳ ἕπεται τὸ μισῆσαι πᾶσαν ὁδὸν ἄδικον, ἑκάςης ἀρετῆς τὴν ἀντικειμένην κακίαν φυγαδευούσης· ἐπεὶ μηδὲ οἷόν τε ἦν, καὶ πᾶσαν ὁδὸν ἄδικον ἀγαπᾶν, καὶ τὰς ἐντολάς· ἀλλὰ τῶν δυοῖν τὸ ἕτερον· τί δὲ βούλεται τὸ, κατωρθούμην; ἀποκρίνεται ὁ Εὐσέβιος καὶ Ὠριγένης· „ Ἡ ἀνθρωπίνη ψυχὴ συμπληρώσασα τὸν λόγον, ἐν κακίᾳ γίνεται· ἐπὰν οὖν γένηται ἡ κακία, καὶ ςρεβλωθῇ ἡ ψυχὴ, δεῖται κατορθώσεως· τὸ δὲ ἄπερας ψυχὴν ἐνταῦθα κατορθωθῆναι, ἀμήχανόν ἐςι χωρὶς πασῶν τῶν ἐντολῶν· εἰ μέν τοιγε σκολιὰ παραληφθείη ἡ ψυχὴ, οὐκέτι ἐντολαῖς κατορθωθήσεται· ἀλλὰ πυρὶ, ἢ σκότῳ, ἢ διχοτομίᾳ, ἤ τινι τῶν σκυθρωποτέρων. ἔφη δὲ ὁ Κυρήνης Συνέσιος· „ Τὸ ἀντικειμένως ἔχειν πρὸς παντοδαπὴν πονηρίαν, οἰκείως ἐςὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν.

„ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή „ μου.

Θαυμασταί, λέγει, εἶναι αἱ ἐντολαί σου Κύριε. διότι, πῶς δὲν εἶναι θαυμασταὶ αὐταί, ὁποῦ διδάσκουσι μὲν, κάθε εἶδος ἀρετῆς, διώκουσι δὲ, κάθε εἶδος κακίας, κατὰ τὸν Δίδυμον; διὰ τοῦτο δὲν ἠρεύνησεν αὐτὰς ἁπλῶς ἡ ψυχή μου, ἀλλὰ ἐξηρεύνησε: μὲ ὅλην δηλαδὴ τὴν δυνατὴν τελειότητα καὶ ἀκρίβειαν.

130: „ Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ „ καὶ συνετιεῖ νηπίους.

Ἡ ἐξήγησις, λέγει, καὶ φανέρωσις τῶν λόγων σου Κύριε, φωτίζει καὶ συνετίζει καὶ αὐτοὺς ἀκόμη τοὺς ὄντας νηπίους καὶ ἀδιακρίτους κατὰ τὴν ἡλικίαν. πολλῷ δὲ μᾶλλον φωτίζει τοὺς ἄνδρας, τοὺς ἔχοντας μέτρα λόγου καὶ διακρίσεως. ἢ φωτίζει τοὺς νηπίους κατὰ τὸν νοῦν. ἢ τοὺς ἐξ Ἐθνῶν πιστεύσαντας, ὡς προσηγεῖς καὶ νηπίους εἰς τὴν Θεογνωσίαν καὶ ἁπλῶς εἰπεῖν, φωτίζει τὸν νέον λαόν. (2)

131: „ Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα „ Πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐ„ πεπόθουν.

Τὸ στόμα, λέγει, τῆς ψυχῆς μου: ἤτοι τὴν διάνοιάν μου κατὰ τὸν Θεοδώρητον, ἔκλεισα μὲν ἀπὸ τοὺς πονηροὺς λογισμούς. ἤνοιξα δὲ αὐτὸ, εἰς τοὺς ἀγαθοὺς λογισμούς. καὶ διὰ τοῦτο ἐτράβιξα εἰς τὸν ἑαυτόν μου Πνεῦμα συνέσεως καὶ χάρισμα σοφίας. τὸ δὲ ἐπεπόθουν, καὶ τὸ ἐξηρεύνησα, καὶ τὸ ἐπήλπισα, καὶ τὰ τοιαῦτα ῥήματα, ὁποῦ ἀναφέρει ὁ Δαβίδ, ἑνωμένα ὄντα μετὰ προθέσεως εἶναι δηλωτικὰ ἐπιτάσεως καὶ ὑπερβολῆς. ἤγουν ἐπόθουν τὰς ἐντολάς σου ὑπερβολικά. ἠρεύνησα τὰς ἐντολάς σου πολλά. ἤλπισα εἰς τὰς ἐντολάς σου δυνατά. (3)

Στά-

(1) „ Οἱ μὲν ἄλλοι. φησὶν ὁ Θεόδωρος, χρυσίον θαυμάζουσι ϗ λίθους· ἐγὼ δὲ θαυμάσιον ϗ μόνον καλὸν ἐπιστάμενος τὰ θεῖα προστάγματα, τούτων ἔχομαι· ϗ θησαυροῦ παντὸς μᾶλλον διαφυλάττω· „ Καὶ ἐπειδὴ κατὰ τὸν Ὠριγένη, πολὺν ἔχουσι νοῦν, τούτου χάριν, οὐχ ὡς ἔτυχεν αὐτοῖς προσέχω, ἀλλ' ἐπιτεταμένως ἐξερευνᾷ αὐτὰ ἡ ψυχή μου· ἕως οὗ τὴν ἀκραιφνεστάτην τῆς ἐπιστήμης αὐτῶν ἔξω ἀλήθειαν· „ Οὐ μάτην δὲ τούτων ἠράσθη ὁ Δαβίδ. λέγει ὁ Χρυσόστομος ϗ Θεοδώρητος· ἀξιάγαστα γάρ ἐστι ϗ ἱκανὰ καταθέλξαι, ϗ εἰς ἔρωτα διεγεῖραι τοὺς κατιδεῖν δυναμένους.

(2) Ὁ δὲ Ἀκύλας εἶπεν· „ Ἄνοιγμα ῥημάτων, ἀντὶ τοῦ, ἡ δήλωσις τῶν λόγων σου. ὁ δὲ Σύμμαχος· „ Θύρα τῶν λόγων σου· τῷ σῷ, φησὶν ὁ Θεοδώρητος ϗ Εὐσέβιος, καταυγαζόμενος φωτὶ, ταύτην ἐδεξάμην τὴν γνῶσιν τῶν ἐντολῶν σου, ὡς διὰ θύρας, τῆς εἰσαγωγῆς ϗ πρώτης ἀνοίξεως ϗ παραδόσεως τῶν λόγων σου· ταῦτα δὲ ἐκβέβηκε κατὰ τὴν ἐπιδημίαν Χριστοῦ· αὐτὸς γὰρ ἐλήλυθε πληρῶσαι τὸν νόμον ϗ τοὺς Προφήτας, ϗ πάντας τοὺς ἐν αὐτοῖς λόγους ἐφανέρωσε· τοῦτο μὲν, ἐκβάσει πληρῶν τὰς προφητείας· τοῦτο δὲ, ἀνακαλύπτων τὸν νόμον, ἐπὶ τῷ μηκέτι γράμματα ϗ σκιὰν, ἀλλὰ πνευματικὸν αὐτὸν ὁρᾶσθαι· ὅθεν ἔλεγε περὶ τῶν Ἀποστόλων· „ Ἐξομολογοῦμαί σοι Πάτερ, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν ϗ συνετῶν ϗ ἀπεκάλυψας αὐτὰ νηπίοις, κατὰ τὸν Χρυσόστομον, λέγει δὲ ὁ Ἀθανάσιος· „ Νηπίους νοήσεις τοὺς ἐν ἀγνοίᾳ κατεχομένους, ϗ βρέφεσιν ἐοικότας· τούτους γὰρ ὁ λόγος σου συνέσεως ἐμφορεῖ. ϗ ὁ Θεόδωρος· „ Δήλωσιν φορεῖν ὁ ἀρχιερεὺς ἐν τῷ λογείῳ προσετάχθη καὶ ἀλήθειαν· αὕτη τοίνυν ἡ δήλωσις φωτιεῖ ϗ συνετιεῖ νηπίους.

(3) Λέγει δὲ ὁ Θεολόγος Γρηγόριος· „ Χρὴ τοίνυν πνευματικῆς ἀκολουθίας ὑπολαμβάνειν, τῇ δὲ ἔργων φιλοσοφίᾳ καθᾶραι πρότερον ἑαυτὸν, εἶτα τὸ στόμα τῆς διανοίας ἀνοίξαντα, ἑλκύσαι πνεῦμα, εἶτα ἐξερεύξασθαι λόγον ἀγαθὸν, ϗ λαλεῖν Θεοῦ σοφίαν τελείαν ἐν τοῖς τελείοις. ϗ ὁ ἅγιος Νεῖλος· „ Ὅταν καθάπερ μικρὰ χελιδὼν τὸ στόμα.

Στάσις Β.

132 : „ Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν „ με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων „ τὸ ὄνομά σου.

Κάθε ἄνθρωπος χρειάζεται πάντοτε τὸ ἔλεος τοῦ Θεοῦ. ὅθεν λέγει ἐδῶ ὁ Δαβίδ. ἐπίβλεψον εἰς ἐμένα, ὁποῦ πειράζομαι καὶ θλίβομαι. καὶ ἐλέησόν με κατὰ τὸ κρίμα: ἤγουν κατὰ τὸν ὅρον καὶ τὴν ἀπόφασιν, ὁποῦ ἔχεις εἰς τοὺς ἀγαπῶντάς σε. κρίνας δηλαδὴ καὶ ἀποφασίσας νὰ ἐλεῇς αὐτοὺς καὶ νὰ βοηθῇς. καὶ μάλιστα, ὅταν εὑρίσκωνται εἰς θλίψεις καὶ πειρασμούς. (1)

133 : „ Τὰ διαβήματά μου κατεύθυνον κα„ τὰ τὸ λόγιόν σου, καὶ μὴ κατα„ κυριευσάτω μου πᾶσα ἀνομία.

Ὁμάλισον, λέγει, Κύριε, καὶ ἴσασον τὴν στράταν τῆς ζωῆς μου, κατὰ τὴν στράταν τοῦ θείου νόμου σου, καὶ ἂς μὴ με καταδουλώσῃ κάθε ἀνομία, ὥστε ὁποῦ καὶ νὰ πράξω αὐτήν. διότι κατὰ τὸν λόγον τοῦ Κυρίου „ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. (Ἰω. Η. 34) ἢ ἂς μὴ με καταχυριεύσῃ ἄνομος ἄνθρωπος, ὥστε ὁποῦ νὰ με κάμῃ ὑποδουλόν του. πᾶσα δὲ ἀνομία εἶπεν: ἤτοι ὁποία καὶ ἂν ἦναι. ταυτὸν εἰπεῖν, οὐδεμία ἀνομία ἂς μὴ με καταχυριεύσῃ. (2)

134 : „ Λύ-

στόμα τῆς διανοίας ἀνοίξαμεν, ἐπιφοιτήσασα τοῦ Κυρίου ἡ χάρις. τροφὴν ἐπιδίδωσι, καθάπερ νεοσσῷ τινι κεχηνότι. κατὰ δὲ τὸν Νύσσης Γρηγόριον ϗ Βασίλειον. „ Δύναται εἶναι ψυχῆς στόμα ἡ διανοητικὴ αὐτῆς δύναμις. ᾗ διανοουμένη προφέρει τὸν ἐν διανοίᾳ λόγον. ἵν' οὖν μὴ ἐκ ψιλῆς τῆς ἑαυτοῦ νοήσεως ὁ Προφήτης ἀπαγγέλλῃ. ἀλλὰ ϗ ἐκδιδομένων αὐτῷ θεόθεν λόγων, ἀνοίγει τὸ στόμα λόγῳ Θεοῦ, ἵνα λάβῃ λόγον ἐν ἀνοίξει στόματος. οὐδὲν δὲ διαφέρει εἰπεῖν, λαβεῖν λόγους, ἢ ἑλκύσαι Πνεῦμα. τὰ γὰρ τοῦ Κυρίου ῥήματα, Πνεῦμά ἐστι ϗ ζωή ἐστι. ϗ τὴν αἰτίαν δὲ ἀποδέδωκε τοῦ διὰ τοῦ στόματος ἑλκύσαι τὸ παρὰ Θεοῦ Πνεῦμα, εἰπών. „ Ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. αὐτῆς τῆς ἐπιποθήσεως τῶν ἐντολῶν ἐπισπωμένης, ϗ ἐφελκομένης τὸ Πνεῦμα, ἐφιπτάμενον πᾶσι τοῖς τὰς ἐντολὰς ποθοῦσιν. ὅθεν εἶπεν ὁ Ὠριγένης. „ Μισθὸς ἄρα τῆς χορηγίας τοῦ Πνεύματος, ἡ φύλαξις τῶν ἐντολῶν τοῦ Θεοῦ ϗ κατόρθωσις.

(1) Σαφέστερον δὲ εἶπεν ὁ Θεοδώρητος. „ Τῆς θείας εὐμενείας ἱκετεύει τυχεῖν. οὐχ ἁπλῶς, ἀλλ' ὡς εἴωθεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν παρέχειν τὸν ἔλεον. ὡς γὰρ κέκρικας, φησι, ϗ ὅρον ἔθου ἐπιβλέψαι, ϗ πολλῆς ἐπισκοπῆς ἀξιῶσαι τοὺς ἀγαπῶντας τὸ ὄνομά σου, οἳ ἐπαναβεβήκασι τοὺς φοβουμένους. οὕτω με τῆς αὐτῆς ἀξίωσον ἐπισκοπῆς, ϗ τοῦ αὐτοῦ ἐλέους. μετὰ τῆς ἴσης ψήφου, μετὰ τοῦ αὐτοῦ κρίματος. ἐπειδὴ γὰρ κατὰ τὸν Τιμόθεον. „ Τῶν ἐλεουμένων ὑπὸ Θεοῦ, οἱ μὲν, ἐλεοῦνται διὰ μετανοίας, ἄρτι ἁμαρτιῶν ἀναχωροῦντες ϗ ἐξομολογούμενοι. οἱ δὲ, ἐπὶ τῷ προκόπτοντας, σπεῦσαι ἐπὶ τὸ τέλος αὐτὸ τῆς ἀρετῆς. αἰτεῖ οὗτος ἐλεηθῆναι, οὐ κατὰ τὸ κρίμα τῶν μετανοούντων, ἀλλὰ τῶν κατ' ἀρετὴν προκοψάντων. διὸ ϗ παῤῥησιάζεται ὀφθῆναι τῷ Κυρίῳ. ἐπίβλεψον γάρ, φησιν, ἐπ' ἐμέ.

(2) Λέγει δὲ ὁ Θεοδώριτος. „ Ἡμῶν δὲ προεισφερόντων τὴν προθυμίαν, ϗ Θεοῦ παρέχοντος τὴν βοήθειαν ϗ τὴν πορείαν εὐθύνοντος, χώραν οὐκ ἔχει τῆς ἁμαρτίας ἡ δυναστεία. ὁ δὲ Βασίλειος οὕτω φησι. „ Καὶ σὺ ὁδοιπόρος εἶ, ὅμοιος τῷ εὐχομένῳ. „ Τὰ διαβήματά μου κατεύθυνον. πρόσεχε μὴ παρατραπῇς τῆς ὁδοῦ: μὴ ἐκκλίνῃς δεξιὰ, ἢ ἀριστερά. ὁδῷ βασιλικῇ πορεύου. λέγει δὲ ϗ ὁ Εὐσέβιος. „ Ἡμᾶς δεῖ προτίθεσθαι τὴν ἀγαθὴν ὁδὸν, ἄρξασθαί τε αὐτῆς. Θεοῦ δὲ τὸ κατευθῦναι τοὺς ὁδεύοντας. ἐὰν γὰρ αὐτὸς κατευθύνῃ τὴν ὁδὸν, καὶ τὴν ἡμετέραν κυβερνήσῃ πολιτείαν. κατὰ τὸν νόμον αὐτοῦ προβαίνει. ϗ οὐδεμία ἁμαρτία ἡμῶν κατακυριεῦσαι δύναται. τὸ λόγιον γὰρ τοῦ Θεοῦ, κατὰ τὸν Ἀπολλινάριον, κατευθύνει τὰ διαβήματά μου, ἐκ κακίας ϗ ἀγνοίας, εἰς ἀρετὴν ϗ γνῶσιν τῆς ἀληθείας διαβαίνοντος. Σημείωσαι, ὅτι τοῦτο ὁποῦ λέγουσιν ἐδῶ ὅ,τε Θεοδώρητος καὶ Εὐσέβιος: ὅτι δηλαδὴ ἡμεῖς προεισφέρομεν τὴν προθυμίαν εἰς τὰ καλὰ, ϗ ἀρχόμεθα τῆς ἀγαθῆς ὁδοῦ. τοῦτό φημι τὸ λέγουσι κατὰ τὸ πρόχειρον νόημα. κατὰ δὲ ἀκρίβειαν. ὁ Θεὸς εἶναι ὁποῦ ἀρχίζει, ϗ ὁ Θεὸς εἶναι ὁποῦ τελειόνει κάθε καλόν. ϗ αὐτὸς εἶναι, ὁποῦ δυναμόνει μὲ τὴν χάριν του τὴν θέλησιν ϗ προθυμίαν μας, εἰς τὸ νὰ θέλωμεν τὰ καλά. ὅθεν ὁ Παῦλος ταῦτα βεβαιῶν λέγει. „ Ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ (Φιλιπ. α. 6.) ϗ πάλιν. „ Ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν ϗ τὸ θέλειν

134 : „ Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Λύτρωσαί με, λέγει, Κύριε, διὰ μήτε οἱ ἄλλοι ἄνθρωποι συκοφαντήσουν ἐμένα, μήτε ἐγὼ ἐκείνους. διατὶ ἡ συκοφαντία εἶναι πρᾶγμα βαρὺ καὶ δυσκολοϋπόφερτον. καὶ προξενεῖ πολλαῖς φοραῖς εἰς τοὺς μικροψύχους ἀπόγνωσιν, καὶ ἄρνησιν τῆς ἄνωθεν Προνοίας τοῦ Θεοῦ. Διὰ τὴν λύτρωσιν δὲ ταύτην τὴν ἐκ τῆς συκοφαντίας, ὑπόσχεται ὁ Δαβὶδ νὰ προσφέρῃ ἀμοιβὴν εἰς τὸν Θεόν, τὴν φύλαξιν τῶν ἐντολῶν του. ἢ νοεῖται καὶ ἄλλως. λύτρωσαί με Κύριε, ἀπὸ τὴν συκοφαντίαν, ὁποῦ με ἐνοχλεῖ, καὶ θέλω φυλάξω τὰς ἐντολάς σου. διατὶ ἡ συκοφαντία συνηθίζει νὰ ἐμποδίζῃ τοὺς μικροψύχους ἀνθρώπους καὶ ὀλιγοπίστους, ἀπὸ τὴν φύλαξιν τῶν ἐντολῶν τοῦ Θεοῦ. (1)

135 : „ Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Φανέρωσον, λέγει, εἰς ἐμένα Κύριε, τὴν ἐποπτικήν σου δύναμιν: ἤτοι ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ δίδαξόν με τὰ δικαιώματά σου· διατὶ ἐὰν ἐσὺ δὲν μὲ διδάξῃς, ἐγὼ ἀφ' ἑαυτοῦ μου δὲν δύναμαι νὰ τὰ μάθω. νοεῖται δὲ καὶ ἄλλως, κατὰ τὸν Κύριλλον, καὶ Ἀθανάσιον. πρόσωπον τοῦ Πατρὸς εἶναι ὁ υἱὸς, „ ὁ ἑωρακὼς γὰρ, φησιν, ἐμὲ, ἑώρακε τὸν Πατέρα. (Ἰω. ιδ. 9) ἐπειδὴ καὶ χαρακτὴρ τοῦ Πατρὸς ὀνομάζεται. παρακαλεῖ λοιπὸν ὁ Δαβὶδ τὸν Πατέρα νὰ ἐμφανίσῃ τὸν υἱόν του σεσαρκωμένον. ὁ ὁποῖος μέλλει νὰ ἐνανθρωπήσῃ, καὶ νὰ διδάξῃ αὐτὸν τὰ δικαιώματα τοῦ Εὐαγγελίου τοιουτοτρόπως, καθὼς μέλλει νὰ τὰ νομοθετήσῃ. (2) ἢ ἐκκλησιαστικῶς τοῦ νέου λαοῦ παρακαλεῖ ὁ Δαβὶδ τὸν Πατέρα, νὰ ἀποστείλῃ εἰς αὐτὸν τὸν Υἱόν του, διὰ νὰ διδάξῃ αὐτὸν τὰ Εὐαγγελικά του προστάγματα.

136 : „ Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σου.

Διέξοδοι ὑδάτων λέγονται, τὰ ρυάκια καὶ τὰ κοιλώματα, ὁποῦ γίνονται ἀπὸ τὸ νερόν. λέγει λοιπὸν ὁ Δαβὶδ, ὅτι οἱ ὀφθαλμοί μου δακρύοντες, ἔβγα-

---

λειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας (Φιλιπ. Β'. 13.) καὶ ὁ Σολομῶν· „ Καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου (Παρ. η'. 35.) καὶ ὁ Κύριος δὲ εἶπε· „ Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδὲν (Ἰωάν. ιε'. 15.)

(1) Ἄλλος δὲ λέγει· „ Οὐκ ἔςι πόνος ψυχῆς βαρύτερος συκοφαντίας, ἄν τε εἰς πίςιν, ἄν τε εἰς βίον τις συκοφαντῆται· ὅθεν γέγραπται· „ Συκοφαντία περιφέρει σοφόν (Ἐκκλ. Ζ'. 8.) καὶ οὐδεὶς ταύτης καταφρονεῖν δύναται, εἰμὴ μόνος ὁ εἰς τὸν Θεὸν ἀποβλέπων, ὡς Σωσάννα, τὸν μόνον δυνάμενον, καὶ ἀναγκῶν ῥύσασθαι, καὶ τοὺς ἀνθρώπους πληροφορῆσαι, καὶ τὴν ψυχὴν τῇ ἐλπίδι παραμυθήσασθαι. Ἰςέον δὲ κατὰ τὸν Θεοδώριτον, ὅτι καὶ ὁ Δεσπότης Χριςὸς τοὺς ὀνειδιζομένους καὶ συκοφαντουμένους, ζηλωτοὺς καὶ μακαρίους ἐκάλεσεν, εἰπών: „ Μακάριοί ἐςε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι· ἀλλὰ καὶ εὔξασθαι παρεγγύησε μὴ εἰσελθεῖν εἰς πειρασμόν· συμβαίνει τοίνυν τοῖς Εὐαγγελικοῖς λόγοις καὶ τοῦ Προφήτου ἡ προσευχή· δέχεται γὰρ κατὰ τὸν Ἀνώνυμον, ἀπὸ συκοφαντίας ῥυσθῆναι· καὶ μισθὸν τοῦ λελυτρῶσθαι, μᾶλλον δὲ εὐχαριςίαν, ἐπισχνεῖται τὴν τῶν ἐντολῶν φυλακήν· ὡς μέγα οὖν τὸ δῶρον, οὕτω καὶ τὸ ἀνταπόδομα. ὁ δὲ Κύριλλος σὺν τῷ Ἀθανασίῳ, συκοφαντίαν λέγει τὴν τῶν αἱρετικῶν διδασκαλίαν, καὶ τὴν τῶν σοφῶν τοῦ αἰῶνος τούτου· ῥηθεῖεν δ' ἂν ἄνθρωποι τροπικῶς, ὅ, τε Διάβολος, καὶ αἱ κατ' αὐτὸν Δυνάμεις πονηραὶ, ἀφ' ὧν τῆς συκοφαντίας, μόνον τοῦ Θεοῦ λυτροῦσθαί ἐςι, κατὰ τὸν Ἀνώνυμον.

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ἀσώματον τὸ θεῖον καὶ ἁπλοῦν καὶ ἀσύνθετον· σωματικώτερον δὲ καὶ παχύτερον ἡ θεία Γραφὴ περὶ αὐτοῦ διαλέγεται, τῇ φύσει τῶν ἀνθρώπων μετροῦσα τοὺς λόγους· πρόσωπον τοῦ θείου προσηλοῦν τὴν ἐπιφάνειαν· νοητέον τὴν λύσιν τῶν λυπηρῶν καὶ τὴν τῶν ἀγαθῶν χορηγίαν.

ἐξεθούλωσαν καὶ ἔκαμαν κοιλώματα: ἤτοι ἐξηράνθησαν ἀπὸ τὸ πλῆθος τῶν δακρύων, ὁποῦ ἐκβάλλουσι. διατί; διατὶ οἱ παράνομοι ἄνθρωποι δὲν ἐφύλαξαν τὸν νόμον σου Κύριε. ὅλην γὰρ τὴν νύκτα ἐγὼ λέγει, ἔκλαιον καὶ ἐθρήνουν τοὺς ἀθλίους αὐτούς, νοεῖται δὲ ὁ λόγος οὗτος καὶ διὰ τοὺς Ἰουδαίους. οἱ ὁποῖοι παρανομήσαντες, ἐθανάτωσαν τὸν Χριστόν. τούτους γὰρ ἐθρήνει ὁ Δαβὶδ ὡς ὁμογενεῖς (1)

137: „ Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρί-
„ σεις σου.

Τοῦτο τὸ ῥητόν: ἤγουν τό, δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. εἶναι καλὸν καὶ συμφέρον νὰ νοοῦμεν, καὶ νὰ λέγωμεν πάντοτε εἰς καθε περίστασιν, κατὰ τὸν Εὐσέβιον, καὶ νὰ πιστεύωμεν καὶ νὰ ὁμολογῶμεν αὐτό. ἐὰν γὰρ τοῦτο ἔχωμεν κατὰ νοῦν, δὲν θέλομεν ταραχθῶμεν, ὅταν βλέπωμεν μερικὰ πράγματα νὰ συγχωροῦνται παρὰ Θεοῦ. πιστεύοντες, ὅτι ὅσα συγχωρεῖ ὁ Θεὸς νὰ γίνωνται, εἶναι μὲ δικαίαν κρίσιν αὐτοῦ.

138: „ Ἐνετείλω δικαιοσύνην τὰ μαρτύ-
„ ριά σου καὶ ἀλήθειαν σφόδρα.

Ἐπρόσαξες, λέγει, Κύριε, νὰ φυλάττωνται ὑπὸ τῶν ἀνθρώπων αἱ ἐντολαί σου. διατὶ αὐταὶ εἶναι αὐτόχρημα δικαιοσύνη καὶ ἀλήθεια. ἢ λέγει, ὅτι ἐπρόσαξες τὰ μαρτύριά σου Κύριε, πολλὰ δίκαια καὶ ἀληθῆ. διατὶ ὁ νόμος ἀνταμείβει τὸν καθ᾽ ἕνα, καὶ τὸν ἐνάρετον καὶ τὸν ἁμαρτωλόν, ὅθεν καὶ ἀληθεύει εἰς τὰς ὑποσχέσεις του. (2)

139: „ Ἐξέτηξέ με ὁ ζῆλός σου. ὅτι ἐπε-
„ λάθοντο τῶν λόγων σου οἱ ἐχθροί-
„ μου.

Ὅταν, λέγει, ἐσὺ καταφρονῆσαι Κύριε, ἐγὼ κατατήκομαι καὶ ἀναλύω ἀπὸ τὸν ζῆλον, τὸν ὁποῖον λαμβάνω διὰ τὴν ἐδικήν σου καταφρόνησιν· ἢ λέγει, ὅτι ἡ διὰ τὴν καταφρόνησιν τῶν ἐντολῶν σου γενομένη δικαία ὀργή σου, αὐτὴ καταξηραίνει καὶ ἀναλύει με. ἐπειδὴ ἀλησμόνησαν τὰς ἐντολάς σου καὶ δὲν μελετοῦν αὐτὰς οἱ παράνομοι ἄνθρωποι· οἵτινες διὰ τοῦτο καὶ μόνον ἔγιναν ἐχ-

(1) Ὁ Θεοδώριτος δὲ λέγει· „ Ἀποστολικὸς ϗ οὗτος ὁ νόμος· „ Πενθήσω γάρ, φησι, πολλοὺς τῶν προημαρτηκότων ϗ μὴ μετανοησάντων. ϗ· „ Τίς ἀσθενεῖ ϗ οὐκ ἀσθενῶ; ϗ πάλιν· „ Εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· τὴν Εὐαγγελικὴν τοίνυν ὁ Προφήτης μετέρχεται τελειότητα, τὰς τῶν ἄλλων παρανομίας ὀλοφυρόμενος· οὐ δὲ ὀφθαλμοὶ διαιρέσεις ὑδάτων κατέφερον· διεξόδους γὰρ ὑδάτων τὸ πλῆθος τῶν δακρύων ἐκάλεσεν· ἀντὶ τοῦ κρουνηδὸν ἔφερον τὰ δάκρυα, τὰς τῶν ἀνθρώπων παρανομίας θεώμενος. Σημείωσαι, ὅτι ἐν ἄλλοις γράφεται εἰς πρῶτον πρόσωπον· „ Οὐκ ἐφύλαξα: ἐγὼ δηλαδὴ τὸν νόμον σου, ἁμαρτήσας, ϗ διὰ τοῦτο θρηνῶ ϗ δακρύω· ἴσως δὲ εἰς τὸ διεξόδους ὑδάτων εὑρίσκεται ἡ διὰ πρόθεσις ἐν συντάξει, ϗ ὄχι ἐν συνθέσει· διὰ νὰ ἦναι τὸ νόημα τοιοῦτον· διὰ τὰς ἐξόδους τῶν ὑδάτων· ἤτοι τῶν δακρύων, κατέδυσαν ϗ ἐξηράνθησαν οἱ ὀφθαλμοί μου.

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „ Δικαίως ἅπαντα διέπεις, ὦ Δέσποτα, ϗ τῶν ἀνθρώπων κηδόμενος ϗ δικαιοσύνης ἐργάτας ἀποφῆναι βουλόμενος, ϗ νόμον ἔδωκας, ϗ διαμαρτύρῃ τοῖς παραβαίνουσιν, ὁποίας τίσουσι δίκας· ϗ ὑπισχνῇ τοῖς φυλάττουσι τὰς ἀγαθὰς ἀντιδόσεις· ϗ βεβαιοῖς τὰς ἐπαγγελίας τοῖς ἔργοις· τοῦτο γὰρ δηλοῖ τό, ἀλήθειαν σφόδρα· λέγει δὲ ὁ Δίδυμος· „ Διὰ τοῦτο εὐθεῖς αἱ κρίσεις σου· ἐπεὶ δίκαιος ὤν, κατὰ τοὺς τῆς δικαιοσύνης κανόνας εὐθυτάτους ὄντας, κρίνεις πάντας τοὺς δεξαμένους τὰ κρίματά σου· τοῦτο τὸ ῥητόν: ἤτοι τό· „ Δίκαιος εἶ Κύριε, ϗ εὐθεῖς αἱ κρίσεις σου γράφουσιν αἱ ἱστορίαι, ὅτι ἔλεγεν ὁ βασιλεὺς Μαυρίκιος εἰς τὸν φόνον τῆς γυναικός του, ϗ τοῦ καθέτου τέκνου.

ἐχθροί μου. (1)

140: „ Πεπυρωμένον τὸ λόγιόν σου, σφό„ δρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν „ αὐτό.

Ὁ νόμος σου, λέγει, Κύριε, εἶναι καθαρώτατος καὶ ἄμεμπτος, καθὼς εἶναι καθαρὸν καὶ τὸ πυρωθὲν χρυσάφι εἰς τὸ χωνευτήριον. εἶπε δὲ καὶ εἰς τὸν ια Ψαλμόν. „ Τὰ λόγια Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον. ἠγάπησε δὲ, εἶπε, τὸν νόμον σου μόνος ἐκεῖνος, ὅποιος εἶναι δοῦλος καὶ θεράπων σου. καὶ ὅποιος μετὰ φόβου σὲ λατρεύει. (2)

141: „ Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενω„ μένος, τὰ δικαιώματά σου οὐκ ἐ„ πελαθόμην.

Κατὰ τὴν Ἱςορίαν, ὁ Δαβὶδ ἦτον νεώτερος ἀπὸ τοὺς ἄλλους του ἀδελφούς: ὅθεν καὶ ἐκαταφρονήθη ἀπὸ τὸν πατέρα του διὰ τὴν ὀλιγοχρόνιον καὶ νεαρὰν ἡλικίαν του, ὅταν ὁ Σαμουὴλ ἐπῆγε διὰ νὰ χρίσῃ αὐτὸν βασιλέα, κατὰ τὸν Θεοδώρητον. ἀλλὰ καὶ ἀπὸ τὸν Σαοὺλ νεώτερος ἦτον ὁ Δαβίδ, καὶ ἐξουθένει ὁ πρ. αὐτοῦ καὶ ἐδιώκετο. μὲ ὅλον τοῦτο αὐτὸς ὁ ἐξουθενημένος, περισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐνθυμεῖτο καὶ ἐμελέτα τὰς ἐντολὰς τοῦ Θεοῦ. νοεῖται δὲ τὸ ῥητὸν τοῦτο καὶ ἀπὸ τὸ πρόσωπον τοῦ νέου λαοῦ τῶν Χριςιανῶν, ὁ ὁποῖος, ἦτον μὲν ἐξουδενωμένος καὶ καταφρονημένος ἀπὸ τὸν παλαιὸν λαὸν τῶν Ἑβραίων, τηρεῖ ὅμως καὶ φυλάττει τὸν παλαιὸν νόμον, περισσότερον ἀπὸ τὸν λαὸν τῶν Ἑβραίων: τὸ ἠθικὸν δηλαδὴ μέρος τοῦ νόμου, τὸ περιέχον τὸν δεκάλογον, καὶ οὐχὶ τὸ τελετουργικὸν, τὸ διορίζον περὶ διαφόρων θυσιῶν καὶ καθαρισμῶν. (3)

142: „ Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς „ τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀ„ λήθεια.

Ἡ δικαιοσύνη σου, λέγει, Κύριε, εἶναι δι-

(1) Λέγει δὲ ὁ Θεοδώρητος· „ Καὶ τοὺς παρανομίᾳ συζῶντας ὁ Προφήτης θρηνεῖ, καὶ καταφρονούμενον ὁρῶν τὸν Νομοθέτην, ἐνδίκως ἀγανακτεῖ· οὗτος ὁ ζῆλος τὸν Φινεὲς ἀνεκήρυξεν· οὗτος τὸν μέγαν Ἠλίαν ἀοίδιμον ἀπετέλεσε, λέγοντα· ζηλῶν ἐζήλωκα Κυρίῳ Παντοκράτορι· τούτῳ πυρπολούμενος ὁ θεῖος Στέφανος, τὴν Ἰουδαίων ἀπισίαν διήλεγχε· τοῦτον ἐν ἑαυτῷ περιφέρων ὁ θεσπέσιος Παῦλος καθάπτεται Κορινθίων λέγων· „ Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· καὶ πάλιν ἐβόα· „ Τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;

(2) Κατὰ δὲ τὸν Θεολόγον Γρηγόριον καὶ τὸν θεῖον Κύριλλον· „ Ὁ μὲν τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ Θεοῦ λογίοις, τοῖς θερμοῖς καὶ μηδὲν ἔχουσιν ὑδαρὲς, ἢ ἀπεψυγμένον καυθεὶς τὴν καρδίαν, ἐν τῷ διανοιγῆναι αὐτῷ τὰς Γραφὰς, νοῦν ἔχει Χριςοῦ· ὁ δὲ τὸν ζέοντα καὶ διάπυρον τοῦ Θεοῦ λόγον οὐκ ἔχων, τὸν ποιοῦντα τοὺς ἀγαπῶντας αὐτὸν τῷ Πνεύματι ζέοντας, ἀπεψυγμένος ἂν εἴη καὶ νεκρός· ψυγήσεσθαι γὰρ τὴν ἀγάπην τῶν πολλῶν, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, καὶ ὁ Κύριος ἔφη. λέγει δὲ καὶ ὁ Ὠριγένης· „ Ἄδολος ἐστὶν ὁ τοῦ Θεοῦ νόμος, ὡς αὐτῷ πεπυρωμένος τῷ Πνεύματι· διόπερ οὐ κολακείαν, οὐκ εἰρωνείαν κέκτηται· ἀλλὰ φανερῶς τοὺς ἁμαρτάνοντας ἐλέγχει· τοὺς ἀμελοῦντας σύφει· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον· τοῦτον τοίνυν, εἴπερ ἐσμὲν δοῦλοι τοῦ Θεοῦ, καὶ ἡμεῖς ἀγαπήσωμεν· μὴ δολοῦντες, καθαρὸν δὲ προφέροντες, καθάπερ ἐκ τῆς τοῦ Πνεύματος χωνείας ἐδεξάμεθα· καὶ ὁ Ἀνώνυμος· „ Τί δεῖ φρονεῖν περὶ τῶν λογίων τοῦ Θεοῦ; ὅτι ἐςὶν ἐξητασμένα· ὅτι οὐδεμία συλλαβὴ εἰκῇ καὶ ὡς ἔτυχε παρέῤῥιπται ἐν ταῖς Γραφαῖς· ἀλλὰ πάντα οὕτως ἐςὶ γεγραμμένα, ὡς τὸ πεπυρωμένον ἀργύριον· διὰ τοῦτο καὶ ὁ Σωτὴρ διδάσκει ἡμᾶς μὴ καταφρονεῖν μηδεμιᾶς κεραίας, γεγραμμένης ἐν τῇ Γραφῇ, λέγων· „ Ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.

(3) Ὁ δὲ Θεόδωρος λέγει· „ Νεώτερος δὲ καὶ ὁ τοῖς θείοις λογίοις ςοιχειούμενος, καὶ ἐξουδενωμένος διὰ τὰ τα-

δικαιοσύνη αἰώνιος, καὶ δικαιοσύνη κυρίως· διατὶ ἐκεῖνον, ὁποῦ ἐσὺ ἤθελες δικαιώσῃς αἰωνίως, δικαίως καὶ κυρίως αὐτὸν δικαιώνεις. ἡ δὲ τῶν ἀνθρώπων δικαιοσύνη, δὲν εἶναι κυρίως δικαιοσύνη. διατὶ αὐτὴ εἶναι καὶ πρόσκαιρινὴ, καὶ ταῖς περισσότεραις φοραῖς σφάλλει καὶ ἐκπίπτει τοῦ δικαίου καὶ ὀρθοῦ λόγου. ὁ νόμος σου δὲ, εἶναι ἀλήθεια αὐτόχρημα. διατὶ ἀληθεύει πολλὰ εἰς ὅλα τὰ λόγιά του. νοεῖται δὲ ἀλήθεια καὶ ἡ εὐθύτης: ἤτοι ἡ ὀρθότης, κατὰ τὸ. „ Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου: ἤτοι ὀρθαὶ καὶ ἀληθιναί. εἴρηται δὲ καὶ εἰς τὸν ις Ψαλμόν. „ Τὰ κρίματα Κυρίου ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτό. (1)

143: „ Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, „ αἱ ἐντολαί σου μελέτη μου.

144: „ Δικαιοσύνη τὰ μαρτύριά σου εἰς „ τὸν αἰῶνα, συνέτισόν με καὶ ζήσο- „ μαι.

Εἰς τὰς θλίψεις, λέγει, καὶ ἀνάγκας, ὁποῦ με εὗρον, μελέτην εἶχον τὰς ἐντολάς σου Κύριε, αἱ ὁποῖαι μὲ ἐπαρηγόρουν κατὰ τὸν Ἀνώνυμον, καὶ ἐλάφρωναν τὴν λύπην μου. αἱ ἐντολαί σου δὲ αὐταὶ, εἶναι δικαιοσύνη αἰώνιος, ὡς εἶπεν ἀνωτέρω. συχνὰ δὲ διατρίβει ὁ Δαβὶδ εἰς τὴν εὐφημίαν καὶ ἔπαινον τοῦ θείου νόμου· ὅθεν ἀκολούθως λέγει, ἐσὺ Κύριε συνέτισόν με τὰς ἐντολάς σου, ἵνα διὰ τῆς συνέσεως ταύτης ζήσω κατὰ ἀλήθειαν. διατὶ ἐκεῖνοι, ὁποῦ δὲν συνετίσθοῦν ἀπὸ ἐσένα Κύριε, δὲν ζοῦν ἀληθῶς διὰ τῶν ἀρετῶν καὶ τῆς θείας σου χάριτος· ἀλλὰ ζοῦν κακῶς καὶ ἐν ἁμαρτίαις. (2)

145: „ Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐ- „ πάκουσόν μου Κύριε, τὰ δικαιώ- „ ματά σου ἐκζητήσω.

Ὅταν, λέγει, ἐγὼ εἶχον θλίψιν, ἐφώναξα εἰς ἐσένα Κύριε, καὶ ὄχι ἁπλῶς ἐφώναξα, ἀλλὰ μὲ ὅλην μου τὴν καρδίαν. διὰ τοῦτο ἐπάκουσόν μου. ἐὰν γὰρ σὺ ἐπακούσῃς μου, ἐγὼ θέλω ἐκζητήσω τὰ δικαιώματά σου. (3)

146: „ Ἐ-

πεινοῦν ἑαυτόν· οὗτος ὁ χαρακτὴρ τοῦ θεοσεβοῦς, ἐν τῷ βίῳ τούτῳ ταπεινουμένου, ϗ παρὰ τοῖς πολλοῖς τῶν ἀνθρώπων καταφρονουμένου, διὰ τὸ ἄτυφον ϗ ἐπιεικὲς, οὗ μετέρχεται βίου.

(1) Ὁ δὲ θεῖος Κύριλλος λέγει· „ Δικαιοσύνην ϗ ἀλήθειαν τὸ νέον ϗ Εὐαγγελικὸν ἀπεκάλεσε κήρυγμα, ὡς τοῦ νόμου τύπου ὄντος. λέγει δὲ ὁ Θεοδώρητος· „ Ὁ τοῖς ἀνθρωπίνοις νόμοις πειθόμενος, οὐδὲ κατὰ τὸν παρόντα βίον τῆς παρὰ τῶν νομοθετούντων ἀπολαύει τιμῆς· ὁ δὲ ταῖς θείαις ἀκολουθῶν ἐντολαῖς, μισθὸν ἔχει τῶν πόνων τὴν αἰώνιον ζωήν· ϗ οἱ νόμοι δὲ οἱ ἀνθρώπειοι, οὐ πάντως πάντες τὸ δίκαιον ἔχουσιν· ὁ δὲ τοῦ Θεοῦ νόμος ἀληθείᾳ λαμπρύνεται· εἰκότως τοίνυν ἔφη ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα ϗ ὁ νόμος σου ἀλήθεια· ϗ ὁ Εὐσέβιος· „ Ὁ Θεὸς δικαιοσύνην ἔχει κρίνουσαν· ϗ ἀποδίδωσιν αἰωνίως τὰ τῆς κρίσεως τῆς δικαίας. διὸ λέγεται· „ Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα· ἄτρεπτος γὰρ ϗ ἀναλλοίωτός ἐστιν, (ὁ Θεὸς) οὔποτε μὲν ἔχων, ποτὲ δὲ οὐκ ἔχων δικαιοσύνην, πηγὴ ϗ γεννήτωρ αὐτῆς ὑπάρχων· οὕτω ϗ ὁ παρὰ Ἰουδαίοις νομιζόμενος νόμος εἶναι ἀλήθεια, οὐκ ἀλήθεια ἦν, ἀλλὰ τύπος· παρ' ἡμῖν δὲ τοῖς ἐπιστρέψασι πρὸς Κύριον οὐκέτι τύπος, ἀλλὰ ἀλήθεια.

(2) Λέγει δὲ ϗ ὁ Θεοδώρητος· „ Ταῦτα (ἤτοι αἱ θλίψεις) συνέζευκται τοῖς ἐρασταῖς τῆς ἀρετῆς· πλὴν ἐκ τῆς τῶν ἐντολῶν διδασκαλίας τὴν ἀνδρίαν μανθάνω, ϗ φέρω γενναίως τὰ λυπηρά. ϗ ὁ Ἀθανάσιος· „ Ἃ δέδωκάς μοι, φησί, μαρτύρια, οὐ πρὸς ὀλίγον ὄντα ὠφέλιμα, δικαιοσύνη εἰς τὸν αἰῶνα τυγχάνουσι, δικαιοῦντα τὸν διαθέσει ἐγγίζοντα αὐτοῖς. ϗ ὁ Δίδυμος. „ Ἐν τούτοις πᾶσιν αἰτεῖ ὁ Προφήτης ἀπὸ τοῦ Θεοῦ σύνεσιν, τὸ ἀναγκαιότατον τῶν τοῦ Θεοῦ δωρημάτων, ϗ λέγει· „ Συνέτισόν με ἵνα ζήσω· ἐπ' ἐκείνην γὰρ τὴν μακαρίαν ζωὴν ἀνόητος οὐκ ἔρχεται, ἢ ἀσύνετος· ἀλλὰ δεῖ αἰτῆσαι παρὰ τοῦ Θεοῦ σύνεσιν, τοῦ διδόντος πᾶσι τοῖς ἐξ ὅλης ψυχῆς αἰτουμένοις αὐτήν.

(3) Λέγει δὲ ὁ Θεοδώρητος· „ Κραυγὴν πάλιν τὴν τῆς ψυχῆς προθυμίαν καλεῖ· διὰ τοῦτο προσέθεικε τὸ, ἐν ὅλῃ καρδίᾳ μου· οὕτω ϗ Μωσῆς ἐβόα σιγῶν· ϗ προσευχομένῳ κατὰ διάνοιαν ὁ Θεὸς ἔφη· „ Τί βοᾷς πρός με

146 : „ Ἐκέκραξά σοι· σῶσόν με, καὶ φυ„ λάξω τὰ μαρτύριά σου.

Τὸ ἴδιον, ὁποῦ εἶπεν ἀνωτέρω ὁ Δαβὶδ, λέγει καὶ τώρα ἐδῶ, αὐξάνωντας τὴν δέησίν του, καὶ βεβαιώνωντας τὴν ὑπόσχεσίν του. σῶσόν με, λέγει, Κύριε, ὁποῦ κινδυνεύω ἀπὸ τοὺς ὁρατοὺς καὶ ἀοράτους ἐχθρούς, καὶ εἰς ἀμοιβὴν τῆς σωτηρίας ταύτης, θέλω φυλάξω τὰς ἐντολάς σου.

147 : „ Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκρα„ ξα, εἰς τοὺς λόγους σου ἐπήλ„ πισα.

Ἐγὼ λέγει, πρὸ τοῦ νὰ ἔλθῃ ἡ διωρισμένη ὥρα τοῦ ὄρθρου, ἐπρόλαβον καὶ ἐσηκώθηκα εἰς παράκαιρον ὥραν τῆς νυκτός, πρὸ τοῦ νὰ συκωθοῦν οἱ ἄλλοι ἄνθρωποι. σηκωθεὶς δὲ, ἐφώναξα πρὸς ἐσένα Κύριε, καὶ ἐθάρρευσα εἰς τοὺς λόγους σου, τοὺς ὁποίους ἐνήχησας εἰς τὰ ὦτα τῆς καρδίας μου διὰ τοῦ ἁγίου σου Πνεύματος. λόγοι δὲ τοῦ Θεοῦ εἶναι ἐκεῖνοι, τοὺς ὁποίους ὑπεσχέθη εἰς τὸν Δαβὶδ, λέγων „ Κεκράξεταί πρός με, καὶ ἐπακούσομαι αὐτοῦ (Ψαλ. ϟ. 15) (1)

148 : „ Προέφθασαν οἱ ὀφθαλμοί μου „ πρὸς ὄρθρον τοῦ μελετᾷν τὰ λό„ γιά σου.

Ἐπρόλαβον, λέγει, οἱ ὀφθαλμοί μου τὴν ἡμέραν, εἰς τὸν καιρὸν τοῦ ὄρθρου, διὰ νὰ μελετῶ τὸν νόμον σου Κύριε. ἐν τῇ ἀωρίᾳ γὰρ καὶ ἐν τῷ μεσονυκτίῳ προσηύχετο. ἐν τῷ ὄρθρῳ δὲ, ἐμελέτα τὸν θεῖον νόμον. (2)

149 : „ Τῆς φωνῆς μου ἄκουσον Κύριε, „ κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρί„ μά σου ζῆσόν με.

150 : „ Προσήγγισαν οἱ καταδιώκοντές „ με ἀνομίᾳ. ἀπὸ δὲ τοῦ νόμου σου „ ἐμακρύνθησαν.

Ἄκουσον, λέγει, Κύριε, τὴν φωνήν μου (3)

κα-

---

(1) Λέγει δὲ ὁ Χρυσορρήμων σὺν τῷ Θεοδωρίτῳ· „ Ξένον δὲ, ὅτι βασιλεὺς ὢν ὁ Δαβὶδ, ϗ μυρίαις φροντίσι περικλυζόμενος, ϗ πολεμικοὺς πρὸς ταύταις ἀναδεδεγμένος ἀγῶνας, οὐ μόνον ἡμέρας ὑπολαμπούσης, τῷ Θεῷ τὰς ἱκεσίας προσέφερεν· ἀλλὰ ϗ μεσούσης νυκτὸς, οὐκ ἀναμένων τὰς τῶν ἀλεκτρυόνων ᾠδάς· οὕτως ἐπόθει τὸν πεποιηκότα Θεόν· οὕτω προθύμως τὴν ἐκεῖθεν αἰτεῖ βοήθειαν. Ἄλλος δὲ λέγει: ἤτοι ὁ Νικήτας· „ Οὐ θαυμαστὸν δὲ, ἐὰν πρεσβύτης ϗ μηκέτι ὀχλούμενος ὑπὸ τῶν σωματικῶν ὀρέξεων, ἑαυτὸν ἐπιδῷ τῇ ἀσκήσει τῆς θεοσεβείας· θαυμαστὸν δὲ, ὅταν νέος καταπατῇ τὰ τῆς νεότητος πάθη, ϗ προφθάνῃ ἐν ἀωρίᾳ, βουλόμενος νικῆσαι τὴν νεότητα πρεσβυτικῷ φρονήματι· τότε γὰρ εἴποιμι ἂν περὶ τούτου, ὅτι πνευματικῶς ἐποίησε τὸ προφθάσαι ἐν ἀωρίᾳ. λέγει δὲ ϗ ὁ Δίδυμος· „ Ἡ ἀωρία τῆς νυκτὸς ἰσχυροτέρας τῶν νοητῶν ἐχθρῶν μάλιστα τὰς ἐπιβουλὰς κέκτηται, ὡς συνεργοῦντος τοῦ σκότους πρὸς πᾶσαν πρᾶξιν αἰσχρὰν ϗ ῥυπαρὰν ϗ ἄτοπον· ἀλλ' ὁ Προφήτης φησι προφθάσαι: τουτέστι προλαβεῖν ϗ βοῆσαι δηλαδὴ, τὸν Θεὸν ἐπικαλούμενος· οὕτω τε αὐτὸν ἠσφαλίσατο ἐλπίσας ἐπὶ τοὺς λόγους τοῦ Θεοῦ λέγοντος· „ Ὅτι ἐπ' ἐμὲ ἤλπισε, ϗ ῥύσομαι αὐτόν.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ἀλλ' ὁ μὲν Δαβὶδ, οὐ μόνον κατὰ τὸν τοῦ γλυκέος ὕπνου καιρὸν, ἀλλὰ ϗ περὶ τὸν ὄρθρον τὴν τῶν θείων λόγων μελέτην πεποίητο, καίτοι βασιλεὺς ὤν· ἡμεῖς δὲ, πενίᾳ συζῶντες, ϗ πάσης φροντίδος ἀπηλλαγμένοι, ἐπὶ τῆς κλίνης διανυκτερεύομεν καλινδούμενοι, ϗ οὐδὲ ἀρχομένης ἡμέρας τῷ δοτῆρι τῶν ἀγαθῶν ὕμνον προσφέρομεν.

(3) Κατὰ δὲ τὸν Θεοδώριτον· „ Μονονουχὶ λέγει ὁ Δαβὶδ· ἔχεις μεθόδους πολλὰς, πῶς ζωοποιήσεις ϗ τοὺς ἀναξίους τῆς ζωῆς· ἐπάκουσόν μου κατὰ τὸ ἔλεός σου· ϗ ὁ τοσούτοις κομῶν ἀγαθοῖς, ἐλέους τυχεῖν ἀξιοῖ· ϗ οὐκ ἀορίστως αἰτεῖ τὸν ἔλεον· ἀλλὰ κατὰ τὴν δικηφόρον ψῆφον.

κατὰ τὸ ἔλεός σου : καθὸ εἶσαι δηλαδὴ ἐλεήμων. καὶ καθὼς διδάσκει ὁ νόμος σου, ἔτζι κάμε νὰ ζῶ καὶ ἐγώ: ἤγουν κάμε νὰ πολιτεύωμαι νομίμως. Ἐκεῖνοι δὲ, λέγει, ἐποῦ μὲ κυνηγοῦν, ὅσον περισσότερον πλησιάζουν εἰς τὴν ἀνομίαν, τόσον περισσότερον μακρύνουν ἀπὸ τὸν νόμον σου. μερικὰ δὲ ἀντίγραφα ἔχουσιν ἀνομίαν. τοῦτο δὲ νοεῖται, ὅτι οἱ ἐχθροί μου ἔφερον πλησίον μου τὴν ἀνομίαν τους· καὶ ὀλίγον ἔλειψε νὰ μὲ πιάσουν, τοιαῦτα κατ᾽ ἐμοῦ ἐπιβουλευόμενοι. (1)

151 : „ Ἐγγὺς εἶ σὺ Κύριε.

Καὶ ἀλλαχοῦ λέγει ὁ ἴδιος Δαβὶδ „ Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν. (Ψαλ. ρμδ. 19) Καὶ ὁ Ἱερεμίας εἶπε. „ Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόῤῥωθεν. (Ἱερ. κγ. 23) καὶ πάλιν „ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει Κύριος; (Ἱερ. κγ. 24) καὶ ὁ Ἡσαΐας ἔτι λαλοῦντός σου ἐρεῖ. ἰδοὺ πάρειμι. (Ἡσ. νη. 9) ἐγγίζει λοιπὸν καὶ πλησιάζει ὁ Θεὸς, ἀλλὰ εἰς ποίους; εἰς τοὺς ἐγγίζοντας καὶ πλησιάζοντας εἰς αὐτόν. διότι οἱ μὲν δίκαιοι, πλησιάζουσιν εἰς τὸν Θεὸν διὰ προκοπῆς καὶ ἀναβάσεως τῶν ἀρετῶν, οἱ δὲ ἁμαρτωλοὶ μακρύνουσιν ἀπὸ τὸν Θεὸν, περὶ τῶν ὁποίων εἴρηται. „ Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. (Ψαλ. ο6 26) (2)

„ Καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Ὅλαι, λέγει, αἱ ἐντολαί σου Κύριε, εἶναι ἀληθιναὶ καὶ βέβαιαι, ἢ ὅλαι αἱ Πρόνοιαι, μὲ τὰς ὁποίας κυβερνᾷς τὸν Κόσμον, εἶναι ἀληθιναὶ, ἢ ὅλαι αἱ κρίσεις καὶ ἀποφάσεις σου εἶναι ἀληθιναὶ, καὶ ἀσφαλεῖς καὶ ὀρθαὶ καὶ δίκαιαι.

152 : „ Κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυ-
„ ρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμε-
„ λίωσας αὐτά.

Ἐν πρώτοισι, λέγει, ἐγνώρισα ἀπὸ τὰ μαρτύριά σου Κύριε, ὅτι ἐστερέωσας αὐτὰ αἰώνια. καὶ ὅταν ἄρχισα νὰ νοῶ ταῦτα, ἐκατάλαβα, ὅτι τὰ ἔκαμες ἀσάλευτα, καὶ κανένας δὲν ἠμπορεῖ νὰ τὰ ἀνατρέψῃ καὶ νὰ τὰ καταλύσῃ. διατὶ ἀγκαλὰ καὶ φαίνωνται, ὅτι τὰ περισσότερα κατελύθησαν παρὰ τοῦ Εὐαγγελίου, ἀλλὰ κατελύθησαν κατὰ τὸ ἔξω μόνον καὶ σκιῶδες τοῦ γράμματος, καὶ οὐχὶ κατὰ τὸ κεκρυμμένον εἰς αὐτὰ Πνευματικὸν νόημα. (3)

153 : „ Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξε-
„ λοῦ-

(1) Πόῤῥω δὲ τῶν θείων νόμων εἰσὶν οἱ τῷ δικαίῳ πειρώμενοι πολεμεῖν. λέγει ὁ Θεοδώριτος : ὁ ἀθετῶν γὰρ, φησιν ὑμᾶς, οὐχ ὑμᾶς ἀθετεῖ, ἀλλὰ τὸν ἀποστείλαντά με. (Λουκ. ι'. 15.) Καί· „ Ἐχθρεύσω τοῖς ἐχθροῖς σου, καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σου (Ἔξ. κγ'. 22.) καὶ ὁ Ὠριγένης· „ Διδασκόμεθα, φησιν, ἀπὸ τοῦ λεγομένου, εἰδέναι τί πάσχει ὁ καταδιώκων τὸν δίκαιον· ὅσῳ γὰρ ἐγγίζει εἰς τὸ καταδιώκειν τὸν δίκαιον, τοσούτῳ μακρὰν γίνεται τοῦ νόμου τοῦ Θεοῦ· ὅσῳ δὲ ἀπὸ τοῦ νόμου μακρύνεται, τοσούτῳ μακρύνεται καὶ ἀπὸ τῆς ζωῆς.

(2) Ἄλλος δὲ λέγει : ἤτοι ὁ Νικήτας· „ Ὁ μὲν Θεὸς ἐγγίζει κατὰ τὸν τῆς δημιουργίας καὶ Προνοίας λόγον· ἀλλ᾽ ἐὰν μὴ καὶ ἡμεῖς ἐνεργήσωμεν τὸ ἐγγίζειν αὐτῷ κατὰ τὴν ἀναλογίαν τῆς προαιρέσεως καὶ τῆς τελειότητος, οὐκ ἀπολαύσωμεν αὐτοῦ τῆς ἐγγύτητος· διὰ τοῦτο πόῤῥω εἰσὶν οἱ ἁμαρτωλοὶ τοῦ Θεοῦ.

(3) Κατὰ δὲ τὸν Χρυσόστομον καὶ Θεοδώριτον· „ Μαρτύρια καλεῖ τὸν οὐρανὸν καὶ τὴν γῆν· „ Καταβὰς, φησι, διαμάρτυραι αὐτοῖς τὸν οὐρανὸν καὶ τὴν γῆν· διὰ τοῦτο καὶ Μωσῆς ὁ μέγας τῆς ᾠδῆς ἀρχόμενος ἔφη· „ Πρόσεχε οὐρανὲ καὶ λαλήσω· καὶ „ Ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου· ὥσπερ δὲ ὁ οὐρανὸς καὶ ἡ γῆ, εἰς τὸν αἰῶνα μένει, οὕτω καὶ αἱ τοῦ Θεοῦ ἐντολαί· „ Ἐπ᾽ αὐτοῖς γὰρ, φησιν, οὐκ ἔστι προσθεῖναι· καὶ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. (Δευτ. ιβ'.

„ λοῦμε, ὅτι τοῦ νόμου σου οὐκ „ ἐπελαθόμην.

Ἰδὲ, λέγει, Κύριε, τὴν κακοπάθειαν ὁποῦ δοκιμάζω, καὶ λύτρωσαί με ἀπὸ τοὺς πειρασμούς. ἐπειδὴ καὶ διὰ τὸν νόμον σου κακοπαθῶ, καὶ πάλιν δὲν ἀλησμόνησα αὐτόν. ἀλλ' οὐδὲ ὑπέφερα νὰ τὸν παραβῶ, διὰ νὰ γλυτώσω ἀπὸ τοὺς πειρασμοὺς καὶ τὴν κακοπάθειαν, τὰ ὁποῖα δι' αὐτὸν δοκιμάζω. οὐδὲ ἔστρεξα νὰ μιμηθῶ εἰς τὴν κακίαν ἐκείνους, ὁποῦ μὲ ἐπιβουλεύονται. ἢ λέγει, ὅτι ἰδὲ Κύριε τὴν ἀρετὴν τῆς ταπεινώσεώς μου, καὶ λύτρωσαί με ἀπὸ τοὺς πειρασμούς. ἐπειδὴ δὲν ἀλησμόνησα τὸν νόμον σου, ὅστις προστάζει νὰ ταπεινοφρονοῦσιν οἱ ἄνθρωποι. (1)

154 : „ Κρῖνον τὴν κρίσιν μου καὶ λύτρω„ σαί με, διὰ τὸν λόγον σου ζῆ„ σόν με.

Κρῖνον, λέγει, Κύριε τὴν κρίσιν, ὁποῦ ἔχω μαζὶ μὲ ἐκείνους, ὁποῦ μὲ πολεμοῦν. καὶ ζωοποίησόν με διὰ τὸν νόμον σου, διὰ τὸν ὁποῖον κινδυνεύω νὰ ἀποθάνω, καταπονούμενος ἀπὸ τοὺς ἐχθρούς μου, τόσον τοὺς ὁρατούς, ὅσον καὶ τοὺς ἀοράτους.

155 : „ Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, „ ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζή„ τησαν.

Μακρὰν, λέγει, εἶναι ἡ σωτηρία καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς, ἀπὸ τοὺς παραβάτας τοῦ θείου νόμου σου Κύριε. ἐπειδὴ αὐτοὶ, ἐὰν δὲν μετανοήσουν, κινδυνεύουν νὰ θανατωθοῦν προσκαίρως, καὶ νὰ κολασθοῦν αἰωνίως. διατὶ κατεφρόνησαν τὰς ἐντολάς σου. ἐκ τοῦ ἐναντίου δὲ κοντὰ εἰς ἐμένα εἶναι ἡ σωτηρία καὶ τῆς ζωῆς καὶ τῆς ψυχῆς. διατὶ ἐγὼ θέλω ἐλευθερωθῶ ἀπὸ τὸν ἀφανισμὸν, ὁποῦ λαμβάνουν οἱ παραβάται. ἐπειδὴ καὶ ἐζήτησα μὲ ὑπερβολὴν τὰ προστάγματά σου. ἢ καὶ ὁ λόγος οὗτος εἶναι διδασκαλικός. διδάσκει γὰρ, ὅτι δὲν θέλουν σωθοῦν ἐκεῖ αἰωνίως οἱ ἁμαρτωλοὶ, κἂν καὶ ἐδῶ εὐτυχοῦσι προσκαίρως. ἢ λέγει, ὅτι δὲν θέλουν λάβουν βοήθειαν ἀπὸ τὸν Θεὸν οἱ ἁμαρτωλοὶ, ὡς ὑπερόπται καὶ καταφρονηταὶ τῶν δικαιωμάτων του. (2)

156 : „ Οἱ

κατὰ τὸν παρόντα βίον. ἢ γὰρ παροικία ὁ παρὼν βίος, ἢ παροικίας εὐτελέστερον· οὐδὲν γὰρ αὐτὸν ὁ Χριστὸς, καὶ ταύτην τεθλιμμένην ἐκάλεσε· διὸ καὶ οἱ παλαιοὶ τοῦτο ὡμολόγουν, ὅτι πάροικοί εἰσι· καὶ διὰ τοῦτο μάλιστα ἐθαυμάσθησαν· ὁ γὰρ τῶν ἐνταῦθα ξένος, τῶν ἄνω πολίτης ἐστί· εἰ οὖν Ἰουδαῖοι τῶν Ἱεροσολύμων ἐπιθυμοῦσι, τίνα ἂν σχοίημεν ἡμεῖς συγγνώμην, μὴ σφοδρῷ κατεχόμενοι πόθῳ τῆς ἄνω Ἱερουσαλήμ; εἶπε δὲ καὶ ὁ Βασίλειος· „ Ὁ γοῦν τοῦ Θεοῦ μεμνημένος, καὶ τὴν ἑαυτοῦ πατρίδα ζητῶν, ἀνοιμώζει λέγων· οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη· ἐπιθυμίαν γὰρ ἔχει ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. ὡς οὖν ἐμπόδιον τῆς χαρᾶς τὴν παροικίαν ταύτην δυσχεραίνει. λέγει δὲ καὶ ὁ ὅσιος Νικήτας· „ Αὕτη ἡ φωνὴ, καὶ οὗτος ὁ ἐπαινετὸς θρῆνος τῶν εἰς τέλειον ἀνδρα πεφθακότων ἐστίν· ἐπειδὴ γὰρ τῶν τελείων αἱ ψυχαὶ ἄσκιοί εἰσιν, ἀειλαμπεῖς, καὶ πεπληρωμέναι φωτὸς ἀγαθοῦ· ἡνίκα τῆς ἄνωθεν ἀποσπασθῇ θεωρίας ὁ νοῦς ὁ κεκαθαρμένος αὐτῶν· διά τινα τοῦ σώματος ἀνάγκην, καὶ τῆς ἐκεῖθεν εὐφροσύνης καὶ γλυκύτητος ἐκπέσῃ, ὁρῶσι τὰ παρόντα σκότος βαθύ· ὡς ἐκ μεταφορᾶς τῶν πρὸς τὰς ἀκτῖνας ὁρώντων ἄνω τοῦ ἡλίου, εἶτα πρὸς τὰ κάτω νευσάντων, καὶ ἀβλεπτούντων ἐπίσης πρὸς τὰ πλησίον καὶ τὰ μακράν· οὗ χάριν καὶ μακρὰν ἡγοῦνται τὴν ἐνταῦθα παροικίαν αὐτῶν, καὶ ζόφου παντὸς ἀπδεεστέραν τὴν ἐν τῷ σκοτεινῷ βίῳ τούτῳ κατασκήνωσιν αὐτῶν. προστίθησι δὲ ὁ Θεοδώρητος· „ Ὅτι ἡ Κηδὰρ κατοικεῖται ὑπὸ γένους Σαρακηνῶν, θηριωδέστερον διακειμένου, σκηναῖς καὶ καλύβαις κεχρημένου, καὶ ἐπιγραφομένου προπάτορα τὸν Κηδὰρ, παρ' οὗ καὶ ἡ χώρα παρωνύμως ὠνόμασται· ἦν δὲ ὁ Κηδὰρ δεύτερος υἱὸς τοῦ Ἰσμαήλ· ἐπειδὴ τοίνυν ὁ Ἰσμαὴλ ἐδιώχθη παρὰ τοῦ Ἀβραὰμ μετὰ τῆς δούλης Ἄγαρ, εἰκότως ὀλοφύρονται οἱ Ἰουδαῖοι, ὡς τῆς μὲν προτέρας ἐκπεσόντες ἐλευθερίας· ἐγγὺς δὲ τῶν ἡμιδούλων διάγοντες, καὶ δουλεύειν ἠναγκασμένοι. ὁ δὲ Ἀνώνυμος λέγει· „ Ἀλλὰ τούτων τῶν βαρβάρων καὶ ἀγρίων ἀνθρώπων πολλῷ χαλεπώτεροι οἱ ἅρπαγες· οἱ πλεονέκται, οἱ ἐν ἀσελγείᾳ ζῶντες· ὧν ἡ συνδιατριβὴ [illegible] τοῖς δικαίοις ἐστί· πολλὰ δὲ παροικεῖ μετ' αὐτῶν ἡ ψυχὴ, οὐ τῷ πλήθει, ἀλλὰ τῇ δυσκολίᾳ καὶ [illegible] πραγμάτων.

(1) Λέγει δὲ ὁ Χρυσ[illegible] „ Οὐ τῷ πλήθει τὰ ἔτη πολλὰ καλεῖ, ἀλλὰ καὶ τῇ δυσκολίᾳ καὶ χαλεπότητι τῶν πραγμάτων· κἂν γὰρ [illegible], πολλὰ φαίνεται· οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρή· κἂν ὀλίγα ἔτη ζήσωμεν ἐνταῦθα, πολλὰ νομίζειν αὐτ. τῇ ἐπιθυμίᾳ τῶν μελλόντων· ταῦτα δὲ λέγω, οὐ τῆς παρούσης ζωῆς κατηγορῶν· ἀλλὰ πρὸς τὸν ἔρωτα τῶν μελλόντων ὑμᾶς ἀλείφων· ὑψηλότερον δὲ ἑρμηνεύει τοῦτο ὁ θεῖος Μάξιμος λέγων· „ Ἕως ἡ ψυχὴ τὴν ἀπὸ δυνάμεως εἰς δύναμιν, καὶ τὴν ἀπὸ δόξης εἰς δόξαν ποιεῖται μετάβασιν: τουτέστι τὴν ἀπὸ ἀρετῆς εἰς ἀρετὴν μείζονα προκοπὴν, καὶ τὴν ἀπὸ γνώσεως εἰς γνῶσιν ὑψηλοτέραν ἀνάβασιν, οὐ παύεται παροικοῦσα κατὰ τὸ εἰρημένον· „ Πολλὰ παρῴκησεν ἡ ψυχή μου· πολὺ γάρ ἐστι τὸ διάστημα καὶ τὸ πλῆθος τῶν ἀφειλουσῶν διαβαθῆναι γνώσεων, μέχρις οὗ διελεύσεται ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ· ὁ δὲ Νικήτας ἐν τῇ Σειρᾷ λέγει· „ Τὴν ψυχήν, φησι, παροικεῖν ἐνταῦθα· τὸ γὰρ σῶμα ἀπὸ γῆς ὂν, οὐ παροικεῖ· μόνη δὲ ἡ ψυχή.

(2) Λέγει δὲ ὁ Χρυσόστομος· „ Οὗτος καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἦν εἰρηνικός· τί τοίνυν πεισόμεθα ὑμεῖς πρὸς τοὺς φίλους τὰ ἐχθρῶν ἐπιδεικνύμενοι; πῶς οὖν τοῦτο κατορθώσομεν; ἂν ὡς πάροικοι διατρίβωμεν· ἂν ὡς ξένοι· ἂν μηδενὶ τῶν παρόντων ὦμεν κατεχόμενοι· οὐδὲν γὰρ ποιεῖ μάχην καὶ πόλεμον, ὡς ὁ τῶν παρόντων ἔρως,

„ Όταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν „ με δωρεάν.

Όταν, λέγῃ, ἐγὼ ἐλαλοῦσα εἰρηνικὰ λόγια εἰς τοὺς ἐγκατοίκους τῆς Κηδὰρ, αὐτοὶ μὲ ἐπολέμουν δωρεάν: ἤγουν χωρὶς νὰ ἔχουν κἀμμίαν εὔλογον ἀφορμήν. καὶ οὐδὲ τότε ἐφιλανθρωπεύοντο εἰς ἐμέ. πλὴν καὶ οὕτω πρὸς ἐμὲ σκληρῶς φερομένων ἐκείνων, ἐγὼ ὅμως εἰρήνευον πρὸς αὐτούς. (1)

ΨΑΛΜΟΣ. ΡΚ'

Ὠδὴ τῶν Ἀναβαθμῶν.

1 : „ Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ „ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Αὐτὴ ἡ ᾠδὴ προφητεύει ἐκεῖνα τὰ λόγια, ὁποῦ ἔλεγον οἱ Ἑβραῖοι, ὅταν ἄρχισαν νὰ ἀναβαίνουν ἀπὸ τὴν Βαβυλῶνα εἰς τὴν Ἱερουσαλήμ. ὄρη δὲ λέγει τοὺς οὐρανοὺς διὰ τὸ ὑψηλόν. διότι ἀπὸ τοὺς οὐρανοὺς ἤλπιζον νὰ ἔλθῃ εἰς αὐτοὺς ἡ συνειθισμένη παρὰ Κυρίου βοήθεια, διὰ νὰ παραπέμψῃ αὐτοὺς

φως, ὡς ἡ δόξης, ἢ χρημάτων, ἢ τρυφῆς ἐπιθυμία· ὅταν δὲ πάντα διακόψῃς τὰ σχοινία ταῦτα, πόθεν ὁ πόλεμος λήψεται τὴν ἀρχήν; ὁ δὲ ὅσιος Νικήτας λέγει· „ Δεῖ ἡμᾶς Χριστοῦ ὄντας, ϗ ἀπὸ Χριστοῦ καλουμένους, ἀμφοτέρωθεν εἰρηνεύειν, ἔξωθεν μὲν, μετὰ τῶν ἀνθρώπων τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοὺς εἶναι, ὅτι δοῦλον Κυρίου οὐ δεῖ μάχεσθαι, ἔσωθεν δὲ, μετὰ τῆς ἰδίας ψυχῆς, ϗ μετὰ τοῦ Θεοῦ, ϗ μετὰ τῶν Ἀγγέλων αὐτοῦ· εἰρηνευουσῶν γὰρ τῶν δυνάμεων ἡμῶν τῆς ψυχῆς, ϗ κατὰ φύσιν κινουμένων ἐν Πνεύματι, εἰρηνεύομεν ἐν ἑαυτοῖς· ϗ μαχομένην, ἢ καταγινώσκουσαν ἡμῶν οὐκ ἔχομεν τὴν συνείδησιν· μὴ καταγινωσκόμενοι δὲ ὑπ' αὐτῆς, εἰρήνην ϗ παῤῥησίαν ἔχομεν, κατὰ τὸν εἰρηκότα, πρὸς Θεόν· εἰρηνεύοντες δὲ μετὰ Θεοῦ διὰ καθαρότητος, οἰκειότητα μετὰ τῶν ἄνω Δυνάμεων ἔχομεν, ϗ ἐσμὲν μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικοί. προστίθησι δὲ ὁ Χρυσόστομος· „ Καὶ μήμοι λέγε, πονηρός ἐστι, ϗ οὐ δύναμαι φέρειν· τότε γὰρ μάλιστα ἐπιδείκνυσθαι χρὴ τὴν πραότητα· ὅταν πρὸς ἀγρίους αὐτὴν ἔχωμεν, τότε αὐτῆς ἡ ἰσχὺς δείκνυται· τότε αὐτῆς τὸ ἔργον ϗ τὸ κατόρθωμα ϗ ὁ καρπὸς διαλάμπει.

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Οὕτω ϗ ἡμᾶς διακεῖσθαι χρὴ, κἂν βάλλωσι, κἂν παίωσι, κἂν φιλοῦντας μισῶσι ϗ ἐπιβουλεύωσι, τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθαι, ἐκείνης τῆς παραβολῆς μεμνημένοι τῆς κελευούσης, ὡς πρόβατα ϗ περιστερὰς εἶναι ἐν μέσῳ λύκων· ἵνα ἐκείνους μὲν, βελτίους ἐργασώμεθα· αὐτοὶ δὲ, τὸν μισθὸν λάβωμεν τὸν ἐν τοῖς οὐρανοῖς. ἔφη δὲ ϗ ὁ Εὐσέβιος· „ Ὁ μὲν θεοφιλὴς, ϗ ἐν τῇ παροικίᾳ ὢν, εἰρηνικός ἐστι πρὸς πάντας, ἅτε ἀπὸ τῆς Ἱερουσαλὴμ ὁρμώμενος· ἥτις ἑρμηνεύεται ὅρασις εἰρήνης· οἱ δὲ πολέμιοι, τῆς Κηδὰρ ὄντες οἰκεῖοι: τουτέστι τοῦ σκοτασμοῦ, μισοῦσι τὴν εἰρήνην, ἅτε τῆς Ἱερουσαλὴμ ὄντες ἐχθροί.

τοὺς ἀβλαβεῖς εἰς τὴν πατρίδα των Ἱερουσαλὴμ. εἶτα σαφηνίζει τὸν λόγον ἀκολούθως. (1)

2: „ Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ „ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν „ γῆν.

Ἡ βοήθειά μου, λέγει, θέλει ἔλθει ἀπὸ τὸν ἀληθῆ Κύριον. ὅστις ἐδημιούργησε τὸν οὐρανὸν καὶ τὴν γῆν. τὸ γὰρ δημιουργικὸν, εἶναι ἴδιον τοῦ ἀληθινοῦ Κυρίου. ἀλλὰ καὶ ἡμεῖς οἱ Χριστιανοὶ, ἀνίσως σηκώσωμεν εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς μας, χωρίσαντες αὐτοὺς ἀπὸ τὰ γήϊνα πράγματα, θέλει ἔλθει εἰς ἡμᾶς ἡ παρὰ τοῦ Κυρίου βοήθεια. (2)

3: „ Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, „ μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

Τὸ ῥητὸν τοῦτο εἶναι ἴδιον φιλαδελφίας: δηλαδὴ τὸ νὰ παρακαλῇ καθε ἕνας τὸν Θεὸν διὰ τὸν ἄλλον αδελφόν του. μὴ δώσῃς, λέγει, ἐσὺ ὦ ἀδελφέ μου, εἰς παρατροπὴν καὶ κρημνισμὲν τὸ ποδάρι τῆς ψυχῆς σου. μηδὲ ἀφήσῃς τὴν ἴσην στράταν ἥτις εἶναι ἡ ἀρετὴ, ἵνα μὴ καὶ ὁ Θεὸς, ὁποῦ σὲ φυλάττει, νυστάξῃ καὶ σὲ ὑστερήσῃ τῆς χάριτος καὶ ἐπισκοπῆς του. καὶ ἐπειδὴ ἐσὺ ἐγλύστρισες ἀπὸ τὴν ἀπροσεξίαν σου εἰς τὴν ἁμαρτίαν, φοβοῦ, μήπως ἀμελήσῃ πλέον ὁ Θεὸς εἰς τὸ νὰ σε φυλάττῃ. ἢ λέγει, ὅτι μὴ δώσῃς, ὦ ἄνθρωπε, τὴν πορείαν καὶ ζωήν σου εἰς πράγματα, ὁποῦ σαλεύονται καὶ δὲν ἔχουν καμμίαν στάσιν καὶ βεβαιότητα· καθὼς εἶναι ὁ πλοῦτος, ἡ δόξα, αἱ ἡδοναὶ, καὶ ὅλα τὰ ἄλλα τοῦ Κόσμου τούτου φθειρόμενα πράγματα. ἀλλὰ περιπάτει πάντοτε εἰς στράταν στερεὰν καὶ ἴσην. ὁποία εἶναι ἡ ἀρετὴ, καὶ ἡ ἐργασία τῶν ἐντολῶν τοῦ Χριστοῦ: αὕτη γὰρ σὲ κάμνει νὰ τρέχῃς τὸν δρόμον τῆς ζωῆς ταύτης, ἴσια καὶ ἀκίνδυνα. (3)

4: „ Ἰ-

(1) Λέγει δὲ ὁ Χρυσόῤῥημων· „ Εἰ γὰρ Ἰουδαῖοι οἱ παχεῖς ϗ τῇ γῇ προσηλωμένοι, ἀπὸ τῆς αἰχμαλωσίας ϗ ταλαιπωρίας οὕτως ἐγένοντο σπουδαῖοι, ϗ πρὸς οὐρανὸν ἔβλεπον· πολλῷ μᾶλλον ἡμᾶς ἡ θλίψις διορθώσεται· φησὶ δὲ ϗ ὁ ὅσιος Νικήτας· „ Ταύτην τὴν φωνὴν ἀναπέμπει ὁ ἀπὸ τῆς αἰχμαλωσίας ἄρτι τῶν Βαβυλωνίων παθῶν ϗ Δαιμόνων ἀνερχόμενος, πρὸς τὴν νοητὴν πόλιν τῆς ἀπαθείας Ἱερουσαλήμ: ἤγουν ὁ καθεὶς ἡμῶν τῶν πιστῶν· ὄρη δέ εἰσιν αἱ ὑψηλαὶ τοῦ Θεοῦ ἐντολαί· οὗτος τοίνυν αἴρει τοὺς ὀφθαλμοὺς αὐτοῦ ϗ τὰς χεῖρας εἰς τὰ ὄρη τὰ ὑψηλὰ τῶν ἐντολῶν τοῦ Θεοῦ, ϗ εἰς τὴν αὐτῶν ἐργασίαν· ὅθεν αὐτῷ πᾶσα βοήθεια ἔρχεται κατὰ τῶν Δαιμόνων ϗ παθῶν, εἰς ἀντίληψιν τῆς ἀσθενείας αὐτοῦ. ὄρη ϗ ὁ Θεόδωρος στουδίτης τοὺς νόμους ἐνόησε ϗ τὰς ἐντολὰς τοῦ Θεοῦ, εἰπών· „ Εἰς τὰ ὄρη τῶν σῶν, ὑψώσας με νόμων, ἀρεταῖς ἐκλάμπρυνον ὁ Θεὸς ἵνα ὑμνῶσε.

(2) Λέγει δὲ ὁ Χρυσόστομος· „ Οἱ πρὸ τούτου τῷ ξύλῳ λέγοντες· Θεός μου εἶ σύ· ϗ τῷ λίθῳ, σύ με ἐγέννησας, νῦν τὸν Δημιουργὸν τῆς οἰκουμένης ἐπιγινώσκουσι, καί φασιν· „ Ἡ βοήθειά μου παρὰ Κυρίου· οὐ παρὰ ἀνθρώπων, οὐδὲ παρὰ ἵππων, οὐδὲ παρὰ συμμάχων· ἀλλὰ παρὰ Κυρίου· αὕτη ἀχείρωτος συμμαχία· ϗ οὐκ ἄμαχος μόνον ἀλλὰ ϗ ῥᾳδία, μόνον ἐὰν ὑψηλά τις βλέπῃ· διὰ γὰρ τοῦτο μόνῳ τῷ ζώῳ τούτῳ (τῷ ἀνθρώπῳ δηλαδὴ) τὴν διάπλασιν ὄρθιον ἐποίησεν ὁ Θεὸς, ϗ τοὺς ὀφθαλμοὺς ἐν ὕψει κατέθετο, διδάσκων ϗ ἀπὸ τῶν αἰσθητῶν, ὅτι δεῖ πρὸς ὕψος ὁρᾷν ϗ τὰ ἐν οὐρανοῖς φιλοσοφεῖν· τὸ αὐτὸ λέγει ϗ ὁ θεῖος Βασίλειος ἐπιφέρων· „ Ὡς οὖν διεσχημάτισθης ἄνθρωπε, οὕτω διάθου σαυτοῦ ϗ τὸν βίον· τὰ ἄνω ζήτει· ὑπὲρ τὰ γήϊνα ἔσο τῇ διανοίᾳ· τὸ πολίτευμα ἔχε ἐν οὐρανοῖς· ἐκεῖ περισκόπει ϗ φιλοσόφει· τοῦτο καί τις σοφὸς ἔλεγε· „ Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν κεφαλῇ αὐτοῦ (Ἐκκλ. β'. 14.) λέγει δὲ ὁ Ὠριγένης· „ Ἐγὼ μὲν ἦρα φησι, τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, τοὺς ἁγίους Ἀγγέλους, ὡς μέλλων ὑπό τινος αὐτῶν βοηθεῖσθαι, ἦλθε δέ μοι ἡ βοήθεια παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν ϗ τὴν γῆν· οὐ γὰρ ἁπλῶς προσέθηκε τὸ, τοῦ ποιήσαντος τὸν οὐρανὸν ϗ τὴν γῆν· εἰ γὰρ τὸν οὐρανὸν ϗ τὴν γῆν αὐτὸς ἐποίησε, πανταχοῦ, φησι, δύναται, ϗ ἐν ἀλλοτρίᾳ βοηθῆσαι, ϗ ἐν βαρβάροις χεῖρα ὀρέξαι.

(3) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Ὅταν βουλώμεθα τινὸς ἐπιτυγχάνειν, δεῖ ϗ ἡμᾶς τὰ παρ' ἑαυτῶν εἰσφέρειν, μικρὰ μὲν ὄντα ϗ εὐτελῆ, δεῖ δ' ὅμως εἰσφέρειν· οὕτω γὰρ ὁ Θεὸς βούλεται, οὐκ ἀργοῦντας, οὐδὲ ὑπνοῦντας ϗ ῥέγ-

4 : „ Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει „ ὁ φυλάσσων τὸν Ἰσραήλ.

Ἂν ἐσὺ, λέγει, ἄνθρωπε, ἀπέχης ἀπὸ τὰ ἀβέβαια καὶ προσωρινὰ τοῦ βίου τούτου πράγματα. καὶ ἂν ἐσὺ περιπατῇς εἰς τὴν ἴσην καὶ ἀκίνδυνον σράταν τῆς ἀρετῆς, ἤξευρε, ὅτι καὶ ὁ Θεὸς δὲν θέλει νυσάξει, οὐδὲ θέλει ὑπνώσει :ἤγουν δὲν θέλει ἀμελήσει ἀπὸ τὸ νὰ σε διαφυλάττῃ ὡς κόρην ὀφθαλμοῦ μὲ τὴν χάριν καὶ πρόνοιάν του, διατὶ αὐτὸς εἶναι, ὁποῦ καὶ τὸν παλαιὸν Ἰσραὴλ ἐφύλαττε τότε. καὶ αὐτὸς εἶναι, ὁποῦ καὶ τώρα φυλάττει πάντοτε τὸν νέον Ἰσραὴλ :ἤτοι ἡμᾶς τοὺς Χρισιανοὺς. ὅρα δὲ καὶ τὴν ἑρμηνείαν τοῦ „ ἐξεγέρθητι. ἵνα τί ὑπνοῖς Κύριε ; ἐν τῷ μγ´. Ψαλμῷ.

5 : „ Κύριος φυλάξει σε, Κύριος, σκέπη „ σοι ἐπὶ χεῖρα δεξιάν σου.

Ἐὰν, λέγει, ἐσὺ ἄνθρωπε, ἔτζι περιπατῇς εἰς τὴν σράταν τῆς ἀρετῆς, ὁ Κύριος θέλει σὲ φυλάξει. καὶ ὁ Κύριος θέλει εἶναι σκέπη εἰς ἐσένα, παρεχόμενος εἰς τὴν δεξιάν σου χεῖρα :ἤγουν θέλει εἶναι παρασάτης καὶ σκεπασής σου, σκεπάζων σε ὅταν πράττῃς τὰ καλὰ καὶ τὴν ἀρετήν. τοῦτο γὰρ ἐδήλωσε διὰ τῆς δεξιᾶς χειρὸς. ἢ λέγει, ὅτι θέλει εἶναι σκέπη σου ὁ Κύριος, διὰ νὰ πράττῃς ἐσὺ μὲ τὴν ἐκείνου σκέπην, πράξεις δεξιάς: ἤτοι ἔργα ἀγαθά. (1)

6 : „ Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, „ οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Τόσην, λέγει, πρόνοιαν θέλει δείξει ὁ Θεὸς εἰς ἐσένα ἀδελφὲ, ἐὰν περιπατῇς τὴν σράταν τῆς ἀρετῆς, ὥσε ὁποῦ οὐδὲ τὸν ἥλιον θέλει ἀφήσει νὰ σὲ καυματώσῃ τὴν ἡμέραν. καθὼς ἐποίει πάλαι εἰς τοὺς Ἰσραηλίτας. οὔτε τὸ φεγγάρι θέλει ἀφήσει διὰ νὰ σὲ θερμάνῃ καὶ νὰ ἐκλύσῃ τὸ σῶμά σου κατὰ τὴν νύκτα

ῥέγχοντας, οὐδὲ ἀναπεπτωκότας· ἀλλ᾽ ἐνεργοὺς ὄντας ϗ σπουδάζοντας διασώζειν· ἐκ τούτου δὲ πάλιν ϗ ἕτερον δείκνυσιν, ὅτι εἰ ϗ τὰ παρ᾽ ἡμῶν εἰσφέρωμεν, ἀλλ᾽ ὅμως τῆς παρ᾽ αὐτοῦ δεόμεθα ῥοπῆς· ἵνα ἐν ἀσφαλείᾳ ὦμεν· τίς δὲ δίδωσιν εἰς σάλον τὸν πόδα; ὁ πράγμασιν ἐπιβαίνων ὀλισθηροῖς ϗ οὐκ ἔχουσιν ἰσχυρὰν βάσιν· οἷος ὁ τῶν χρημάτων ἔρως· οἷος ὁ τῶν βιωτικῶν πόθος. λέγει δὲ ϗ ὁ Βασίλειος· „ Διττὴ τῆς ψυχῆς ἡ δύναμις, ἡ μέν τις, τοῦ σώματος ζωτική· ἡ δὲ ἑτέρα, τῶν ὄντων θεωρητική, ἣν δὴ ϗ λογισικὴν ὀνομάζομεν· ἂν μὲν οὖν διαπαντὸς τὸ θεωρητικὸν ἑαυτῆς ἐγρηγορέναι παρασκευάζῃ, καθὼς ὁ Προφήτης φησι· „ Μὴ νυσάξῃ ὁ φυλάσσων σε· διπλῇ κατευνάζει τὰ πάθη τοῦ σώματος· τὸ μὲν, καθὸ περὶ τὴν τῶν κρειττόνων ϗ προσφυῶν θεωρίαν ἐπασχολεῖται· τὸ δὲ, καθὸ τὰς ἀταξίας ἐπισκοποῦσα τοῦ σώματος, σωφρονίζει ταύτας ϗ κατασέλλει· ἂν δὲ τὴν ἀργίαν ἀσπασαμένη, τὸ θεωρητικὸν ἀκίνητον ἔχῃ, σχολάζον τὸ ζωτικὸν τὰ πάθη τοῦ σώματος εὑρόντα, μηδενὸς ἐπισατοῦντος ϗ ἀνακόπτοντος, ἐπὶ τὰς οἰκείας ὁρμάς τε ϗ ἐνεργείας τὴν ψυχὴν συγκαθείλκυσεν· ὥσε κατὰ τὸν θεῖον Βασίλειον, φυλάσσων νοεῖται ἐδῶ ὁ νοῦς. ὁ δὲ Στηθάτης λέγει· „ Σάλος μὲν, τὰ πράγματα τοῦ βίου, ἐξ ὧν οἱ πειρασμοὶ ϗ τῶν ἁμαρτημάτων αἱ ἀφορμαί· ποὺς δὲ, τὸ λογιζόμενον τῆς ψυχῆς· ὅ ἐσιν ὁ νοῦς, μεθ᾽ οὗ νοερῶς τρέχομεν ἐπὶ τὴν ὁδὸν τῶν ἐντολῶν· φυλάσσων δὲ, ὁ τῆς εἰρήνης Ἄγγελος, ὁ πισὸς ἡμῶν φύλαξ· τοιγαροῦν τὸ Πνεῦμα τὸ ἅγιον πᾶσι παραινεῖ τοῖς ἄρτι φυγοῦσι τὴν ἁλμυρὰν θάλασσαν τοῦ βίου, φυγεῖν καθόλου τὴν τῶν βιωτικῶν πραγμάτων ἐγχείρησιν· μὴ δῷς εἰς σάλον τὸν πόδα σου: ἤτοι εἰς ταραχὰς ϗ περισπασμοὺς βιωτικούς· ἐξ ὧν τῷ νοερῷ ποδὶ τῆς ψυχῆς, ἔρχεται τὸ πρὸς λίθον ἁμαρτίας προσπταίειν· ϗ οὐ μὴ νυσάξῃ ὁ φυλάσσων σε Ἄγγελος· νυσάζει γὰρ οὕτως: ἤτοι συσέλλεται πρὸς ἑαυτὸν φῶς ὢν, ὁπηνίκα ἂν τὴν ῥοπὴν πᾶσαν τῆς ψυχῆς, ἀφ᾽ ἃ μὴ δεῖ, τρέψωμεν.

(1) Λέγει δὲ ὁ Χρυσόσομος· „ Ὁρᾷς, πῶς ϗ ἐνταῦθα βούλεται ἐνεργὸν εἶναι; ἀπὸ μεταφορᾶς δὲ τῶν ἐν παρατάξει ἑσώτων, παρὰ τὴν χεῖρά σου, φησι, σήσεται τὴν δεξιάν· ὥσε ἀχείρωτον εἶναι· ὥσε ἐνεργόν· ὥσε τρόπαιον ἱσᾶν· ὥσε νίκην αἱρεῖσθαι· ἐπειδὴ μάλισα αὕτη ἐσὶ, δι᾽ ἧς ἅπαντα ἐνεργοῦμεν· οὐκ ἔσαι δέ σοι παρασάτης μόνον, ἀλλὰ ϗ σκέπη.

κτα. δείχνει δὲ μὲ τὰ λόγια ταῦττα ὁ Δαβὶδ τὴν ἄκραν ἐπιμέλειαν, ὁποῦ ὁ Θεὸς δείχνει εἰς τὸν ἐνάρετον, κατὰ τὸν Χρυσόςομον. ἀκόλουθον δὲ ἦτον κατὰ τὸν αὐτὸν Χρυσοῤῥήμονα, νὰ ἀπολαύσουν καὶ αἰσθητῶς τὴν τοιαύτην ξεχωριςὴν χάριν οἱ Ἑβραῖοι ἀπὸ τὸν Θεόν. καὶ πολλῷ μᾶλλον ἀκόλουθον εἶναι νὰ ἀπολαμβάνουν ταύτην καὶ τώρα οἱ φίλοι τοῦ Θεοῦ. λέγουσι δὲ οἱ φυσικοὶ, κατὰ τὸν Θεοδώριτον, ὅτι καὶ τὸ φεγγάρι καυματώνει τὰ σώματα. διατὶ αὐτὸ δὲν εἶναι μόνον ὑγρὸν, ἀλλ' εἶναι καὶ θερμόν. καὶ ἀκολούθως ὑγραίνει καὶ θερμαίνει καὶ παραλύει τὰ σώματα. ἢ τὸ, συγκαύσει νοεῖται ἀντὶ τοῦ, δὲν θέλει σε βλάψει ὁ ἥλιος καὶ ἡ Σελήνη. (1)

7: „ Κύριος φυλάξει σε ἀπὸ παντὸς κα-
„ κοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύ-
„ ριος.

Πολλαῖς φοραῖς λέγει ὁ Δαβὶδ, ὅτι ὁ Θεὸς φυλάττει τὴν ψυχήν, ἕνα μὲν, διὰ περισσοτέραν βεβαιότητα. καὶ ἄλλο δὲ, διὰ νὰ παρακινήσῃ περισσότερον τοὺς Χριςιανοὺς, εἰς τὸ νὰ περιπατοῦν τὴν ὀρθὴν καὶ ἴσιην ςράταν τῆς ἀρετῆς. ποθοῦσι γὰρ οἱ ἄνθρωποι νὰ φυλάττωνται ἀπὸ τὸν Θεόν, ὅς τις φυλάττει τοὺς περιπατοῦντας εἰς τὴν τοιαύτην ςράταν τῆς ἀρετῆς. ἢ λέγει, ὅτι ὁ Θεὸς θέλει φυλάξει καὶ τὸ σῶμα καὶ τὴν ψυχήν σου ἀπὸ κάθε κίνδυνον. (2)

8: „ Κύριος φυλάξει τὴν εἴσοδόν σου
„ καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν
„ καὶ ἕως τοῦ αἰῶνος.

Ὁ Κύριος, λέγει, θέλει σε φυλάξει, καὶ ὅταν ἐμβαίνῃς εἰς τὸν οἶκόν σου, καὶ ὅταν εὐγαίνῃς: ἤτοι θέλει φυλάξει ὅλην τὴν ζωὴν καὶ συναναςροφήν σου, καὶ ὅλα σου τὰ καλὰ κινήματα. ἢ νοεῖται καὶ ἄλλως, ὅτι θέλει φυλάξει ὁ Θεὸς, τόσον τὴν εἰς τὴν ζωὴν ταύτην εἴσοδόν σου: ἤγουν τὴν γέννησίν σου, ὅσον καὶ τὴν ἐκ τῆς ζωῆς ταύτης ἔξοδον: ἤτοι τὸν θάνατον καὶ τελευτήν σου. ἢ καὶ ὅλον σου τὸν βίον. ὅλος γὰρ ὁ βίος τοῦ ἀνθρώπου θεωρεῖται καὶ ςρέφεται μὲ εἰσόδους καὶ μὲ ἐξόδους, θέλει σε φυλάξει δὲ ἀπὸ τώρα καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον τῆς ζωῆς σου. (3)

ΨΑΛ—

(1) Ὁ δὲ θεῖος Μάξιμος λέγει· „ Καὶ ἐν ἡμῖν, ὅταν ὑψωθῇ διὰ τῶν ἔργων τῶν ἀγαθῶν ὁ ἥλιος τῆς δικαιοσύνης· τότε ἡ ἡμετέρα φύσις ἡ ὑπὸ τροπὴν οὖσα ϗ ἀλλοίωσιν, (ὡς ἡ σελήνη) τάξιν λαμβάνει βάσιμον. ὁ δὲ Νύσσης φησί· „ Διαβέβληται ἐν τῇ δευτέρᾳ τῶν ἀναβαθμῶν ᾠδῇ ὁ ἥλιος· οὕτω δὲ ὀνομάζεται ἡ ἀντικειμένη τοῦ πειρασμοῦ προσβολή· ταύτην γοῦν ποιεῖται τὴν εὐλογίαν τῷ βοήθειαν ἔχοντι παρὰ Κυρίου, μὴ συγκαίεσθαι αὐτὸν ὑπὸ τοῦ ἡλίου διὰ τῆς ἡμέρας· οὗτος οὖν ἐςιν ὁ παραβλάπτων ἥλιος, ὅταν μὴ διατειχίζηται ὁ παρ' αὐτοῦ φλογμὸς τῇ νεφέλῃ τοῦ Πνεύματος, ἣν διεπέτασε τοῖς τοιούτοις ὁ Κύριος εἰς σκέπην αὐτοῖς· ὁμοίως ϗ σελήνη ἡ ἀντικειμένη λέγεται δύναμις, ἡ μὴ οἰκεῖον, ἀλλὰ νόθον ἔχουσα φῶς· μὴ ὢν γὰρ θεὸς, ἔδοξε θεὸς τοῦ αἰῶνος τούτου τοῖς ἀνοήτοις ὁ Σατανᾶς, ὁ μετασχηματιζόμενος εἰς Ἄγγελον φωτός· ϗ ὁ Ὠριγένης δὲ εἶπεν· „ Ἐπεὶ ὁ ἥλιος, οὐ μόνον τὸ φωτίζειν, ἀλλὰ ϗ τὸ συγκαίειν ἔχει· ἔςι δὲ ὁ Θεὸς, φῶς μὲν τοῖς δικαίοις, πῦρ δὲ τοῖς ἁμαρτωλοῖς, ἐκδέξῃ ϗ ἐπ' αὐτοῦ τὸ ῥητόν· ὁ γὰρ τῆς δικαιοσύνης ἥλιος, φωτίζει μὲν, ἐφ' οὓς γίνεται χρηςότης· συγκαίει δὲ, τοὺς ὑπὸ τὴν ἀποτομίαν τοῦ Θεοῦ γινομένους· τὰ δ' αὐτὰ ϗ ἡ σὺν αὐτῷ σελήνη ἁγία Ἐκκλησία ποιήσει, συνευεργετοῦσα ϗ συναγανακτοῦσα αὐτῷ. λέγει δὲ ϗ ὁ Χρυσόςομος· „ Ἐκ περιουσίας τοίνυν αὐτοῦ τὴν πρόνοιαν δεῖξαι βουλόμενος, ὅτι οὐ μόνον τῶν δεινῶν ἀπαλλάττει, ἀλλ' οὐδὲ τὰ τῶν ἀνθρώπων ἀφίησί σε παθεῖν, τοῦτο ἐπήγαγε· δαψιλὴς γὰρ αὐτοῦ τῆς βοηθείας ἡ χορηγία. ϗ ὁ Θεοδώριτος· „ Νύκτωρ, φησὶ, ϗ μεθ' ἡμέραν τῆς παρ' αὐτοῦ Προνοίας ἀπολαύων, ἀβλαβὴς φυλαχθήσῃ.

(2) Θάρσει οὖν, φησί τις ἄλλος παρὰ τῇ Σειρᾷ τοῦ Νικήτα, θάρσει, ὦ οὗτος, φύλακα ἔχων τὸν Θεὸν, πρὸς τὸ μὴ κρατηθῆναί σε ὑπὸ τῶν ἀπὸ κακίας ὁρμωμένων, μηδὲ ἡττηθῆναι ἀπὸ κακίας· εἰδὲ ϗ ζημία τις, ἢ συμφορὰ περὶ τὸ σῶμά σοι γένοιτο· ἀλλ' οὔποτε τὴν ψυχήν σου παρήσει ὁ Κύριος· ὡς οὐδὲ τὴν τοῦ Ἰώβ· περὶ οὗ ἔλεγε πρὸς τὸν Διάβολον· „ Πλὴν τὴν ψυχὴν αὐτοῦ διατήρησον.

(3) Ὑψηλότερον δὲ νοούμενον τὸ ῥητὸν δηλοῖ κατὰ ἄλλον ἑρμηνευτὴν, ὅτι ἡ ψυχὴ ἡμῶν δεῖται φυλακῆς· ϗ αὐ-

μὲν.

ΨΑΛΜΟΣ ΡΚΑ.

„ Ὠδὴ τῶν Ἀναβαθμῶν.

1: „ Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι „ εἰς οἶκον Κυρίου πορευσόμεθα.

Τοῦτον τὸν σίχον ἔλεγον οἱ Ἑβραῖοι μετὰ χαρᾶς μεγάλης, ὅταν ἐπεριπάτουν εἰς τὸν περιπόθητον δρόμον, καὶ ἐγύριζον ἀπὸ τὴν Βαβυλῶνα εἰς τὴν Ἰερουσαλὴμ κατα τὸν Θεοδώριτον.

2: „ Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς „ αὐλαῖς σου Ἱερουσαλήμ.

Οὗτος ὁ σίχος εἶναι ὡσὰν ἀπόκρισις πρὸς τὸν ἀνωτέρω σίχον· ὅταν, λέγει, ἠμεῖς ἀκούσαμεν νὰ μᾶς λέγουν οἱ ἄλλοι συνοδῖται μας. ἡμεῖς θέλομεν ὑπάγομεν εἰς τὸν ἐν Ἱερουσαλὴμ ναὸν τοῦ Κυρίου. εὐθὺς μὲ τὸν λόγον αὐτὸν ἐσχημάτισεν ἡ φαντασία μας, ὅτι τὰ ποδάριά μας ἐσέκοντο μέσα εἰς τὰς ἰδίας αὐλὰς τῆς Ἱερουσαλὴμ. ἔτζι γὰρ ἡμᾶς ἔκαμε νὰ νομίσωμεν, ἡ πολλὴ καὶ ὑπερβολικὴ ἐπιθυμία, ὁποῦ εἴχομεν νὰ ἀπέλθωμεν εἰς τὴν Ἱερουσαλήμ. (1)

3: „ Ἰε-

μὲν, ἐξαιρέτως δὲ κατὰ τὸν τῆς ἐξόδου τοῦ βίου καιρὸν, καὶ κατὰ τὴν εἴσοδον τὴν εἰς τὴν τοῦ Θεοῦ πόλιν· ἢ καὶ κατὰ τὴν ἀπὸ κακοῦ ἔκκλισιν, καὶ τὴν πρὸς τὸ ποιεῖν τὸ ἀγαθὸν εἴσοδον· τί γὰρ ὄφελος, εἰ ἐν μέσῳ τῆς ὁδοῦ πεσών τις, ἀπόλοιτο; διὸ εἴρηται· „ Μὴ μακάριζε ἄνδρα πρὸ τελευτῆς αὐτοῦ. (Σειρ. ια΄. 28.) λέγει δὲ καὶ ὁ Νύσσης· „ Αὕτη ἐστὶν ὡς ἀληθῶς ἡ ὑπὸ Θεοῦ φυλασσομένη τοῖς ἀξίοις ἔξοδος ἅμα καὶ εἴσοδος γινομένη· ἡ γὰρ ἀπὸ τοῦ ἐν ᾧ ἐσμὲν ἔξοδος, τῶν ὑπεοκειμένων ἀγαθῶν εἴσοδος γίνεται· ταύτῃ ἐξέρχεταί τις τὴν ἔξοδον, ὁδηγῷ κεχρημένος τῷ εἰπόντι· „ Ἐγώ εἰμι ἡ ὁδός· καὶ ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, εἰσελεύσεται καὶ ἐξελεύσεται, ἀπό τε κακίας εἰς ἀρετὴν, ἀπό τε ἀγνοίας εἰς γνῶσιν, ἀπὸ τῆς δὲ τῆς ἀρετῆς ἐφ᾽ ἑτέραν· οὐδέποτε, οὔτε τοῦ εἰσιέναι λήγων, οὔτε τοῦ ἐξιέναι παυόμενος· ἀλλὰ πάντοτε διὰ προκοπῆς εἰς τὰ ὑπερκείμενα εἰσιὼν, καὶ ἀεὶ τῶν κατειλημμένων ἔξω γινόμενος. λέγει δὲ καὶ ὁ Χρυσορρήμων· „ Εἶδες διηνεκῆ συμμαχίαν πανταχοῦ παροῦσαν, εἰσιόντι, ἐξιόντι; τί ταύτης ἴσον γένοιτ᾽ ἂν τῆς ἀγάπης; τί τῆς φιλανθρωπίας; ἐνταῦθα μέντοι τὸν βίον ἅπαντα αἰνίττεται· ἐν τούτοις γὰρ ὁ βίος ἅπας ἐν εἰσόδοις καὶ ἐξόδοις. καὶ ὁ Θεοδώριτος· „ Τὴν παντοδαπὴν τοῦ Θεοῦ Πρόνοιαν διὰ τῶν εἰρημένων ἐδήλωσεν, ἧς παρούσης, κρείττους τῶν πολεμίων γινόμεθα δυσμενῶν· καὶ τὰς τῶν ὁρατῶν καὶ ἀοράτων διαφεύγομεν πάγας.

(1) Ὁ δὲ Εὐσέβιος λέγει· „ Ὅτι οἱ νέοι ἐκεῖνοι, ὁποῦ ἐγεννήθησαν εἰς τὴν Βαβυλῶνα ἐν τοῖς ἑβδομήκοντα χρό-

3 : „ Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πό-
„ λις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ὦ Ἱερουσαλὴμ, λέγει, γλυκυτάτη πατρίς μας, ἥτις οἰκοδομήθης ὡς πόλις κυρίως οὖσα κατὰ τοὺς παλαιοὺς χρόνους. ἀντὶ δὲ τοῦ, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτὸ, ἄλλος ἑρμηνευτὴς εἶπεν ἧς ἡ συνάφεια ὁμοῦ :ἤτοι τῆς ὁποίας Ἱερουσαλὴμ τὰ μετόχια καὶ τὰ οἰκοδομήματα, ἦτον κοντὰ κοντὰ ὁμοῦ ἑνωμένα διὰ τὸ πλῆθος τῶν κατοικούντων, κατὰ τὸν Χρυσόστομον. (1)

4 : „ Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ
„ Κυρίου.

Τοῦτο εἶναι τὸ μεγαλώτατον ἐγκώμιον, ὁποῦ κάμνει ὁ λαὸς τῶν Ἑβραίων τῆς Ἱερουσαλὴμ. διατὶ αὐτὴ, λέγει, δὲν ἐστολίζετο τόσον ἀπὸ τὴν μεγάλην εὐρυχωρίαν ὁποῦ εἶχε καὶ τὰ οἰκοδομήματα, καθὼς ἐστολίζετο, διατὶ τρεῖς φοραῖς τὸν χρόνον ἀνέβαινον καὶ ἐσυναθροίζοντο εἰς αὐτὴν ὅλαι αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ κατὰ τὸν καιρὸν τῶν μεγάλων καὶ δημοτελῶν ἑορτῶν :ἤτοι ἐν τῷ Πάσχα. ἐν τῇ Πεντηκοστῇ καὶ ἐν τῇ Σκηνοπηγίᾳ. ἐκεῖ, λέγει, εἰς τὴν Ἱερουσαλὴμ :δηλαδὴ πρὸ τῆς σκλαβίας, ἀνέβαινον παλαιὰ αἱ φυλαὶ τοῦ Κυρίου καὶ ἐσυναθροίζοντο. φυλὰς δὲ Κυρίου ταύτας ὠνόμασεν, ὡς λαὸν τοῦ Κυρίου ἐξαίρετον, καὶ ὡς ὑποτεταγμένας εἰς τὸν Κύριον.

„ Μαρτύριον τῷ Ἰσραὴλ τοῦ ἐξο-
„ μολογήσασθαι τῷ ὀνόματι Κυ-
„ ρίου.

Ἡ κατ᾽ ἔτος συνάθροισις, λέγει, τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἐν τῇ Ἱερουσαλὴμ, αὕτη ἦτον μία ἀπόδειξις εἰς τὸν λαὸν τοῦ Ἰσραὴλ, ὅτι ἐτελειώθη ἡ ὑπόσχεσις, ὁποῦ ἔδωκεν ὁ Θεὸς εἰς τὸν

Α

χρόνοις τῆς σκλαβίας, ἐρώτων εἰς τὴν στράταν τοὺς γέροντας ἐκείνους, ὁποῦ ἔμειναν ἀπὸ τὴν αἰχμαλωσίαν, ϗ ηὗρευαν τὴν Ἱερουσαλήμ· „ Ποῦ πηγαίνομεν; ϗ ἐκεῖνοι τοὺς ἀπεκρίθησαν, ὅτι πηγαίνομεν εἰς τὸν ἐν Ἱερουσαλὴμ οἶκον Κυρίου· οἱ δὲ νέοι ἀκούσαντες τοῦτο εὐφράνθησαν· ϗ δεύτερον τοὺς γέροντας· πόθεν τοῦτο ἠξεύρετε; ϗ ἐκεῖνοι ἀπεκρίθησαν· ὅτι οὐκ ἐξ ἀκοῆς. ἀλλ᾽ ἐξ αὐτοψίας ταῦτα λέγομεν· διατὶ αὐτοὶ ἡμεῖς ἤμεθά ποτε εἰς τὴν Ἱερουσαλήμ· ϗ οἱ πόδες μας οὗτοι, ὁποῦ περιπατοῦν τώρα μὲ ἐσᾶς, αὐτοὶ ἐστάθησαν εἰς τὰς αὐλὰς τῆς Ἱερουσαλήμ· ϗ τὸν τρόπον δὲ τῆς οἰκοδομῆς τῆς πόλεως, ϗ τὴν τοποθεσίαν, ϗ τὸ σχῆμά της, ἔχομεν ἀκόμη εἰς τὴν ἐνθύμησίν μας. προσθέττει δὲ ὁ Θεοδώριτος· „ Εὐσεβείας αὕτη ἡ φωνή· γάννυνται ϗ χαίρουσιν, οὐχ᾽ ὡς τὰς οἰκίας ἀποληψόμενοι, ἀλλ᾽ ὡς τὸν θεῖον οἶκον ὀψόμενοι. ὁ δὲ Χρυσορρήμων λέγει· „ Ἀλλὰ νῦν πολλοὶ δυσχεραίνουσιν ἐπὶ τῷ ῥήματι· κἂν μέν τις εἰς θέατρα παρανομίας ἀναβαίνων καλέσῃ, πολλοὶ οἱ συντρέχοντες· ἂν δὲ ἐπὶ τὸν εὐκτήριον οἶκον, πολλοὶ οἱ ὀκνοῦντες· ἀλλ᾽ οὐχ Ἰουδαῖοι οὕτως· οὗ τί γένοιτ᾽ ἂν χαλεπώτερον, ὅταν ἐκείνων φαίνωνται ῥαθυμότεροι οἱ Χριστιανοί; πόθεν δὲ οὗτοι οὕτως; ἀπὸ τῆς αἰχμαλωσίας ἐγένοντο βελτίους· καὶ ὡς τῶν πραγμάτων ἀπολαύοντες αὐτῶν, ϗ πρὸς τὰ ῥήματα αὐτὰ ἔχαιρον, πολλῷ τῷ πόθῳ περιπλεκόμενοι τὸν εὐκτήριον οἶκον ϗ τὴν πόλιν· οὕτω γὰρ ὁ Θεὸς ποιεῖν εἴωθεν· ὅταν ἔχοντες τὰ ἀγαθὰ μὴ αἰσθανώμεθα, ἐκβάλλει αὐτὰ τῶν ἡμετέρων χειρῶν· ἵνα, ὅπερ οὐκ ἐποίησεν ἡ ἀπόλαυσις, τοῦτο ποιήσῃ ἡ στέρησις.

(1) Λέγει ϗ ὁ Εὐσέβιος· „ Ἦν γὰρ ἡ πόλις, οὐ διεσπαρμένη ὧδε κἀκεῖσε· οὐδὲ ἀπεσχοινισμένη ϗ διεστῶσα εἰς μέρη πολλά· ἀλλ᾽ οὕτως ἦν ᾠκοδομημένη, ὡς δοκεῖν ἕνα εἶναι οἶκον διὰ τὴν συνάφειαν ϗ ἁρμονίαν τῶν ἐν αὐτῇ οἰκοδομημάτων. ὁ δὲ Στηθάτης, οἶκον μὲν Θεοῦ, ἐννοεῖ τὴν ἐντὸς κατάστασιν τῶν ψυχῶν· Ἱερουσαλὴμ δὲ, τὴν γῆν τῆς ἀπαθείας· οἰκοδομὴν δὲ τοῦ οἴκου, τὴν ἐκ διαφόρων ἀρετῶν συγκροτουμένην· οὗ θεμέλιος ἡ ταπείνωσις ϗ πτωχεία ἡ πνευματική· ἡ μετοχὴ δὲ τούτου, ἡ μετοχή ἐστι τοῦ φωτὸς, ἣ δι᾽ ἀγάπης ϗ ταπεινοφροσύνης συντηρεῖται ἀμείωτος. ὁ δὲ Χρυσόστομος λέγει· „ Ὅτι οἱ Ἰουδαῖοι ἐπανελθόντες ϗ ἰδόντες τὴν ἐρημίαν τῆς πόλεως, ἀνακαλοῦνται τὴν παλαιὰν ἐκείνην εὐημερίαν, ϗ τὰ ἐγκώμια αὐτῆς διηγοῦνται λέγοντες, ὅτι ἡ λαμπρὰ ϗ περιφανὴς, ϗ πολλὴν ἔχουσα σύγκλητον, τὸ κατηφὲς τοῦτο σχῆμα περιβέβληται νῦν. ὁ δὲ Ὠριγένης λέγει· „ Ὅταν ἡ τῶν πιστευόντων καρδία ϗ ψυχὴ μία ᾖ, ϗ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, Ἱερουσαλὴμ εἰσιν, ἧς μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ἀβραάμ : δηλαδὴ τοῦ νὰ πληθυνθῇ τὸ σπέρμα τοῦ Ἀβραάμ, καὶ να κληρονομήσῃ τὴν γῆν τῆς ἐπαγγελίας. ἢ μαρτύριον νοεῖται ἡ διαμαρτυρία, ὁποῦ ἔδωκεν ὁ Θεὸς εἰς τὸν λαὸν τοῦ Ἰσραήλ. διεμαρτύρατο γὰρ καὶ ἐπρόσαξεν αὐτὸν ὁ Θεὸς νὰ συνάγεται εἰς τὴν Ἱερουσαλὴμ κατὰ τοὺς τρεῖς καιροὺς τοῦ χρόνου :ἤτοι κατὰ τὰς τρεῖς ῥηθείσας ἑορτάς. ἡ δὲ ὁμαλὴ σύνταξις τοῦ ῥητοῦ εἶναι αὕτη. ἐκεῖ ἀνέβησαν αἱ φυλαὶ φυλαὶ Κυρίου μαρτύριον τῷ Ἰσραὴλ περιττοῦ ὄντος τοῦ γάρ. ἀνέβησαν, λέγει, διαμαρτυρία καὶ κέλευσις :ἤτοι κατὰ κέλευσιν καὶ προσαγὴν Θεοῦ· διατὶ δὲ ἀνέβησαν, διὰ νὰ εὐχαριστήσουν τὸ ὄνομα τοῦ Θεοῦ .ἤτοι τὸν Θεὸν κατὰ περίφρασιν μὲ τὸ μέσον τῆς νενομοθετημένης ὑπὸ τοῦ Θεοῦ λατρείας τῆς νομικῆς. (1)

5 : „ Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν,
„ θρόνοι επι οἶκον Δαβίδ.

Ἰδοὺ καὶ ἄλλο ἐγκώμιον τῆς Ἱερουσαλήμ. ἐκεῖ, λέγει, εἰς τὴν Ἱερουσαλὴμ ἐστάθησαν θρόνοι βασιλείας, εἰς τὸ νὰ κρίνουν τὸν λαόν : δηλαδὴ θρόνοι ἐν τῷ οἴκῳ Δαβίδ : ἤτοι εἰς τὰ βασιλικὰ παλάτια τοῦ Δαβίδ. ἢ τὸ πρῶτον μὲν θρόνοι, τοῦτο λέγεται, διὰ τοὺς θρόνους τῶν ἀρχιερέων καὶ Ἱερέων. τὸ δὲ δεύτερον θρόνοι, τοῦτο λέγεται διὰ τοὺς θρόνους τῶν βασιλέων, κατὰ τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου.

6 : „ Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν
„ Ἱερουσαλήμ.

Χαιρετίσατε, λέγει, τὴν Ἱερουσαλὴμ μὲ χαιρετισμοὺς εἰρήνης, καὶ εἴπατε εἰς αὐτήν. ἂς εἶναι εἰρήνη εἰς ἐσένα, ὦ πόλις Ἱερουσαλήμ. ἂς εἶναι εἰρήνη εἰς τὸν λαόν σου. ἐπειδὴ καὶ εἰς τὸ ἑξῆς θέλει ἔχει εἰρήνην βαθεῖαν, καὶ χαρὰν ὑπερβολικήν· ἄλλος δὲ ἑρμηνευτὴς εἶπεν „ ἀσπάσασθε αὐτήν. (2)

„ Καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε.

Χαιρετίσατε, λέγει, τὴν Ἱερουσαλὴμ καὶ εἴπατε καὶ τοῦτο πρὸς αὐτήν. ὦ πόλις Ἱερουσαλήμ· ἂς εἶναι εὐτυχία καὶ εὐθηνία, ὄχι μόνον εἰς τοὺς ἐδικούς σου πολίτας, ἀλλὰ καὶ εἰς ὅλους τοὺς περιοίκους σου ἐθνικοὺς οἵτινες σὲ ἀγαπῶσι. προφητεία δὲ εἶναι τοῦτο διὰ ἐκεῖνο, ὁποῦ ἔμελε νὰ γένῃ. (3)

7 : „ Γε-

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Μαρτύριον τῷ Ἰσραὴλ τὸν θεῖον νόμον ἐκάλεσε, τὸν διαῤῥήδην κελεύοντα συντρέχειν τὸν Ἰσραὴλ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός. λέγει δὲ ὁ θεῖος Χρυσόστομος· „ Τὸ συνάγεσθαι πάντας ἐν Ἱερουσαλήμ, τοῦτο ἐγίνετο εἰς θεογνωσίας ὑπόθεσιν, ἵνα μὴ πανταχοῦ πλανώμενοι, ἀφορμὰς ἔχωσι, καὶ ἐξόδους ἐπὶ τὴν τῶν Εἰδώλων θεραπείαν· ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγεν· ἐκεῖ αἱ φυλαὶ ἀνέβησαν μαρτύριον τῷ Ἰσραήλ : τουτέστιν ἔλεγχος, τοῦ μὴ εἶναι αὐτοῖς ἀπολογίαν πρὸς τὰ Εἴδωλα τρέχουσι. λέγει δὲ καὶ ὁ Στηθάτης· „ Καθάπερ αἱ διαιρεθεῖσαι φυλαὶ ἐπὶ Ἱεροβοάμ, τῆς δαβιτικῆς αἱ δέκα βασιλείας ἀπεσχοινίσθησαν, μετὰ δὲ τὴν ἐπάνοδον, μία γέγονεν ἡγεμονία, καὶ πάντες εἰς τὴν Ἱερουσαλὴμ εὐθύμως συνέτρεχον κατὰ τὸν νόμον, τῷ Θεῷ τὴν συνήθη λειτουργίαν προσφέροντες : τὸν αὐτὸν τρόπον αἱ τῆς ψυχῆς ἑκάστου δυνάμεις, ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατραπεῖσαι, τῆς τοῦ Θεοῦ βασιλείας ἀπεσχοινίσθησαν· μετὰ δὲ τὴν μετάνοιαν, ὑπὸ μίαν γίνονται φυσικὴν ἡγεμονίαν καὶ βασιλείαν Χριστοῦ, τῷ Θεῷ προσφέρουσαι θυσίαν καθαρὰν καὶ συνήθη, ἐν συντετριμμένῳ τῷ πνεύματι, τὰς φυσικὰς κινήσεις καὶ ἐνεργείας αὐτῶν.

(2) Ὁ δὲ Χρυσόστομος λέγει· „ Ἐρωτήσατε : τουτέστι δεήθητε, ὥστε αὐτὴν εἰς τὴν πρώτην ἐπανελθεῖν εὐημερίαν· ὥστε ἀπαλλαγῆναι τῶν πυκνῶν πολέμων· μηδὲν ἕτερον εὐχόμενοι καὶ ζητοῦντες, ἢ τὰ πρὸς εἰρήνην αὐτῇ συντελοῦντα.

(3) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Ἐνταῦθα τῆς εὐπραγίας πολλὴ ἡ περιουσία, ὅταν μὴ μέχρις αὐτῆς ἵστηται τὰ

7 : ,, Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει ,, σου. καὶ εὐθηνία ἐν ταῖς πυργο-,, βάρεσί σου.

Ἄλλος δὲ ἑρμηνευτὴς εἶπε. γένοιτο ἢ γενήσεται. χαιρετίσατε, λέγει, τὴν Ἱερουσαλὴμ καὶ εἴπατε. ἂς εἶναι, ὦ Ἱερουσαλὴμ, εἰρήνη εἰς τὴν δύναμίν σου. ἤγουν εἰς τοὺς στρατιώτας σου· δύναμις γὰρ πόλεως εἶναι τὰ πολεμικὰ στρατεύματα. εἰρήνη δὲ τούτων εἶναι, τὸ νὰ μὴ μάχωνται, μηδὲ νὰ ἔχουν πολεμίους. (1) ἀντὶ δὲ τοῦ ,, εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. ἄλλος ἑρμηνευτὴς εἶπε ,, καὶ πλοῦτος ἐν τοῖς βασιλείοις σου. ἄλλος ἐν τοῖς περιβόλοις σου. πυργόβαρις γὰρ εἶναι τὸ πλέον δυνατώτερον περιτείχισμα τῆς πόλεως. (2)

8 : ,, Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν ,, πλησίον μου, ἐλάλουν δὴ εἰρήνην ,, περὶ σοῦ.

Τοῦτον τὸν λόγον λέγει ὁ Προφήτης Δαβὶδ ἐκ μέρους τοῦ εἰς τὴν Ἱερουσαλὴμ: ἤγουν, ὅτι ἐγὼ εὐχήθηκα εἰρήνην διὰ λόγου σου ὦ Ἱερουσαλὴμ, διὰ τοὺς συγγενεῖς μου Ἰουδαίους. καὶ διὰ τὰς φυλὰς τοῦ Ἰσραὴλ· ἵνα ἐν εἰρήνῃ αὐτοὶ διάγοντες. λατρεύωσι μέσα εἰς ἐσένα καὶ εὐχαριστῶσι τὸν Θεόν. (3)

9 : ,, Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ,, ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Διὰ τὸν ναὸν Κυρίου, λέγει, τὸν οἰκοδομημένον εἰς ἐσένα, ἐζήτησα ὦ Ἱερουσαλὴμ, νὰ ἔχῃς καὶ σὺ γαλήνην καὶ εὐθηνίαν. ἵνα δηλαδὴ ἀπολάβῃς τὴν προτέραν σου εὐπρέπειαν, καὶ τὴν εἰς τὸν Θεὸν νενομισμένην λατρείαν. (4)

,, ΨΑΛ-

τὰ ἀγαθὰ, ἀλλὰ καὶ οἱ φιλοῦντες αὐτὴν, τούτων ἀπολαύουσι· τίνες δὲ οὗτοι; ἢ τοὺς μέλλοντας αὐτοῖς συμπράττειν λέγει· ἢ καὶ αὐτοὺς τοὺς πολίτας.

(1) Λέγει δὲ ὁ Χρυσόστομος ,, Τί ἐστιν ἐν τῇ δυνάμει σου; ἐν τῇ ὑποστάσει σου· ἐν τοῖς οἰκήτορσί σου· ἐπειδὴ φθοροποιὸν ὁ πόλεμος, καὶ τοῦτο αὐτὴν ἀπώλεσεν, ἐπεύχεται αὐτῇ εἰρήνην.

(2) Κατὰ γὰρ τὸν Χρυσόστομον, οὐ μόνον αὐτῆς κακῶν ἀπαλλαγὴν προφητεύει, ἀλλὰ καὶ προσθήκην ἀγαθῶν, εἰρήνην, εὐπορίαν, εὐετηρίαν· τί γὰρ ὄφελος εἰρήνης ἐν λιμῷ; ἢ εὐθυνίας ἐν πολέμῳ; λέγει δὲ καὶ ὁ Στηθάτης· ,, Εἰ γὰρ μὴ εἰρήνη ἐν ταῖς δυνάμεσιν ἡμῶν τῆς ψυχῆς, ἡ γινομένη διὰ τοῦ Πνεύματος, οὔτε ὁ Θεὸς κατοικεῖ ἐν ἡμῖν, οὔτε τῶν καρπῶν εὐθηνία τοῦ Πνεύματος διὰ τῶν τούτου ἐλλάμψεων, γίνεται ἐν ταῖς καρδίαις ἡμῶν. εἰδὲ καὶ πυργοβάρεις τὰς γενικὰς ἀρετὰς ὑπολάβοις, οὐχ ἁμαρτήσεις τοῦ πρέποντος.

(3) Λέγει δὲ ὁ Θεοδώριτος· ,, Ταῦτά, φησιν, ἐπεύχομαί σοι, οὐκ αὐτὸς ἐν σοὶ πολιτευόμενος· πῶς γὰρ, ὁ γε πρὸ πολλοῦ χρόνου τοῦ βίου τὸ πέρας δεξάμενος; ἀλλὰ τοὺς ὁμοφύλους ἱμειρόμενος εἰρήνης τυχεῖν, καὶ τὸν οἶκον τοῦ Θεοῦ μου τὴν προτέραν περιφάνειαν ἀπολαβεῖν ἐφιέμενος.

(4) Λέγει δὲ ὁ Χρυσόστομος· ,, Ὁρᾷς, πῶς καταστέλλει αὐτῶν τὴν ἀπόνοιαν; ἵνα γὰρ μὴ ὡς ἀξίαν δεδωκότες δίκην, νομίζωσιν ἀπειληφέναι τὰ ἀγαθὰ, ἀλλὰ μάθωσιν, ὅτι διὰ τὴν τοῦ Θεοῦ δόξαν πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα· καὶ μαθόντες, μένωσι μετὰ ἀσφαλείας πολλῆς· καὶ μὴ ἁμαρτάνοντες, πάλιν τῶν αὐτῶν λάβωσι πεῖραν· διὰ τοῦτο ἐπήγαγεν, ὅτι ἕνεκα τοῦ ναοῦ, τὰ ἀγαθά σοι ἐξεζήτησα.

ΨΑΛΜΟΣ ΡΚΒ.

Ὠδὴ τῶν Ἀναβαθμῶν.

1 : „ Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου
„ τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ·

Καὶ οὗτος ὁ λόγος προφητεύεται ἐκ προσώπου τῶν Ἑβραίων, οἵτινες εὑρίσκοντο εἰς τὸν δρόμον, γυρίζοντες ἀπὸ τὴν Βαβυλῶνα εἰς τὴν Ἱερουσαλὴμ (1) λέγεται δὲ, ὅτι ὁ Θεὸς κατοικεῖ εἰς τὸν οὐρανὸν ἐπειδὴ ἀναπαύεται εἰς τὰς ἐκεῖ καθαρὰς καὶ ἁγίας Δυνάμεις, κατὰ τὸν Χρυσόστομον. διότι καὶ περὶ τῶν ἐπὶ γῆς εὑρισκομένων ἁγίων εἶπεν „ Ἐνοικήσω ἐν ἑαυτοῖς καὶ ἐμπεριπατήσω. (Λευ. κϛ. 12.)

2 : „ Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖ-
„ ρας τῶν κυρίων αὐτῶν· ὡς ὀφθαλ-
„ μοὶ παιδίσκης εἰς χεῖρας τῆς κυ-
„ ρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡ-
„ μῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν,
„ ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Μὲ τὰ παραδείγματα τῶν δούλων καὶ τῆς δούλης φανερώνουσιν οἱ Ἑβραῖοι, ὅτι αὐτοὶ ἀποβλέπουσιν ὅλως διόλου καὶ παντοτινὰ πρὸς τὸν Θεὸν, καὶ ὅτι ἀπὸ κανένα ἄλλο μέρος δὲν ἔχουν ἐλπίδα βοηθείας, πάρεξ ἀπὸ τὸν Θεόν. διὰ τοῦτο οὐδὲ θέλουν νὰ χωρισθοῦν ἀπὸ αὐτὸν, ἕως οὗ νὰ τοὺς ἐλεήσῃ. τὸ δὲ οἰκτειρήσαι, εὐκτικοῦ μὲν ἔχει σχῆμα, σημασίαν δὲ ἔχει μέλλοντος, ἀντὶ τοῦ οἰκτειρήσει (κατὰ γὰρ τοὺς Γραμματικοὺς πάντα τὰ εὐκτικὰ σημασίαν ἔχουσι μέλλοντος.) μερικοὶ δὲ λέγουσιν, ὡς ὁ Θεοδώριτος, ὅτι διὰ τοῦτο ἔφερον εἰς τὸ μέσον οἱ Ἑβραῖοι τὸ παράδειγμα τῆς δούλης, εἰς ἐπίτασιν καὶ ὑπερβολὴν ἀγάπης. διατὶ αἱ δοῦλαι, καθὸ εἶναι ἀσθενέστεραι κατὰ φύσιν, καὶ καθὸ εὑρίσκονται μέσα εἰς τοὺς θαλάμους μαζὶ μὲ τὰς κυρίας των, περισσότερον ἀποβλέπουσιν εἰς τὰς χεῖρας τῶν κυρίων αὐτῶν, πάρεξ οἱ δοῦλοι εἰς τὰς χεῖρας τῶν αὐθεντῶν τους. καὶ περισσότερον ἐκεῖναι ποθοῦσι

τὰς

(1) Εἴτε οἱ περὶ τὸν Ζοροβάβελ. δηλαδὴ, καὶ Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ ὑπῆρχον οὗτοι, εἴτε οἱ περὶ τὸν Νεεμίαν καὶ Ἔσδραν· κάμνοντες γὰρ κατὰ τὴν ὁδὸν, ἐλέου καὶ οἴκτου δέονται τυχεῖν παρὰ τοῦ Θεοῦ, ὡς ἐξουδενωμένοι.

τὰς κυρίας των, παρὰ οἱ δοῦλοι τοὺς αὐθέντας των. (1)

3: „ Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡ-
„ μᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐ-
„ ξουδενώσεως.

Ἐλέησον, λέγουσιν, ἐλέησον Κύριε, ἡμᾶς τοὺς σκλαβωμένους. διατὶ ἐχορτάσαμεν εἰς πολλῶν χρόνων διάστημα (ἤτοι ἑβδομήκοντα) ἀπὸ ὀνειδισμοὺς καὶ περιπαίγματα, τόσον τῶν σκλαβωσάντων ἡμᾶς βαβυλωνίων, ὅσον καὶ τῶν ἄλλων γειτονευόντων τοῖς βαβυλωνίοις Ἐθνῶν. τὰ ὁποῖα χαίρουν καὶ εὐφραίνονται εἰς τὰς συμφοράς μας. ἢ καὶ τῶν ἄλλων Ἐθνῶν, διὰ μέσου τῶν τόπων τῶν ὁποίων ἐδιέβαιναν, γυρίζοντες εἰς τὴν Ἱερουσαλήμ. ὁ διπλασιασμὸς δὲ τοῦ ἐλέησον „ δείχνει κατὰ τὸν Θεοδώριτον, τὴν θερμότητα τῆς ψυχῆς τῶν Ἑβραίων. διὰ τοῦτο λοιπὸν παρακαλοῦσιν. ἵνα μίαν ὥραν πρότερον ἐλεηθοῦν, καὶ ταχύτερον ἀποκατασαθοῦν εἰς τὴν πατρίδα των Ἱερουσαλήμ. (2)

4: „ Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν.

Παραπολλά, λέγει, καὶ μὲ ὑπερβολὴν μεγάλην ἐγέμισε καὶ ἐχόρτασεν ἡ ψυχή μας ἀπὸ τὴν ἐξουδένωσιν καὶ ἀτιμίαν τῶν βαβυλωνίων, καὶ τῶν ἄλλων πονηρῶν Ἐθνῶν. ὅθεν περαιτέρω δὲν ἠμπορεῦμεν νὰ ὑποφέρωμεν. (3)

„ Τὸ ὄνειδος τοῖς εὐθυνοῦσι, καὶ ἡ
„ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ἄμποτε, λέγει, Κύριε, νὰ ἀντιστραφῇ, εἰς μὲν τοὺς πλουσίους καὶ εὐτυχεῖς ὁ ὀνειδισμὸς, ὁποῦ ἔκαμαν εἰς ἡμᾶς τοὺς δυστυχεῖς καὶ σκλαβωμένους· εἰς δὲ τοὺς ὑπερηφάνους ἄμποτε νὰ ἀντιστραφῇ ἡ καταφρόνησις καὶ ἀτιμία, ὁποῦ μᾶς ἐπρόσφεραν εἰς ἡμᾶς τοὺς τεταπεινωμένους. ἵνα μὴ διὰ τῆς εὐτυχίας καὶ ὑπερηφανίας των, καταφρονῶσι τοὺς δυστυχεῖς καὶ ταπεινούς. ἁρμόζει δὲ ὁ ψαλμὸς οὗτος καὶ εἰς ὅλους τοὺς Χριστιανοὺς, οἵτινες περιπατοῦν τὸν δρόμον, ὁποῦ φέρει εἰς τὴν ἄνω Ἱερουσαλὴμ, καὶ ἐνοχλοῦνται ἀπὸ τοὺς ὁρατοὺς καὶ ἀοράτους ἐχθρούς. (4)

ΨΑΛ.

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Ἕως οὗ οἰκτειρήσαι ἡμᾶς· οὐκ εἶπεν, ἕως ἂν ἀποδῷ τὸν μισθὸν, οὐδὲ ἕως ἂν ἀποδῷ τὴν ἀμοιβὴν· ἀλλ' ἕως ἂν ἐλεήσῃ· καὶ σὺ τοίνυν παράμενε διηνεκῶς ἄνθρωπε· ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς, μὴ ἀποστῇς, καὶ πάντα λήψῃ· οὐχ ὁρᾷς, πῶς αἱ παιδίσκαι τῶν κυρίων ἐκκρέμανται; οὐ διάνοιαν, οὐκ ὄμμα ἀφιεῖσαι ἔξω πλανᾶσθαι; οὕτω καὶ σὺ ποίει· ἕπου τῷ Θεῷ μόνον, καὶ πάντα ἀφεὶς τὰ ἄλλα, τῶν ἐκείνου γίνου· καὶ λήψῃ πάντως, ἅπερ ἂν αἰτῇς συμφερόντως.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Εἶδες συντετριμμένην διάνοιαν; ἀπὸ ἐλέους σωθῆναι ἀξιοῦσι· καὶ οὐδὲ ἀπὸ ἐλέους κατὰ τὴν ἀξίαν, ἀλλ' ὅτι, φησι, πολλὴν ἴδομεν δίκην, καὶ τὴν ἐσχάτην ὑπεμείναμεν τραγῳδίαν· διὰ δὴ ταῦτα, ἄνες ἡμῖν καὶ ἐλέησον. Σημείωσαι, ὅτι τὸ ῥητὸν τοῦτο τοῦ Δαβὶδ ἀναφέρει ἐν μέρει καὶ ὁ Προφήτης Ἡσαΐας λέγων· „ Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν (Ἡσ. Λόγ. 2.) ὅθεν καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἐκ μὲν τοῦ ῥητοῦ τοῦ Δαβὶδ, συνήρμοσε τὸ τροπάριον ἐκεῖνο, ὅπερ ψάλλει ἐν ταῖς παρακλήσεσι, τὸ λέγον· „ Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες· ἐκ δὲ τοῦ ῥητοῦ τοῦ Ἡσαΐου, συνήρμοσε τὸ ἄλλο τροπάριον τὸ λέγον· „ Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν·

(3) Ὅθεν ὁ Χρυσορρήμων· „ Καὶ αὐτὴ, φησιν, ἐξελύθη ἡμῶν ἡ ψυχή· ἐταράχθη τῷ μεγέθει τῶν κακῶν· ἔστι γὰρ πολλὰ πάσχειν δεινὰ, φέρειν δὲ γενναίως· ἡμεῖς δὲ, καὶ τοῦτο ἀπωλέσαμεν· ἐπειδὴ γὰρ δεόντως ταῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοὺς ὁ Θεὸς διορθοῦται· τοῦτο πανταχοῦ ποιῶν· οὕτω δὴ καὶ τὸν Ἀδὰμ, ἐπειδὴ τῇ οἰκήσει τοῦ Παραδείσου οὐκ ἐχρήσατο πρὸς τὸ συμφέρον, τῇ ἐκβολῇ αὐτὸν διώρθωσε.

(4) Ὁ δὲ Σύμμαχος εἶπεν· „ Ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν τοῦ μυκτηρισμοῦ τῶν ἐξουθενούντων, καὶ τοῦ ὀνειδισμοῦ τῶν ὑπερηφάνων· ὥστε κατὰ τοῦτον, νόημα τοιοῦτον ἔχει ὁ στίχος οὗτος· ὅτι ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τῶν ὑπερη-

ΨΑΛΜΟΣ. ΡΚΓ.

„ Ὠδὴ τῶν Ἀναβαθμῶν. (1)

1 : „ Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰ-
„ πάτω δὴ Ἰσραήλ.
2 : „ Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ
„ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς.
3 : „ Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.

Ταῦτα τὰ λόγια λέγονται παρὰ τῶν Ἰουδαίων, ὅταν ἐγύρισαν εἰς τὴν πατρίδα των τὰ Ἱεροσόλυμα. διατὶ εὐχαριστοῦντες τὸν ἅγιον Θεὸν, παραγγέλλουν εἰς τὸν λαὸν νὰ λέγουν, ὅτι ὅταν ἡμεῖς ἐγυρίσαμεν εἰς τὰ Ἱεροσόλυμα καὶ ἐσυκώθησαν κατ' ἐπάνωμας τὰ πλησιόχωρα Ἔθνη, πρὸ τοῦ ἀκόμι νὰ τειχογυρισθῇ ἡ Ἱερουσαλὴμ. καὶ βέβαια, ἂν ὁ Κύριος δὲν ἦτον μαζὶ μὲ ἡμᾶς βοηθὸς, δὲν ἠθέλαμεν λυτρωθῶμεν ἀπὸ τὰς χεῖρας των. ἀλλὰ ἔμελλον νὰ καταπίουν ἡμᾶς ζωντανοὺς τὰ τοιαῦτα πλησιόχωρα Ἔθνη, ὑπὸ τοῦ φθόνου παρακινούμενα. φανερώνει δὲ ὁ λόγος τοῦ, νὰ μᾶς καταπίουν ζωντανοὺς, τὴν ὀγληγορότητα τῆς πανωλεθρίας καὶ τοῦ ἀφανισμοῦ τῶν Ἰουδαίων. μερικοὶ δὲ λέγουν, ὅτι τὸ, ὅτι ἐδῶ, εἶναι περιττόν. (2)

„ Ἐν

περηφάνων καὶ ἀλαζόνων Βαβυλωνίων, ἐπιχαθαζόντων ἡμῖν καὶ ἐπικερτομούντων· κατὰ δὲ τοὺς Ἑβδομήκοντα ἕτερον νόημα ἔχει, ὡς λέγει ὁ Θεοδώριτος: ἤτοι ἀντίστρεψον τὰ πράγματα Δέσποτα, καὶ τοῖς ἀλαζονευομένοις νῦν, δι' ἣν περίκεινται εὐκληρίαν, τὰς ἡμετέρας ἐπάγαγε συμφορὰς· ὡς καὶ ὁ κῦρος Εὐθύμιος τὸν στίχον ἡρμήνευσεν· „ Οὐδὲν γὰρ ὑπερηφανίας χεῖρον, κατὰ τὸν Χρυσοῤῥήμονα· διὰ τοῦτο πειρασμοὶ καὶ θλίψεις καὶ σῶμα θνητὸν, καὶ αἱ πολλαὶ τῶν πραγμάτων περιστάσεις· διὰ τοῦτο πάθη καὶ νοσήματα· ἵνα μυρίοι χαλινοὶ περικέωνται τῇ ψυχῇ, ῥαδίως ἐπαιρομένῃ, καὶ πρὸς ὄγκον ὑψουμένῃ· ὁ δὲ Ἀνώνυμος λέγει· „ Τὸ ὀνειδίζειν ἐστὶν, ἐν τοῖς εὐθηνοῦσι κατὰ τὰ κοσμικά· τὸ δὲ ἐξουθενεῖν, ἐν τοῖς ὑπερηφάνοις· ὡς τῷ Φαρισαίῳ ἐξουθενοῦντι τὸν Τελώνην.

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ὅτι μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ἅπαντες οἱ πλησιόχωροι δυσχεραίνοντες τὴν τῶν Ἰουδαίων ἐλευθερίαν, κοινῇ τὸν πρὸς αὐτοὺς ἀνεδέξαντο πόλεμον, καὶ βάρβαρα Ἔθνη συναγαγόντες, κατὰ ταυτὸν αὐτοῖς ἐπεστράτευσαν.

(2) Ὁ μὲν Εὐσέβιος λέγει· „ Ὅτι οἱ Γέροντες ἐκεῖνοι, ὁποῦ ἦτον ἀκόμη ζωντανοὶ μετὰ τὴν ἐλευθερίαν, ἐδίδασκον τοὺς ἐν Βαβυλῶνι γεννηθέντας νέους νὰ λέγουν τὰ λόγια ταῦτα. ὁ δὲ Ὠριγένης λέγει· „ Ὅτι εἰκὸς ἐστι τῶν ἱερέων τινὰ ἐσώτατα ἐπί τινος τῶν ἀναβαθμῶν, λέγειν ἐλθόντι τῷ λαῷ ἐπὶ τὸν ναὸν ἔξωθεν τοιοῦτόν τι· „ Εἰπάτω δὴ Ἰσραὴλ εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν· εἶτα ποιοῦντα τὸ προσταχθὲν τὸν Ἰσραὴλ, ἄρχεσθαι ἀπὸ τοῦ, εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν. ὁ δὲ Χρυσόστομος λέγει· „ Ὅτι ὁ Δαβὶδ καθάπερ χοροστάτης ἄριστος τὰ αὐτὰ συνεχῶς αὐτοῖς παρακελεύεται λέγειν· μετὰ γὰρ τὸ πρῶτος εἰπεῖν, κἀκείνοις παρεγγυᾷ, ὥσπερ μαθηταῖς διδάσκαλος

„ Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐ-
„ τῶν ἐφ' ἡμᾶς.

4 : „ Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡ-
„ μᾶς.

Ὕδωρ ὀνομάζει τὴν ὁρμὴν καὶ τὴν δυνατὴν κίνησιν τῶν πλησιοχώρων Ἐθνῶν τῆς Ἱερουσαλὴμ. ὅταν, λέγει, ὠργίσθησαν τὰ πλησιόχωρα Ἔθνη, διατὶ ἡμεῖς ἀπολαύσαμεν πάλιν τὴν πατρίδα μας Ἱερουσαλὴμ, ἀληθῶς (τοῦτο γὰρ δηλοῖ τὸ ἄρα) ἤθελε καταποντίσῃ ἡμᾶς ὡσὰν ὕδωρ ἡ ὁρμὴ τῶν τοιούτων, ἐὰν ὁ Θεὸς δὲν ἦτον βοηθός μας. ἢ τὸ ἄρα νοεῖται συλλογιστικὸν, ἀντὶ τοῦ λοιπόν.

„ Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡ-
„ μῶν.

Χείμαρον: ἤγουν ποταμὸν χειμῶνος ὀνομάζουν οἱ Ἑβραῖοι ἐδῶ, τὴν ὀγλίγορον καὶ ἄτακτον κίνησιν τῶν πλησιοχώρων Ἐθνῶν, ἥτις παρασύρει ὅ,τι ἤθελεν εὕρῃ ἔμπροσθεν, καὶ τὴν προσωρινὴν φθορὰν αὐτῶν, καθὼς καὶ ἀνωτέρω ὕδωρ αὐτὴν ὠνόμασε. διῆλθε δὲ ἡ ψυχὴ ἡμῶν, ἀντὶ τοῦ διεπέρασε καὶ ἐλυτρώθη ἀπὸ τὴν ῥηθεῖσαν ἄτακτον ὁρμὴν τῶν πλησιοχώρων Ἐθνῶν ἡ ψυχή μας: ἤτοι ἡμεῖς κατὰ περίφρασιν ἀπὸ μέρους τὸ ὅλον. (1)

5 : „ Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ
„ τὸ ἀνυπόστατον.

Ἡ ψυχὴ ἡμῶν, λέγει: ἤτοι ἡμεῖς, διήλθομεν καὶ διεπεράσαμεν ἀληθῶς (τοῦτο γὰρ δηλοῖ ἐδῶ τὸ ἄρα) τὴν ἀνυπόφορον ὁρμὴν τῶν πλησιοχώρων Ἐθνῶν, καὶ ἐν ἀσφαλείᾳ κατεστάθημεν, μὲ τὸ νὰ εἶναι ὁ Κύριος εἰς ἡμᾶς βοηθός. (2)

6 : „ Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν
„ ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐ-
„ τῶν.

Μέ

λος λέγων· εἰπάτω δὴ Ἰσραὴλ, εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τάδε ἂν ἐπάθομεν· ἐγὼ δὲ, ὅπερ συνεχῶς εἶπον, τοῦτο καὶ νῦν ἐρῶ· ὅτι μέγας τῆς αἰχμαλωσίας ὁ καρπός· οἱ γὰρ πρὸς Εἴδωλα τρέχοντες, καὶ τοῦ Θεοῦ καταφρονοῦντες, ἄκουσον τί λέγουσι νῦν· καὶ πῶς τὴν ἑαυτῶν σωτηρίαν ἀνατιθέασι τῷ Θεῷ· καὶ ὡς νικοποιῷ ἐπινίκιον καὶ εὐχαριστήριον ᾠδὴν ᾄδουσι· τοῦτο καὶ ἡμεῖς νῦν λέγωμεν· εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς οἱ ἀλιτήριοι Δαίμονες· τί γὰρ οὐκ ἂν ἐποίησεν ὁ ἐχθρὸς ἡμῶν Διάβολος; ὁ πολλάκις καὶ τοὺς Ἀποστόλους σινιάσαι ζητήσας; πονηρὸν γὰρ καὶ ἀκόρεστον τὸ θηρίον· καὶ εἰμὴ συνεχῶς ἐχαλινοῦτο, τὰ πάντα ἂν ἀνέτρεψε καὶ συνέχεε. λέγει δὲ καὶ ὁ Εὐσέβιος· „ Ὅτι ὁ μὲν πρὸ τοῦ πειρασμοῦ νεκρὸς ὢν δι' ἁμαρτίας, εἰς βυθὸν κακῶν χωρήσας, κατὰ τοὺς τῶν διωγμῶν καιροὺς νεκρὸς ὢν κατεπόθη· ὁ δὲ πρὸ τούτου ζῶν κατὰ Θεὸν, ἔπειτα ἐν καιροῖς διωγμῶν ἐξομοσάμενος, καὶ εἰς παντελῆ χωρήσας ἀποστασίαν, ζῶν κατεπόθη· τοῦτο δὲ οὐδέποτε πείσεται ὁ ἀληθινὸς Ἰσραὴλ, ἔχων ἐν ἑαυτῷ τὸν Κύριον διὰ καθαρότητα ψυχῆς. ὁ δὲ Θεοδώριτος, τὸ ἄρα ζῶντας ἂν κατέπιον, ἑρμηνεύει· ὅτι οὐκ ἂν οὐδὲ ταφῆς ἠξιώθημεν· ἀλλὰ καθάπερ ὑπὸ θηρίων ζῶντες ἂν κατεπόθημεν.

(1) Ὅθεν ὁ Θεοδώριτός φησι· „ Καθάπερ ὁ χειμάῤῥους ἐκ πολλῶν ἀθροιζόμενος ὀχετῶν, σφοδρότερος γίνεται· ἀλλ' οὐ διαρκεῖ· οὕτως οἱ τηνικαῦτα τῇ Ἱερουσαλὴμ προσβαλόντες, ἐκ πολλῶν καὶ διαφόρων Ἐθνῶν ἠθροίσθησαν· ἀλλὰ κατελύθησαν ψήφῳ δικαίᾳ· τοῦτο γὰρ ὁ Προφήτης διδάσκει λέγων· ὡς εἰμὴ σφοδροτέρα ὤφθη τοῦ Θεοῦ ἡ βοήθεια, οὐδὲν ἐκώλυεν ἡμᾶς παρασυρῆναι καὶ ἀπολέσθαι. λέγει δὲ ὁ Χρυσορρήμων· „ Μὴ τοίνυν καταπέσωμεν, ὅταν ἐπίῃ τὰ δεινά· χείμαῤῥός ἐστιν, οἷα ἂν ᾖ· νέφος ἐστὶ παρατρέχον· ὅπερ ἂν εἴπῃς λυπηρὸν, ἔχει τέλος· ὅπερ ἂν εἴπῃς δεινὸν, πρὸς πέρας ἀπαντᾷ· εἰ γὰρ μὴ τέλος εἶχεν, οὐκ ἂν ἤρκεσεν ἡ φύσις· ἀλλὰ πολλοὺς παρασύρει, φησίν· ἀλλ' οὐ παρὰ τὴν οἰκείαν ῥύμην· ἀλλὰ παρὰ τοὺς ῥᾳθύμους καὶ ῥᾳδίως ὑποσκελιζομένους· ὁ χειμάῤῥους μέχρι καιροῦ φοβερός ἐστι, καὶ πάλιν ἀμέτρως ταπεινοῦται ἀθρόως ἐκλείπων.

(2) Λέγει δὲ ὁ θεῖος Κύριλλος· „ Ὕδωρ ἀνυπόστατόν εἰσιν οἱ τῶν πειρασμῶν ἀφορητότεροι, καὶ ἀπρόβλητον ἔχοντες

Μὲ τὰ ὀδόντια φανερώνουν οἱ Ἰουδαῖοι τὴν θηριότητα καὶ δύναμιν τῶν πλησιοχώρων Ἐθνῶν, τὰ ὁποῖα ἐπεθύμουν νὰ καταπίουν αὐτοὺς σχεδὸν ζωντανούς. καθὼς τὰ ἄγρια θηρία κατατρώγουν ζωντανοὺς τοὺς ἀνθρώπους. (1)

7: „ Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύ-
„ σθη ἐκ τῆς παγίδος τῶν θηρευόν-
„ των· ἡ παγὶς συνετρίβη, καὶ ἡ-
„ μεῖς ἐῤῥύσθημεν.

Καθὼς μὲ τὰ ἀνωτέρω λόγια ἐρμήνευσεν ὁ Δαβὶδ τὴν δύναμιν καὶ θηριότητα καὶ τὸν ἄγριον θυμὸν τῶν πλησιοχώρων Ἐθνῶν, ὁποῦ ἐπολέμουν τοὺς Ἰουδαίους. ἔτζι μὲ τὰ λόγια ταῦτα ἐδῶ φανερώνει ἐκ τοῦ ἐναντίου τὴν ἀδυναμίαν καὶ ἀσθένειαν τῶν Ἰουδαίων, κατὰ τὸν Χρυσόστομον. καθὼς γὰρ τὸ μικρὸν πουλάκι εἶναι ἀδύνατον καὶ εὐκολοπίαστον ἀπὸ τοὺς κυνηγούς· ἔτζι καὶ οἱ Ἰουδαῖοι ἦτον ἀδύνατοι καὶ εὐκολοπίαστοι ἀπὸ τοὺς ἐχθρούς, ὅταν ἐγύρισαν εἰς τὴν πατρίδα των Ἰερουσαλὴμ. παγίδα δὲ λέγει τὰς ἐνέδρας καὶ μηχανάς, ὁποῦ ἐκατασκεύαζον κατὰ τῶν Ἰουδαίων τὰ Ἔθνη, αἱ ὁποῖαι μὲ τὸ νὰ ἐσυντρίφθησαν καὶ διελύθησαν, διὰ τοῦτο ἐλυτρώθησαν ἀβλαβεῖς ἀπὸ αὐτὰς οἱ Ἑβραῖοι. (2)

8: „ Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου,
„ τοῦ

τες τὴν καταδρομήν· ἀλλ' οἱ καταξιωθέντες ἀβλαβῶς διαβῆναι τοῦ Διαβόλου τοὺς πειρασμούς, οἷόν τινας ποταμοὺς ἐπικλύζοντας, ἐπ' αὐτῷ δὴ τούτῳ λέγοιεν ἂν χαίροντες τό, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν. ϗ ὁ Νύσσης φησίν· „ Εἰ γὰρ ϗ ἔστιν ἀνυπόστατον, ϗ ταῖς ἡμετέραις διανοίαις ἀνανταγώνιστον τῆς διαβολικῆς ἐπηρείας τὸ ὕδωρ: τουτέστιν ὁ διὰ παθῶν ἐπικλυσμός· ἀλλ' ἐν Χριστῷ δυνησόμεθα· παρελευσόμεθα γὰρ οἷά τινα χείμαῤῥον τῆς ἐκείνου δυστροπίας τὴν ἔφοδον· ἐπειδὴ τοίνυν παντοίαις ταραχαῖς ϗ ἀνωμαλίαις πλημμυρῶν ὁ ἀνθρώπινος βίος, ἀεὶ φέρεται κατὰ τοῦ πρανοῦς· διὰ τοῦτο λυσιτελὲς ἂν εἴη πόῤῥω τοῦ τοιούτου ῥεύματος ἑαυτοὺς ἀνέχειν. ὡς ἂν μὴ ὑπὸ τῶν ἀστάτων περιεχόμενοι, τῶν ἀεὶ ἑστώτων κατολιγωρήσωμεν. Ἄλλος δὲ λέγει· „ Ἀνυπόστατον ὕδωρ, οὐκ ἂν δύναιτό τις ὑποστῆναι χωρὶς Χριστοῦ· ἡ δὲ κακία ὕδωρ ἐστὶν ἀνυπόστατον, διὰ τὸ μὴ εἶναι αὐτῆς οὐσίαν ϗ ἰδίαν ὑπόστασιν: συμβεβηκὸς γὰρ οὖσα, ἐν τοῖς ἐνεργοῦσιν ὑφίσταται, καθ' ἑαυτὴν ὕπαρξιν μὴ ἔχουσα. ὁ δὲ Στηθάτης Νικήτας, ὕδωρ ἀνυπόστατον τὴν ἔμπρακτον ἁμαρτίαν ἐνόησε, ϗ τὰς συκοφαντίας ϗ διαβολὰς κατὰ τῶν ἀναιτίων: ϗ ἀνυπόστατον γὰρ κακὸν: ἤτοι ἀφόρητον ἡ συκοφαντία· ὅθεν παρακαλεῖ ὁ Δαβὶδ λέγων· „ Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, ϗ φυλάξω τὰς ἐντολάς σου. ὁ δὲ Ὠριγένης· „ Ἀνυπόστατόν ἐστι: τουτέστιν οὐκ ἔστι δυνατὸν ὑποστῆναι· ἄνθρωπος γὰρ πῶς δύναται ὑποστῆναι τοσοῦτον Διάβολον.

(1) Ὁ δὲ Χρυσόστομος λέγει· „ Εἶδες πῶς ϗ τὴν οἰκείαν ἀσθένειαν παρίστησι, ϗ τὴν ἐκείνων ἰσχύν; οἱ μὲν γὰρ ὡς θηρία ϗ λέοντες ἐπήεσαν, αὐτῶν ἕτοιμοι τῶν σαρκῶν ἀπογεύσασθαι· τῇ δυνάμει ϗ τῷ θυμῷ καθωπλισμένοι, οἱ δὲ στρουθίου παντὸς ἀσθενέστερον διέκειντο· τότε γὰρ μάλιστα διαδείκνυται τοῦ Θεοῦ τὰ θαύματα, ὅτε οἱ ἀσθενεῖς τῶν δυνατῶν κρατοῦσι.

(2) Ὁ δὲ ὅσιος Νικήτας ὁ Στηθάτης, στρουθίον ἐννοεῖ τὴν ψυχὴν ἑκάστου ἁγίου· ἥτις κατὰ τὸ στρουθίον κούφη ἐστὶ ϗ ὑπόπτερος ϗ ὀξυτάτη εἰς τὸ ἵπτασθαι, ϗ ὅταν ἴδῃ τὸν δόλον ϗ τὴν παγίδα τῶν θηρευτῶν ἀνθρώπων τε ϗ Δαιμόνων, ἀφίπταται· οὐ τοιαύτη δὲ ἐστὶ ϗ τοῦ ἁμαρτωλοῦ ἡ ψυχή, παχυνθεῖσα τῷ βάρει τῶν ἁμαρτιῶν ϗ οὐ δυναμένη πετασθῆναι· ὅθεν εὐάλωτος ὑπὸ τὴν παγίδα τοῦ Διαβόλου γίνεται· παγὶς δὲ τοῦ Διαβόλου ἡ ἔμπρακτος ἁμαρτία· κατὰ δὲ τὸν συνώνυμον αὐτοῦ Νικήταν ἐν τῇ Σειρᾷ· „ Βρῶμα γίνεται ϗ θήρα τοῖς ὀδοῦσι τῶν ἀσεβῶν, ὁ τοῖς λόγοις αὐτῶν ἁλισκόμενος· ὅπερ ὁ μὴ παθών, ἔχων ἐν ἑαυτῷ τὸν Κύριον Ἰσραήλ, εὐχαριστεῖ· παγίδες δ' ἂν εἶεν αἱ κολακεῖαι ϗ χρηστότεραι ἐπαγγελίαι τῶν πειραζόντων· εἴτε ἀπατητικοὶ λόγοι, ϗ πλοῦτος, ϗ τέκνα, ϗ γυνή, ϗ οὐσίαι, ϗ ἀξιώματα· ὧν ἁπάντων ἀνώτερος γινόμενος ὁ τοῦ Θεοῦ ἄνθρωπος, εὐχαριστεῖ τῷ ταύτας συντρίψαντι, αὐτὸν δὲ ῥυσαμένῳ Θεῷ· ὁμολογῶν, ὅτι μὴ οἰκείᾳ δυνάμει ἐκπέφευγε τοὺς τοσούτους, ἀλλὰ τῇ βοηθείᾳ τοῦ ποιήσαντος τὸν οὐρανὸν ϗ τὴν γῆν Θεοῦ. Καὶ ὁ Χρυσόστομος· „ Ἐῤῥύσθημεν τῆς τῶν θηρευόντων παγίδος Δαιμόνων, Χριστοῦ συντρίψαντος τὸν Διάβολον· πόθεν οὖν νικᾷ πολλάκις; ἀπὸ τῆς ῥαθυμίας τῶν καθευδόντων· τίς γὰρ οὐκ ἂν κρατήσειε τοῦ καθεύδοντος, κἂν ἁπάντων ἀσθενέστερος ᾖ; τίνος οὖν ἕνεκεν αὐτὸν φοβῇ; οὐκ ἐννοεῖς οἷον ἔχεις βοηθόν; οὐδὲ γὰρ μόνον ὁ ἐχθρὸς γέγονεν ἀσθενέστερος, ἀλλὰ ϗ ἡ βοήθειά σου μείζων. λέγει δὲ ϗ ὁ Ἀνώνυμος: „ Ὁσάκις ἐπὶ τὸ ἁμαρτάνειν ἐρεθιζόμενοι νικήσωμεν, τοσαυτάκις ἡ παγὶς συνετρίβη ϗ ἡμεῖς ἐῤῥύσθημεν.

„ τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν „ γῆν.

Ἡ βοήθεια, λέγει, ἡμῶν τῶν λυτρωθέντων Ἰουδαίων ἀπὸ τὰς ἐπιβουλὰς τῶν πλησιοχώρων Ἐθνῶν, δὲν ἔγινε μὲ χαρίζας καὶ ἄλογα πολεμικὰ καὶ μὲ ἄλλην δύναμιν στρατευμάτων, ἀλλὰ μὲ τὸ ὄνομα μόνον τοῦ ἀληθινοῦ Θεοῦ μὲ τὸ νὰ ὀνομάζωμεν δηλαδὴ καὶ ἐπικαλούμεθα ἡμεῖς αὐτὸν μετὰ πίστεως. Τὸ, ἐν τῷ ὀνόματι Κυρίου, νοεῖται ἀντὶ τοῦ, ἐν τῷ Κυρίῳ κατὰ περίφρασιν. ταῦτα τὸ ἴδιον εἶπε καὶ ἐν τῷ ιθ΄ ψαλμῷ. „ οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις. ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. ἁρμόζει δὲ ὁ ψαλμὸς οὗτος καὶ εἰς ὅλους τοὺς Χριστιανούς, ὁποῦ λυτρωθοῦν ἀπὸ πειρασμοὺς μὲ τὴν θείαν Πρόνοιαν καὶ βοήθειαν. (1)

ΨΑΛΜΟΣ ΡΚΔ΄.

Ὠδὴ τῶν Ἀναβαθμῶν.

1 : „ Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄ„ ρος Σιών.

Τὰ λόγια τοῦ παρόντος Ψαλμοῦ εἶναι ἀκόλουθα μὲ τὰ λόγια τοῦ προτέρου, διατὶ καὶ αὐτὰ εἶναι εὐχαριστήρια καὶ ἐπινίκια διὰ τὴν νίκην, ὁποῦ ἐποίησαν, καὶ διὰ τὴν ἐλευθερίαν, ὁποῦ ἔλαβον οἱ Ἑβραῖοι ἀπὸ τὰ πολεμοῦντα Ἔθνη αὐτούς, καθὼς, λέγει, τὸ βουνὸν τῆς Σιὼν εἶναι ἀσάλευτον καὶ ἀχρήμνιστον. οὕτως εἶναι ἀσάλευτοι καὶ ἀσφαλεῖς καὶ ἐκεῖνοι, ὁποῦ ἐλπίζουν εἰς τὸν Κύριον. (2)

Οὐ

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „Ὁρᾷς οἷον ἔχεις στρατηγόν; οἷον βασιλέα; τὸν τοῦ δὲ τοῦ παντὸς Δημιουργὸν λόγῳ τοσαῦτα σώματα παρενεγκόντα; λοιπὸν μὴ καταπέσῃς· ἀλλὰ στῆθι γενναίως· νῆφε· ἀγωνίζου· μὴ κάθευδε· ἀπόσμηξον τὰ ὅπλα, καὶ τὴν προθυμίαν νεύρωσον· βάλλε διηνεκῶς τὸν πολέμιον· τῷ γὰρ Σταυρῷ συνέτριψεν ὁ Χριστὸς πάσας αὐτοῦ τὰς παγίδας· ἐδέθη ὁ ἰσχυρός· τὰ σκεύη αὐτοῦ διηρπάγη· ἡ δύναμις αὐτοῦ κατελύθη· τίνος ἕνεκεν αὐτὸν φοβῇ; πόθεν τρέμεις εἰπέ μοι; πατεῖν ἐκελεύσθης τὸν ἐκνευρισμένον· πόθεν οὖν νικᾷ πολλάκις; ἀπὸ νωθείας τῆς ἡμετέρας· ὥστε εἰ βουληθείης ἐναντίον στῆναι, οὐ τολμᾷ παρατάξασθαι· εἰ δὲ καθεύδοντος περιγίνεται, τοῦτο οὐ τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς σῆς ὀλιγωρίας· ὥστε ἀναπολόγητός σοι ἡ ἧττα.

(2) Ὁ δὲ Χρυσόστομος λέγει· „ Τί βούλεται τοῦ Σιὼν ἡ προσθήκη; διατὶ γὰρ οὐκ εἶπεν ἁπλῶς ὡς ὄρος, ἀλλ' ἐκείνου τοῦ ὄρους ἐμνημόνευσε; παιδεύων μὴ ταπεινοῦσθαι ἐν ταῖς συμφοραῖς, μηδὲ καταποντίζεσθαι· ἀλλὰ τῆς εἰς Θεὸν ἐλπίδος ἐκκρεμαμένους, πάντα φέρειν γενναίως· ἐπεὶ καὶ τὸ ὄρος τοῦτο γενόμενον ἔρημον καὶ γυμνὸν, ἐπὶ τὴν προτέραν πάλιν ἐπανῆλθεν εὐημερίαν. λέγει δὲ καὶ ὁ Βασίλειος· „ Ὁ γενναῖος ἀνὴρ, κἂν μυρία πάθῃ

δει-

„ Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ
„ κατοικῶν Ἱερουσαλήμ.

Δὲν θέλουν, λέγει, μετακινηθοῦν εἰς ὅλον τὸν αἰῶνα τὸν διωρισμένον δηλαδὴ ὑπὸ τοῦ Κυρίου, ἐκεῖνοι ὁποῦ κατοικοῦν εἰς τὴν Ἱερουσαλήμ. κυρίως δὲ ὁ σίχος οὗτος ἐννοεῖται διὰ ἐκείνους, ὁποῦ κατοικοῦν εἰς τὴν ἄνω Ἱερουσαλήμ· ἐκεῖνοι γὰρ τῆς μακαριότητος ἀπολαύσαντες, δὲν θέλουν σαλευθοῦν πώποτε. (1)

2 „ Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος
„ κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν
„ καὶ ἕως τοῦ αἰῶνος.

Ἡ κατὰ γ' λέγει, καὶ αἰσθητὴ Ἱερουσαλήμ, ἔχει μὲν καὶ τὴν περιφύλαξιν καὶ ἀσφάλειαν ἀπὸ τὰ βουνά, ὁποῦ εὑρίσκονται τριγύρω εἰς αὐτήν, ἔχει δὲ καὶ τὴν ἀπὸ τοῦ Κυρίου φύλαξιν καὶ βοήθειαν, μάλιστα δὲ καὶ ἐξαιρέτως ταύτην ἔχει ἀληθῆ φύλαξιν, κατὰ τὸν Χρυσόστομον. διὰ τοῦτο καὶ ἐκεῖνοι ὁποῦ κατοικοῦν τὴν Ἱερουσαλήμ, δὲν θέλουν σαλευθοῦν ἕως τοῦ αἰῶνος: δηλαδὴ ἕως τοῦ αἰῶνος τοῦ ὁρισθέντος παρὰ Θεοῦ εἰς σωτηρίαν τῆς Ἱερουσαλήμ. (2)

3 „ Ὅτι οὐκ ἀφήσει Κύριον τὴν ῥάβδον
„ τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν
„ δικαίων.

Ἐδῶ, λέγει, ὁ Δαβὶδ τὴν αἰτίαν, διὰ τὴν [illegible]

[illegible] δεινά, οὐ περιτρέπεται· ὁ μὲν γὰρ ἁμαρτωλός, ὡς χοῦς ῥιπίζεται· ὁ δὲ δίκαιος, ὡς ὄρος Σιὼν οὐδέ ποτε σαλευθήσεται. προστίθησι δὲ ὁ Χρυσορρήμων καὶ ταῦτα· „ Καὶ γὰρ ὅσα ἂν ἀκοντίσῃς, ὄρος καταστρέψαι βουλόμενος, ἐκείνου μὲν οὐδέ ποτε περιέσῃ· πῶς γάρ; τὰ δὲ μηχανήματα καταλύσεις ἅπαντα, καὶ τὴν σαυτοῦ καταλύσεις ἰσχύν· τοιοῦτος καὶ ὁ δίκαιος· ὅσας ἂν δέξηται πληγάς, αὐτὸς μὲν οὐδὲν ἔπαθε δεινόν, τῶν δὲ ἐπιβουλευόντων καταλύει τὴν δύναμιν ἀνθρώπων τε καὶ Δαιμόνων· μὴ δὴ τὴν ἄνεσιν ζητῶμεν· μηδὲ τὸν τρυφῆς γέμοντα βίον· οὐ γὰρ ἀνδρὸς γενναίου, ἀλλὰ σκώληκος ἡ ἐπιθυμία· ἀλόγου μᾶλλον, ἢ λόγον ἔχοντος· ἀλλ' εὔχου μὲν μὴ ἐμπεσεῖν εἰς πειρασμόν· εἰ δὲ ποτὲ καὶ ἐμπέσῃς, μὴ δυσχέραινε, μηδὲ θορυβοῦ· ἀλλ' ὅπως γένοιο λαμπρότερος, ἅπαντα ποίει· οὐκ ἤκουσας τοῦ Προφήτου λέγοντος· „ Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών; δι' οὗ τὸ ἀπερίτρεπτον δηλοῦται τῆς εἰς Θεὸν ἀγάπης· ὄρους γὰρ ἀσφαλέστερον ἡ ἐλπὶς ἡ ἐπὶ Θεόν. καὶ ὁ Θεοδώριτος· „ Ὁ τῇ εἰς Θεὸν ἐλπίδι φραττόμενος, ὡς τὸ Σιὼν ὄρος ἀτρεμὴς μένει καὶ ἀκλόνητος, ἐπίσημός τε καὶ περίβλεπτος. ὁ δὲ Νικηφόρος ὁ Ξανθόπουλος λέγει, ὅτι τὸ ὄρος Σιὼν ἦτον στερεώτερον τῶν ἄλλων ὀρέων, καὶ διατὶ ἦτον περικυκλωμένον ἀπὸ ἄλλα ὄρη· καθὼς τὸ λέγει παρακάτω ὁ Δαβίδ· διὰ τοῦτο καὶ Εὔριζον αὐτὸ ἀλλαχοῦ ὀνομάζει· ἐπειδὴ αἱ ποδίαις αὐτοῦ δὲν ἐτελείωναν εἰς κάμπον ἰσόπεδον, ἀλλὰ εἰς ἄλλα βουνά· ὄρη γάρ, φησι, Σιὼν τὰ πλευρὰ τοῦ Βορρᾶ· καθὼς λοιπὸν τὸ ὄρος Σιὼν ἔχει κύκλῳ ἄλλα ὄρη, ἔτζι καὶ οἱ πεποιθότες ἐπὶ Κύριον ἔχουσι κύκλῳ τους τὸν Θεὸν φυλάττοντα αὐτούς· καὶ ὁ Κύριος, φησι, κύκλῳ τοῦ λαοῦ αὐτοῦ.

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Τί οὖν; οὐκ ἐσαλεύθησαν, καίτοι κατοικοῦντες τὴν Ἱερουσαλὴμ οἱ τρεῖς Παῖδες καὶ ὁ Δανιήλ; ἄπαγε! τῆς μὲν γὰρ πατρίδος ἐξέπεσον, καὶ αἰχμαλωσίαν ὑπέστησαν, σάλον δὲ οὐδένα οὐδέ ποτε· ἀλλ' ἐν τοσούτῳ θορύβῳ πραγμάτων, καὶ ἐν τοσούτῳ πλήθει κυμάτων, ὡς ἐπὶ πέτρας ἑστῶτες, καὶ ἐπὶ λιμένος ὁρμίζοντες γαληνοῦ, οὕτως οὐδὲν ἔπαθον ἀηδές· μὴ δὴ σάλον κάλει τὴν τῶν πραγμάτων περίστασιν· οὐ γὰρ τοῦτο σάλος· ἀλλ' ἡ τῆς ψυχῆς ἀπώλεια, καὶ τὸ τῆς ἀρετῆς ἐκπεσεῖν· ὅπερ ἐν τοῖς κινδύνοις οἱ νήφοντες οὐχ ὑπομένουσιν. ὁ δὲ Εὐσέβιός φησιν· „ Ὅτι ἡ μὲν Σιὼν ἀρχαία ἦν πόλις καὶ ὑποδεεστέρα· Ἱερουσαλὴμ δὲ ἡ βασιλεύουσα, ἐν ᾗ τὸ ἁγίασμα. ὁ δὲ Θεοδώριτος λέγει· „ Τὸν κατοικοῦντα τὴν Ἱερουσαλὴμ κατὰ τοὺς νόμους τῆς Ἱερουσαλὴμ πολιτεύεσθαι δεῖ· τοῖς γὰρ οὕτω κατοικοῦσι, καὶ τῷ σκοπῷ τοῦ νόμου πειθομένοις, τὸ βέβαιον ὁ Προφήτης ὑπέσχετο.

(2) Ὁ δὲ Ὠριγένης λέγει· „ Ὄρη κύκλῳ Ἱερουσαλὴμ δυνάμεις εἰσὶ θεῖαι εἰσί· παρεμβαλεῖ γὰρ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν· κύκλῳ δὲ τοῦ λαοῦ αὐτοῦ αὐτὸς ὁ Κύριος. ἕτερος οὖν ὁ λαὸς Κυρίου τῶν φοβουμένων τὸν Κύριον· ἄλλο γὰρ οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον· καὶ ἄλλο, οἱ φοβούμενοι τὸν Κύριον εὐλογήσατε τὸν Κύριον.

ὁποίαν θέλει φυλάξει ὁ Θεὸς τὴν Ἱερουσαλὴμ, καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας. ὁ Θεὸς λέγει, δὲν θέλει ἀφήσει τὴν ῥάβδον: ἤγουν τὴν βασιλείαν κατὰ τὸν Χρυσόστομον, καὶ δύναμιν τῶν ἁμαρτωλῶν: ἤτοι τῶν ἀσεβῶν καὶ πονηρῶν ἀνθρώπων. ὁποῖοι ἦτον καὶ τὰ πλησιόχωρα Ἔθνη τῆς Ἱερουσαλὴμ, νὰ βασιλεύῃ ἐπάνω εἰς τοὺς δικαίους τοὺς ἐν τῷ νόμῳ τοῦ Θεοῦ ζῶντας, οἵτινες εἶναι κλῆρος καὶ μερὶς τοῦ Θεοῦ. ἁμαρτωλοὶ δὲ λέγονται καὶ οἱ Δαίμονες, οἱ ὁποῖοι δὲν συγχωροῦνται παρὰ Θεοῦ νὰ πειράζουν μέχρι τέλους τοὺς δούλους του τοὺς Δικαίους. (1)

„Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι
„ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Δὲν ἀφίνει, λέγει, ὁ Θεὸς τοὺς ἁμαρτωλοὺς ἀνθρώπους καὶ Δαίμονας νὰ ἐνοχλοῦν μέχρι τέλους τοὺς δικαίους. ἵνα οἱ δίκαιοι, ἀπολαμβάνοντες τὴν παρὰ τοῦ Θεοῦ φύλαξιν καὶ βοήθειαν, δὲν ἐξαπλόνωσι τὰς χεῖράς των: ἤτοι δὲν πράττωσι τὰς ἀνομίας καὶ τὰ κακὰ ἔργα. ἀλλὰ θεραπεύουν πάντοτε καὶ δουλεύουν τὸν Θεὸν διὰ τῶν ἐναρέτων πράξεων. (2)

4: „Ἀγάθυνον Κύριε τοῖς ἀγαθοῖς καὶ
„τοῖς εὐθέσι τῇ καρδίᾳ.

Εἰς εὐχὴν ἔκλεισεν ὁ Προφήτης τὸν Ψαλμὸν τοῦτον καὶ λέγει: ἀγαθὰ ποίησον Κύριε. ἀγαθὰ δὸς εἰς τοὺς ἀγαθοὺς ἀνθρώπους. εἰς τοὺς ἔχοντας καρδίαν εὐθεῖαν καὶ ἴσην εἰς τοὺς ἀδόλους εἰς τοὺς ἀπονηρεύτους. (3).

5: „Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγ-
„γαλιὰς, ἀπάξει Κύριος μετὰ τῶν ἐρ-
„γαζομένων τὴν ἀνομίαν.

Ἐκείνους, λέγει, τοὺς ἀνθρώπους, ὁποῦ κλίνουν εἰς τὰ σκολιὰ καὶ στραβὰ πράγματα, καὶ εἰς τοὺς διεστραμμένους καὶ πονηροὺς λογισμούς, τούτους θέλει παραδώσει ὁ Κύριος εἰς τὴν κόλασιν. ἢ καὶ θέλει τοὺς ἀποστραφῇ ἐξίσου μὲ τοὺς παρανόμους. (4)

„ Εἰ-

(1) Ὁ δὲ Θεοδώριτος, ῥάβδον λέγει τὴν ὀργὴν καὶ τὴν μάστιγα τῶν ἐχθρῶν· ὅθεν ὁ Θεὸς τοὺς Ἀσσυρίους, ῥάβδον θυμοῦ διὰ Ἡσαΐου προηγόρευσεν· „Οὐαί, φησιν, Ἀσσυρίοις ἡ ῥάβδος τοῦ θυμοῦ μου· καὶ ὀργή ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν· τὴν ὀργήν μου εἰς Ἔθνος ἄνομον ἀποστελῶ· (Ἡσ. ι. 5.)

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „Εἶτα καὶ τὴν αἰτίαν διδάσκει, ἵνα μὴ κακίαν οἱ δίκαιοι μάθωσι: τουτέστιν, ἵνα μὴ νομίσαντες ἄτακτα εἶναι πάντα καὶ ἀκυβέρνητα, ῥέψωσιν ἐπὶ τὸ χεῖρον, καὶ τὴν ἐκεῖθεν ἑλκύσωσι βλάβην. καὶ ὁ Χρυσόστομος· „Πειρασμῷ σωφρονισθέντες οἱ δίκαιοι, τῇ τε χορηγίᾳ τῶν ἀγαθῶν γενόμενοι βελτίους, ἐν ἀρετῇ διατελέσουσι καὶ οὐχ ἅψονται πονηρίας, ἑκατέρωθεν παιδευόμενοι. ὁ δὲ ὅσιος Νικήτας ὁ συνθέτης, ῥάβδον ἁμαρτωλῶν ἐννοεῖ τὴν προσβολὴν τῆς ἁμαρτίας τὴν παρὰ τῶν Δαιμόνων φερομένην· ταύτην γὰρ οὐκ ἀφίησιν ὁ Θεὸς ἐγχρονίσαι τῇ καρδίᾳ τῶν δικαίων· ἐπειδὴ αὕτη δριμύτερον ῥάβδου καὶ μάστιγος αἰκίζει αὐτοὺς καὶ ἀθυμεῖν ἀπεργάζεται· καὶ ἵνα μή, ταύτης χρονιζούσης, ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν: ἤγουν πρὸς τὴν πρᾶξιν ἔλθωσι τοῦ κακοῦ, καὶ τὸν νοητὸν θάνατον πρὸς ἑαυτοὺς ἐπισπάσωνται. ὁ δὲ Ὠριγένης λέγει· „Χρησόμεθα τῷ ῥητῷ, ἐὰν ἐν διωγμῷ πολλοὶ τὸν Θεὸν ἀρνῶνται λέγοντες· ὅτι ἐπεὶ μὴ ἦσαν δίκαιοι οἱ ἀρνούμενοι, ἀφῆκε Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον αὐτῶν, ὅπως ἐκτείνωσιν ἐν ἀνομίᾳ χεῖρας αὐτῶν· ἀπὸ γὰρ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται.

(3) Λέγει δὲ ὁ Θεοδώριτος· „Ἤτοι οὐδὲν ἄδικον ὁ Προφήτης· ἀλλὰ τοὺς μὲν ἀγαθοὺς ἀγαθῶν ἀπολαῦσαι· τοὺς δὲ τὴν εὐθεῖαν καταλιπόντας ὁδὸν, καὶ στραγγαλιαῖς καὶ διαπλοκαῖς κεχρημένους, τὸ κατάλληλον τέλος εὑρεῖν. Καὶ ὁ Ὠριγένης· „Ἀγαθοί εἰσιν οἱ τὰ ἤθη κατορθώσαντες· εὐθεῖς δὲ καρδίᾳ, οἱ ὑγιῆ δόγματα ἔχοντες· ἀγαθύνει δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀγαθοῖς καὶ εὐθέσι Θεός.

(4) Τὰς στραγγαλιὰς ὁ μὲν Ἀκύλας διαπλοκὰς ἡρμήνευσε· σκολιότητας δὲ, ὁ Σύμμαχος· διεστραμμένα δὲ, ὁ

Θεο-

„ Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Ἄμποτε, λέγει, νὰ εἶναι εἰρήνη εἰς τὸν λαὸν τοῦ Ἰσραήλ. τοιαύτη μὲν εἶναι ἡ κατὰ τὴν Ἱστορίαν ἑρμηνεία τοῦ Ψαλμοῦ τούτου. ἁρμόζει δὲ οὕτος καὶ εἰς ἐκείνους τοὺς Χριστιανοὺς, ὁποῦ κατοικοῦν τὴν ὑψηλὴν καὶ ἀκαταμάχητον Ἐκκλησίαν τοῦ Χριστοῦ. τῆς ὁποίας κύκλῳ εἶναι περιτειχίζοντες αὐτὴν καὶ φυλάττοντες οἱ ὑψηλοὶ διδάσκαλοι. ἀλλὰ καὶ ὁ Χριστὸς εὑρίσκεται κύκλῳ εἰς τὸν Χριστιανικὸν λαόν του. (1).

ΨΑΛΜΟΣ ΡΚΕ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. (2)

1: „ Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰ„ χμαλωσίαν Σιὼν. ἐγεννήθημεν „ ὡσεὶ παρακεκλημένοι.

Καὶ οὗτος ὁ Ψαλμὸς εἶναι ἀκόλουθος μὲ τὸν πρότερον. καὶ ἐπιστροφὴν μὲν λέγει, τὴν εἰς τὴν πατρίδα Σιὼν ἀποκατάστασιν τῶν τέκνων της. ταῦτα γὰρ ἦτον ἡ τῆς Σιὼν αἰχμαλωσία. παράκλησιν δὲ λέγει, τὴν ἐλευθερίαν αὐτῶν καὶ παρηγορίαν. ὅταν, λέγει, ἡμεῖς οἱ Ἰουδαῖοι ἐγυρίσαμεν εἰς τὴν πατρίδα μας Σιὼν, τότε ἐγίναμεν πολλὰ παρηγορημένοι. τὸ γὰρ ὡσεὶ, ἐπιτατικὸν εἶναι, ἀντὶ τοῦ πολλὰ, κατὰ τὸν Θεοδώριτον. καθὼς εἶναι καὶ ἐκεῖνο „ ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ. (Ψαλ. ογ. α.) ἢ ἐγεννήθημεν, καθὼς γίνονται οἱ παρηγορημένοι: ἤτοι ἐγεννήθη-

Θεοδοτίων. λέγει δὲ ὁ Χρυσορρήμων· „ Ἡ ἀρετὴ λεία τε καὶ εὔκολος· ὥσπερ οὖν ἡ πονηρία διεστραμμένον, ποικίλον, καὶ ἀδιεξόδευτον· ὁ γοῦν βουλόμενος ψεύσασθαι, καὶ δόλους ῥάψαι, ἐννόησον, ὅσα ἐπιχειρεῖ! ὅσης δεῖται τῆς ποικιλίας! ποίων λόγων πεπλασμένων! πόσης δεινότητος! ὁ δὲ τὴν ἀλήθειαν λέγων, οὐ πόνου, οὐ δυσκολίας, οὐχ ὑποκρίσεως, οὐδενὸς δεῖται τῶν τοιούτων, αὐτῆς καθ' ἑαυτὴν ἐκείνης διαλαμπούσης· ὅθεν καὶ πρὸ τῆς κολάσεως ἡ κακία τὴν κόλασιν ἐπάγει, καὶ πρὸ τῆς ἀντιδόσεως ἡ ἀρετὴ τὴν ἀμοιβὴν δίδωσι.

(1) Εἶπε δὲ ὁ Χρυσορρήμων· „ Εἰς εὐχὴν τὸν λόγον κατέκλεισε· τοιαῦται γὰρ τῶν ἁγίων αἱ ψυχαί· μετὰ τῆς παραινέσεως καὶ τῆς συμβουλῆς τὴν εὐχὴν προστιθέασι, μεγίστην συμμαχίαν εἰσάγουσαι τοῖς ἀκούουσι.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ἅπαντας μὲν ὁ Κύριος βασιλεύσας, ἐπανελθεῖν Ἰουδαίους προσέταξε· μοχθηρὰν δὲ οἱ πλείους ἔχοντες γνώμην, καὶ εἰς ἅπαντα τοῖς θείοις ἀντιτείνοντες νόμοις, ἐπανελθεῖν οὐκ ἠθέλησαν· ὅσοι δὲ τῆς προγονικῆς εὐσεβείας ἐπεμελοῦντο, καὶ τῆς κατὰ νόμον λατρείας ἐπεθύμουν, ἀσπασίως ἐποιήσαντο τὴν ἄνοδον· οὗτοι τοίνυν ἐν τῷδε τῷ Ψαλμῷ τὴν οἰκείαν ἐλευθερίαν ὁρῶντες, γεγήθασιν· εὔχονται δὲ ταύτης καὶ τοὺς ὁμοφύλους τυχεῖν.

θημεν ἐν εὐθυμίᾳ καὶ χαρᾷ . (1)

2 : „ Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡ-
„ μῶν , καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιά-
„ σεως .

Ὅταν , λέγει , ἐγυρίσαμεν εἰς τὴν πατρίδαμας Ἰερουσαλὴμ , ἐγέμωσε τὸ σόμα μας ἀπὸ χαροποιὰ λόγια , τὰ ὁποῖα ἐφανέρωναν τὴν ἐσωτερικὴν χαρὰν τῆς ψυχῆς μας . καὶ ἡ γλῶσσα μας ἐγέμωσεν ἀπὸ ἀγαλλίασιν . πρελέγει δὲ ὁ Δαβὶδ τὰ μέλλοντα ὡς περασμένα , κατὰ τὸν νόμον τῆς προφητείας . (2)

„ Τότε ἐροῦσιν ἐν τοῖς Ἔθνεσιν „ . . .

Τότε , λέγει , ὅταν μᾶς ἰδοῦν οἱ ἐν τοῖς Ἔθνεσιν ἄνθρωποι : ἤτοι τὰ Ἔθνη , ὅτι ἐγυρίσαμεν εἰς τὴν πατρίδαμας καὶ κατασάθημεν , θέλουν θαυμάσουν τὴν παράδοξον ἀποκατάστασίν μας . καὶ θέλουν εἰποῦν τὰ ἀκόλουθα λόγια .

„ Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ'
„ αὐτῶν .

Οἱ Ἐθνικοὶ , λέγει , θέλουν εἰποῦν περὶ ἡμῶν τῶν Ἑβραίων . ὅτι μέγα ἔργον ἐποίησεν ὁ Θεὸς εἰς τοὺς Ἑβραίους , διατὶ ἔχαμεν ἔλεος εἰς αὐτοὺς ἔπειτα τρέπει τὸν λόγον καὶ εἰς τὸ πρόσωπον τῶν ταῦτα λεγόντων Ἑβραίων .

3 : „ Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ'
„ ἡμῶν .

Ἀληθῶς , λέγει , καθὼς εἶπον οἱ Ἐθνικοὶ , ἔτζι λέγομεν καὶ ἡμεῖς . ὅτι μέγα ἔργον ἐποίησεν ὁ

(1) Τετραπλῆ εἶναι ἡ αἰχμαλωσία κατὰ τὸν Χρυσοῤῥήμονα , καλὴ · κατὰ τό · „ Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ · κακὴ · ὡς ὅταν λέγῃ · „ Αἰχμαλωτίζοντες τὰ γυναικάρια · ἔστιν αἰσθητὴ · περὶ ἧς λέγει ἐδῶ ὁ Δαβὶδ · ἔστι καὶ νοητὴ , περὶ ἧς φησι · „ Κηρύξαι αἰχμαλώτοις ἄφεσιν · χαλεπωτέρα δὲ ἡ νοητὴ τῆς αἰσθητῆς · οἱ μὲν γὰρ νόμῳ πολέμου λαβόντες , καὶ φείδονται πολλάκις τῶν εἰλημμένων , καὶ εἰς τὴν ψυχὴν οὐδὲν παρέβλαψαν · ὁ δὲ ὑπὸ τῆς ἁμαρτίας ληφθεὶς αἰχμάλωτος , ἀφειδῆ καὶ βάρβαρον δέσποιναν κτᾶται , εἰς τὰ ἀτιμότατα αὐτὸν τῶν ἔργων καταφέρουσαν : οὐ γὰρ οἶδε φείδεσθαι , οὐδὲ ἐλεεῖν αὕτη ἡ τυραννίς · διὸ δὴ φεύγωμεν μετὰ πολλῆς τῆς σπουδῆς τὴν δεσποτείαν αὐτῆς , καὶ πολεμῶμεν , καὶ μηδέποτε καταλλαττώμεθα · καὶ ἐλευθερωθέντες , μένωμεν ἐπὶ τῆς ἐλευθερίας .

(2) Ὁ δὲ Θεοδώριτος λέγει · „ Εὐθὺς ὑπὸ τῆς εὐθυμίας διαχυθέντες , ἐκινήσαμεν εἰς ὑμνῳδίαν τὰς γλώσσας . τὴν γὰρ ἀγαλλίασιν , ὁ μὲν Ἀκύλας , αἴνεσιν . ὁ δὲ Σύμμαχος , εὐφημίαν ἡρμήνευσεν . ὁ δὲ Νικήτας ὁ Στηθάτης φησι · „ Καθάπερ ὁ λαὸς Ἰσραὴλ τῆς μακρᾶς ἐκείνης ἐλευθερωθεὶς αἰχμαλωσίας , εἴχετο μετ' εὐφροσύνης τῆς ἐπὶ τὴν πόλιν Ἰερουσαλὴμ ἐπανόδου · οὕτω καὶ ὁ πρότερον οὐ λαὸς , λαὸς δὲ κληθεὶς ἔσχατον τοῦ Θεοῦ · ὁ ἐξ Ἐθνῶν δηλαδὴ τῶν Χριστιανῶν · τῆς ἀσεβείας ἐλευθερωθεὶς τῶν Εἰδώλων , ἐπὶ τὴν ἐπουράνιον πόλιν Ἰερουσαλὴμ , καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἐπανῆλθεν · οὕτω καὶ ἡμῶν ἕκαστος τῆς ἐλευθερίας ἀξιούμενος τῶν παθῶν , ἀπὸ τῆς αἰχμαλωσίας τοῦ πονηροῦ καὶ τῆς ἁμαρτίας ἀπαίρων , ἐπὶ τὴν πόλιν τῆς ἀπαθείας Ἰερουσαλὴμ μετ' εὐφροσύνης καὶ ἀγαλλιάσεως ἐπανέρχεται . ὁ δὲ Ὠριγένης λέγει · „ Οἱ Ἀπόστολοι ταῦτα προφητεύονται λέξειν περὶ ἑαυτῶν , καὶ τῶν ἐν τοῖς Ἔθνεσι · καὶ οἱ ἀπὸ τῶν Ἐθνῶν διδάσκονται λέγειν · ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν · περὶ ἑαυτῶν δὲ εὐχαριστεῖν · ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν · καὶ ἐπὶ μὲν τῶν ποταμῶν Βαβυλῶνος καθίσαντες , ἐκλαύσαμεν · ἐν δὲ τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν , ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν . λέγει δὲ καὶ ὁ Ἀνώνυμος · „ Ἐπειδὰν ποιήσωμεν τὸ , εἶπα φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου , τότε πληρωθήσεται ἀγαλλιάσεως τὸ στόμα ἡμῶν · ἐπλήσθη δὲ χαρᾶς καὶ τὸ στόμα Φιλίππου , ὅτε ἀρξάμενος ἀπὸ τοῦ , ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη , εὐηγγελίσατο τὸν Ἰησοῦν τῷ εὐνούχῳ αἰθίοπι .

ὁ Κύριος εἰς ἡμᾶς τοὺς Ἰουδαίους, κατὰ τὴν ἑρμηνείαν τοῦ Θεοδωρίτου. ἰδίωμα δὲ καὶ τοῦτο εἶναι τῆς Ἑβραϊκῆς γλώσσης, τὸ νὰ λέγῃ κατὰ ἔλειψιν. ὅτι ἐποίησαν μετὰ τοῦ δεῖνος, χωρὶς νὰ προσθέτῃ τί ἐποίησαν; ἤτοι ἐποίησαν ἔλεος.

„ Ἐγεννήθημεν εὐφραινόμενοι.

Ἐχάρημεν, λέγει, ἡμεῖς οἱ Ἰουδαῖοι, διατὶ ἀποκατέστημεν εἰς τὴν πατρίδα μας. καὶ διατὶ ἐφανερώθη εἰς τὰ περίοικα Ἔθνη τῆς Ἱερουσαλὴμ, ἡ εἰς ἡμᾶς γενομένη δύναμις τοῦ Θεοῦ.

4: „ Ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν „ ἡμῶν ὡς χειμάῤῥους ἐν τῷ νότῳ.

Ἀγκαλὰ καὶ ἀνωτέρω εἶπεν „ ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών. ὅμως καὶ ἐδῶ λέγει τώρα „ Ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν. παρακαλοῦσι γὰρ οἱ εἰς τὴν Ἱερουσαλὴμ γυρίσαντες Ἰουδαῖοι, καὶ διὰ ἐκείνους ὁποῦ ἔμειναν ἀκόμη εἰς τὴν Βαβυλῶνα· πολλοὶ γὰρ ἔμειναν ἐκεῖ. διὰ τοὺς ὁποίους παρακαλοῦν νὰ ἐπαναγυρίσουν καὶ αὐτοί. δύω γὰρ καὶ τρεῖς ἀναβάσεις αὐτῶν ἔγιναν, κατὰ τὸν Χρυσόστομον. ἐπίστρεψον, λέγουσι, καὶ γύρισον Κύριε τοὺς ἐπιλοίπους αἰχμαλώτους Ἰουδαίους, ὁποῦ ἔμειναν ὀπίσω. καὶ ἔτζι ὀγλίγωρα κίνησον καὶ παρόρμησον αὐτοὺς εἰς τὸ νὰ γυρίσουν. καθὼς κινεῖς καὶ τοὺς ξηροποτάμους τοῦ χειμῶνος εἰς τὸ νὰ τρέχουν διὰ μέσου τοῦ νότου. διότι ὁ νότος ἄνεμος, μὲ τὸ νὰ διαλύῃ τὴν παχύτητα τῶν νεφῶν διὰ τῆς θερμότητός του, καὶ νὰ καταφέρῃ βροχάς. διὰ τοῦτο κινεῖ καὶ τοὺς ξηροποτάμους, εἰς τὸ νὰ τρέχουν μὲ πολλὴν ὁρμὴν καὶ σφοδρότητα. ἢ ὡς χειμάῤῥους εἶπε, παρακαλῶντας τὸν Θεὸν νὰ γυρίσουν εἰς τὴν Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ νὰ φέρωνται μὲ ὁρμὴν καὶ ὀγλιγωράδα, καθὼς φέρονται ὀγλίγωρα καὶ οἱ χειμάῤῥοι. ἵνα ὅλοι οἱ σκλαβωμένοι εὐκερωθοῦν ὀγλίγωρα ἀπὸ τὴν Βαβυλῶνα, καὶ τινὰς νὰ μὴ μείνῃ εἰς αὐτήν. διατὶ καὶ οἱ χείμαῤῥοι ὀγλίγωρα εὐκερώνονται καὶ ξηραίνονται. ἢ νότον ὀνομάζει τὴν Ἱερουσαλὴμ κατὰ τὸν Θεοδώριτον. καθὼς αὐτὴν ὀνομάζουν πολλαῖς φοραῖς καὶ οἱ Προφῆται (ὁ Ἰεζεκιὴλ καὶ ὁ Ἀββακοὺμ) διότι εὑρίσκεται κατὰ τὸν νότον, ὡς πρὸς τὴν θέσιν τῆς ἐν τῷ βοῤῥᾷ κειμένης Βαβυλῶνος. ἐπίστρεψον λοιπὸν, λέγει, Κύριε, ἐν τῷ νότῳ: ἤγουν ἐν τῇ Ἱερουσαλὴμ. τοὺς αἰχμαλώτους ἡμῶν ἀδελφοὺς, τοὺς μείναντας ἐν τῇ Βαβυλῶνι. (1)

5: „ Οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλ„ λιάσει θεριοῦσι.

Ἐκεῖνοι, λέγει, ὁποῦ σπέρνουν μὲ τὴν ἐλπίδα τῆς σωτηρίας τὰ δάκρυα τῆς προσευχῆς, αὐτοὶ θέλουν θερίσουν μὲ ἀγαλλίασιν καὶ τὸν καρπὸν αὐτῆς: ὅστις εἶναι ἡ ἐλευθερία τῆς θλίψεως ἐκείνης, ὁποῦ τοὺς ἐκυκλεῖ. καθολικὸς δὲ εἶναι ὁ λόγος οὗτος. καὶ ἁρμόζει εἰς ὅλους ἐκείνους, ὁποῦ εὑρίσκονται

(1) Λέγει δὲ ὁ Νύσσης Γρηγόριος· „ Ὑψηλότερον δὲ Βοῤῥᾶς ὁ Διάβολος ἀλληγορεῖται, νότος δὲ ὁ Κύριος, κατὰ τὸ ὑπὸ τῆς νύμφης ἐν τῷ ᾄσματι εἰρημένον: ἐξεγείρου Βοῤῥᾶ, καὶ ἔρχου Νότε· ἀποτάσσεται γὰρ τῷ Σατανᾷ (ἡ νύμφη δηλαδὴ Ἐκκλησία.) καὶ συντάσσεται τῷ Χριστῷ· καὶ ἡμεῖς οὖν ὡς ἀπὸ κατεψυγμένου τόπου, καὶ ὡς ἀπὸ Βοῤῥᾶ τῆς ἁμαρτίας καὶ τοῦ ταύτης πατρὸς (Διαβόλου) ἐπανερχόμεθα ἐπὶ τὴν ἀρετὴν καὶ τὸν Κύριον· καὶ ζέοντες τῷ Πνεύματι γινόμεθα. ὁ δὲ ὅσιος Νικήτας ὁ Στηθάτης λέγει· „ Οὕτω καὶ τὴν ἑαυτῶν αἰχμαλωσίαν οἱ ἅγιοι, λέγω δὴ τοῦ ἰδίου νοὸς, ἐπιστρέψαι ἀενάως ἐκλιπαροῦσιν ἐν τῷ Νότῳ: ἤτοι ἐν τῷ χορηγῷ Πνεύματι τῶν δακρύων τῆς μετανοίας· ὥστε γενέσθαι αὐτὴν ἐν τῇ ἀκυμάντῳ καὶ γαληνῇ διανοίᾳ, δίκην χειμάῤῥου ῥέουσαν ἐν αὐτοῖς τὰ τῆς κατανύξεως κύματα.

ται εἰς ἀνάγκας καὶ πειρασμούς. (1)

6 : „ Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαι-
„ ον βάλλοντες τὰ σπέρματα αὐτῶν.

Ἀπὸ τὸν ἀνωτέρω καθολικὸν λόγον, μετέβη ὁ Δαβὶδ εἰς τὸν μερικόν. λέγει γὰρ περὶ τῶν ἐν αἰχμαλωσίᾳ Ἰουδαίων, ὅτι ἐκεῖνοι πηγαίνοντες εἰς τὴν σκλαβίαν, ἐπήγαινον καὶ ἔκλαιον. σπείροντες, ὡς εἴπομεν, διὰ τῶν δακρύων, τὴν ἐλπίδα τῆς ἐλευθερίας αὐτῶν καὶ σωτηρίας. (2)

„ Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιά-
„ σει, αἴροντες τὰ δράγματα αὐτῶν.

Ὅταν ἔρχωνται, λέγει, οἱ Ἑβραῖοι ἀπὸ τὴν σκλαβίαν, καὶ γυρίζουν εἰς τὴν πατρίδα των Ἱερουσαλήμ. τότε θέλουν φέρουν μὲ ἀγαλλίασιν μαζί των, τὸ θέρος καὶ τὰ χειρόβολα τῶν σπερμάτων τους: ἤγουν θέλουν θερίσουν τὸν καρπὸν τῆς ἐλπίδος τῆς ἐλευθερίας των, τὸν ὁποῖον μὲ τὰ δάκρυα ἔσπειραν. διότι καθὼς ὁ σπόρος τοῦ σιταρίου χρειάζεται βροχὰς διὰ νὰ καρποφορήσῃ: ἔτζι καὶ τὸ σπέρμα τῆς ἐλπίδος χρειάζεται δάκρυα διὰ νὰ καρπογονήσῃ. καὶ καθὼς τὸ χωράφι ἔχει χρείαν νὰ σκαφθῇ, καὶ νὰ χωρισθῇ εἰς αὐλάκια διὰ τοῦ ἀλετρίου. ἵνα μὴ βλαστήσῃ ἄγρια χορτάρια: ἔτζι καὶ ἡ ψυχὴ χρειάζεται πειρασμοὺς καὶ θλίψεις διὰ νὰ ἀπαλυνθῇ ἡ σκληρότης της. ἵνα μὴ βλαστήσῃ ἀκάνθας καὶ τριβόλους τῶν παθῶν, καὶ τοιούτας ἄλλας βοτάνας τῆς ἁμαρτίας, κατὰ τὸν θεῖον Χρυσόστομον.

ΨΑΛ-

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Σπέρμα τῶν μελλόντων ἀγαθῶν, αἱ νῦν διὰ τὸν Θεὸν ἐγγινόμεναι θλίψεις· ϗ σχεδὸν πᾶσα ἡ ἐνταῦθα κακοπάθεια, πρόξενός ἐςι τῶν αἰωνίων ἀγαθῶν· τοιοῦτον γάρ ἡ ἀρετὴ, τῶν πόνων λαμπρὰς ἔχει τὰς ἀμοιβάς· ϗ δεῖ ἡμᾶς κάμνειν ϗ ταλαιπωρεῖσθαι, ϗ τότε ζητεῖν ἄνεσιν. ϗ ἄλλος δὲ λέγει (ἴσως ὁ μέγας Βασίλειος) „ Τὸ δάκρυον, τοῦτο σπέρμα ϗ δάνεισμα γίνεται τῆς αἰωνίου χαρᾶς· ϗ ἐπειδὴ ὁ σπείρει τις, τοῦτο ϗ θερίσει· ὁ τῇ ἀξιολόγῳ μετανοίᾳ σπείρων εἰς τὸ πνεῦμα, ἐλεημοσύνην, εὐσπλαγχνίαν, ἱκεσίαν, δικαιοσύνην, δάκρυον διηνεκές· οὗτος σπείρων ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θερίσει, αἴρων τῆς μετανοίας τὰ δράγματα. εἶπε δὲ ϗ ὁ Χρυσοῤῥήμων· „ Σπείρωμεν οὖν δάκρυα· ἵνα θερίσωμεν ἀγαλλίασιν· οὐχ οὕτω τὰ σπέρματα καταφερόμενος ὁ ὑετὸς θάλλειν ποιεῖ ϗ αὔξεσθαι, ὡς τὸν τῆς εὐσεβείας σπόρον ἀνίςησι ϗ παρασκευάζει κομᾶν, ὁ ἐκ τῶν δακρύων καταφερόμενος ὑετός· ϗ ὁ ὅσιος δὲ Νικήτας ὁ Στηθάτης λέγει· „ Οἱ γὰρ ἀεὶ κατὰ τὸν παρόντα αἰῶνα ἐν πένθει τὴν ὁδὸν τρέχοντες τῶν ἐντολῶν τοῦ Θεοῦ, πλατύνονται τὴν καρδίαν εἰς τὴν τοῦ Θεοῦ ἀγάπην ϗ τοῦ πλησίον αὐτῶν· ϗ παρακαλοῦνται διὰ τῆς πρὸς αὐτοὺς ἐπιδημίας τοῦ πνεύματος· „ Μακάριοι γάρ, φησιν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. λέγει δὲ ϗ ὁ Ὠριγένης· „ Ὁ σπείρων ἐν δάκρυσιν εἰς τὸ πνεῦμα (ἤτοι εἰς τὴν ψυχὴν) σπείρει, τῶν δακρυόντων μακαριζομένων. ἐν ἀγαλλιάσει δὲ θερίζει ζωὴν αἰώνιον, τυγχάνων ἤδη, τοῦ, ὅτι γελάσονται.

(2) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Πᾶς ἄνθρωπος, εἰ μέλλοι τι καρποῦσθαι χρήσιμον, πόνου δεῖται ϗ ταλαιπωρίας· ὃ τοίνυν φησὶν ὁ Προφήτης τοῦτό ἐςιν· ὅτι δεῖ μὴ μόνον ἐπὶ τῇ ἀνόδῳ χαίρειν, ἀλλὰ ϗ ἐπὶ τῇ αἰχμαλωσίᾳ, ϗ ὑπὲρ ἀμφοτέρων χάριν ὁμολογεῖν· τὸ μὲν γὰρ ἦν, σπόρος, τὸ δὲ, ἀμητός· ὅταν οὖν λέγῃ, βάλλοντες τὰ σπέρματα, οὐ περὶ σίτου διαλέγεται· ἀλλὰ περὶ πραγμάτων, παιδεύων τὸν ἀκροατὴν μὴ ἀλύειν ἐν ταῖς θλίψεσιν· ὥσπερ γὰρ ὁ σπείρων οὐκ ἀλύει, κἂν πολλὰ τὰ φορτικὰ ᾖ· οὕτως οὐδὲ τὸν θλιβόμενον δυσχεραίνειν χρὴ, κἂν πολλὰ ᾖ τὰ λυπηρὰ, τὸν ἀμητὸν ἀναμένοντα· τὰ λήϊα τὰ κομῶντα· τὴν πρόσοδον τὴν ἀπὸ τῆς θλίψεως γινομένην. λέγει δὲ ϗ ὁ μέγας Βασίλειος· „ Οὐκ ἐκ τῶν αὐτῶν ἀρχῶν δάκρυόν τε ϗ χαρὰ τὴν γένεσιν ἔχουσι· τὸ μὲν γὰρ, οἷον ἐκ πληγῆς τινος, τῆς προσβολῆς τοῦ ἀβουλήτου τῇ ψυχῇ τύπτοντος ϗ συςέλλοντος, καταθλιβομένου τοῦ περικαρδίου αἵματος, ἀποτίκτεσθαι πέφυκεν· ὅταν τὰ κοῖλα τοῦ ἐγκεφάλου τῶν ἐκ τῆς λύπης ἀναθυμιάσεων ϗ ἀτμῶν πληρωθέντα, οὓς ἡ ἐπὶ τὸ βάθος συςολὴ τοῦ θερμοῦ ἀναπέμπει, οἷον δι' ὀχετῶν τινῶν τῶν κατὰ τοὺς ὀφθαλμοὺς πόρων τὸ ὑγρὸν τὸ βάρος ἀποσκευάζηται· ϗ ὥσπερ τὸ νέφος εἰς ψεκάδας· οὕτω τὸ πάχος τῶν ἀτμῶν εἰς δάκρυον διαλύνται· ἡ δὲ χαρὰ, οἷον σκίρτημά ἐςι τῆς ψυχῆς, ἐπαγαλλομένης τοῖς κατὰ γνώμην· ϗ μονονουχὶ πηδώσης, ϗ προεξορμώσης ὑφ' ἡδονῆς εἰς τὰ ἔξω· (Λόγ. περὶ εὐχαριςίας.)

ΨΑΛΜΟΣ. ΡΚϚ.

Ὠδὴ τῶν Ἀναβαθμῶν. (1)

α : „ Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶ-
„ κον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκο-
„ δομοῦντες.

Ὅταν οἱ Ἑβραῖοι ἐγύρισαν ἀπὸ τὴν Βαβυλῶνα εἰς τὴν Ἱερουσαλὴμ, καὶ ἄρχισαν νὰ οἰκοδομοῦν τὸν ναὸν καὶ τὴν πόλιν αὐτῶν, ἐμποδίζοντο ἀπὸ τὰ γειτονεύοντα καὶ πλησιόχωρα Ἔθνη. ἐφθόνουν γὰρ αὐτὰ, ὁμοῦ δὲ καὶ ἐφοβοῦντο, τὸ νὰ εὐτυχήσουν πάλιν καὶ νὰ μεγαλυνθοῦν οἱ Ἰουδαῖοι ὡς πρότερον. ὅθεν ἕως οὗ νὰ κτίσουν τὸν ναὸν καὶ τὴν Ἱερουσαλὴμ, ἐπέρασαν τεσσαράκοντα ἓξ χρόνοι (2) τῶν μὲν Ἑβραίων κτιζόντων μετὰ προθυμίας, τῶν δὲ Ἐθνῶν ἐμποδιζόντων αὐτοὺς μὲ ὅλους τοὺς τρόπους. τοὺς Ἑβραίους λοιπὸν τούτους τοὺς κτίζοντας τὴν Ἱερουσαλὴμ καὶ τὸν ναὸν, διδάσκων ὁ Δαβὶδ νὰ καταφεύγουν εἰς τὸν Θεὸν, καὶ νὰ ἐπικα-

(1) Σημείωσαι, ὅτι παρὰ τῷ Θεοδωρήτῳ οὕτως ἐπιγράφεται ὁ Ψαλμὸς οὗτος· „ Ὠδὴ τῶν Ἀναβαθμῶν τοῦ Σολομών· ὅπερ ἑρμηνεύων ὁ αὐτὸς Θεοδώριτος λέγει· „ Πάλαι μὲν τὸν θεῖον νεὼν Σολομὼν ᾠκοδόμησε· καταλυθέντα δὲ ὑπὸ Βαβυλωνίων, Ζοροβάβελ ἀνέστησε· τοῦτον οἶμαι Σολομῶντα ὀνομάζεσθαι· καὶ ὡς ἐκ Σολομῶντος τὸ γένος κατάγοντα, καὶ ὡς τὸ Σολομῶντος ἀνανεούμενον ἔργον· οὐδὲ γὰρ τῇ Σολομῶντος οἰκοδομίᾳ ὁ προφητικὸς ἁρμόττει λόγος· ἀλλὰ τῇ μετὰ τὴν ἐπάνοδον ὑπὸ τοῦ Ζοροβάβελ γεγεννημένῃ· οἱ περὶ τὸν Ζοροβάβελ τοίνυν καὶ Ἰησοῦν τὸν τοῦ Σαλαθιὴλ, καὶ οἱ μετ' αὐτῶν εὐσεβείᾳ κοσμούμενοι, τὴν δὲ τὴν εἰσήγησιν προσφέρουσι τοῦ Ψαλμοῦ.

(2) Ὅθεν ὁ Χρυσορρήμων λέγει· „ Ὅπερ οὖν καὶ οἱ Ἰουδαῖοι δηλοῦντες ἔλεγον· „ Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος (Ἰω. β'. 8.) οὐ περὶ τῆς προτέρας λέγοντες οἰκοδομῆς τῆς τοῦ Σολομῶν, ἀλλὰ περὶ ταύτης τῆς ὕστερον τῆς μετὰ τοὺς Πέρσας ἀπαλλαγῆς. λέγει δὲ ὁ Νικήτας ἐν τῇ Σειρᾷ φέρων τὸν Χρυσόρρημον μάρτυρα, ὅτι τόσον πλῆθος Ἐθνικῶν ἐφόνευσαν οἱ Ἰουδαῖοι, τῶν ἐμποδιζόντων νὰ μὴ κτίσουν τὸν ναὸν καὶ τὴν Ἱερουσαλὴμ, ὥστε ὁποῦ ἀπὸ τὸ πολὺ αἷμα ἐβράχη ἡ γῆ ἕως εἰς τὸ βάθος· καὶ πολὺς ἔγινε πηλὸς ἐκ τοῦ αἵματος: τὰ δὲ νεκρὰ σώματα τόσον τῶν ἀνθρώπων, ὅσον καὶ τῶν ἀλόγων ἐσκέπασαν σχεδὸν ἀπὸ τὸ πλῆθος τὴν ἐκεῖσε γῆν, καὶ πάλιν τόσον πολὺ πλῆθος σκωλήκων ἀνέβρυεν ἐκ τῶν σωμάτων, ὥστε ὁποῦ ἦτον σκεπασμένα ὅλα καὶ δὲν ἐφαίνοντο ἀπὸ τοὺς σκώληκας· ὅθεν ὁ Νεεμίας γράφει, ὅτι μὲ τὸ ἕνα χέρι ἐκράτουν οἱ μαΐστορες τὰ ἐργαλεῖα τῆς οἰκοδομικῆς τέχνης καὶ ἔκτιζον· καὶ μὲ τὸ ἄλλο χέρι ἐκράτουν ἅρματα διὰ νὰ πολεμοῦν τοὺς ἐχθροὺς, ὁποῦ τοὺς ἐμπόδιζον· „ Τῶν οἰκοδομούντων ἐν τῷ τείχει, καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτῆρσιν ἐν ὅπλοις· ἐν μιᾷ χειρὶ ἐποίει αὐτοῦ τὸ ἔργον, καὶ ἐν μιᾷ ἐκράτει τὴν βολίδα· καὶ οἱ οἰκοδόμοι, ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμένος ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ᾠκοδομοῦσαν· καὶ ὁ σαλπίζων ἐν τῇ κερατίνῃ, ἐχόμενα αὐτοῦ (Νεεμ. δ'. 17.)

καλοῦνται αὐτὸν συνεργὸν εἰς τὴν οἰκοδομήν, λέγει ταῦτα. ὅτι ἀνίσως ὁ Θεὸς δὲν οἰκοδομήσῃ οἶκον διὰ τῆς συνεργίας καὶ βοηθείας του, ματαίως κοπιάζουσιν οἱ οἰκοδομοῦντες αὐτόν. ἀνεβάλλετο δὲ καὶ ἀργοπόρησεν ὁ Θεὸς εἰς τόσους πολλοὺς χρόνους, τὴν πρὸς τοὺς Ἑβραίους συνεργίαν καὶ βοήθειάν του, διὰ νὰ ἐξυπνίζῃ αὐτοὺς ὀλίγον ὀλίγον, καὶ διὰ νὰ μὴ τοὺς ἀφήσῃ νὰ γένουν μὲ τὴν ἄνεσιν ἀμελέστεροι. καὶ ἐκ τούτου γυρίσουν πάλιν εἰς τὴν προτέραν κακίαν τους μὲ τὴν ὀλιγώρον ἐλευθερίαν, ὁποῦ ἤθελαν λάβουν. τὸ ῥητὸν λοιπὸν τοῦτο, ἔλαβε μὲν τὴν ἀρχὴν ἀπὸ τὴν ὑπόθεσιν ταύτην. λέγεται δὲ καὶ καθολικώτερον. ἐπειδὴ καὶ εἶναι ἁρμόδιον νὰ λέγηται εἰς ὅλα τὰ πράγματα. (1)

„ Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς
„ ματην ἠγρύπνησεν ὁ φυλάσσων.

Καὶ τὶ λέγω, φησὶ, περὶ οἰκοδομῆς οἴκου, ὅτι ἐὰν ὁ Κύριος δὲν τὸν οἰκοδομήσῃ, ματαίως κοπιάζουσιν οἱ τοῦτον οἰκοδομοῦντες; καὶ ἀφ' οὗ οἰκοδομηθῇ καὶ τελειωθῇ πόλις, πάλιν δὲν δύναταί τινας νὰ φυλάξῃ ταύτην, ἐὰν ὁ Θεὸς δὲν τὴν φυλάξῃ διὰ τῆς Προνοίας καὶ συνεργίας του. (2)

2: „ Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν,
„ ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐ-
„ σθίοντες ἄρτον ὀδύνης.

Λοιπὸν ἐσεῖς ὦ Ἰουδαῖοι, οἱ οἰκοδομοῦντες τὴν Ἱερουσαλὴμ, καὶ φυλάσσοντες αὐτήν. ἐσεῖς, ὁποῦ οὐδὲ τὸν ἄρτον σας τρώγετε χωρὶς ὀδύνην καὶ πόνον. καὶ ἐσεῖς ὁποῦ ζῆτε μὲ θλίψεις, ἠξεύρετε, ὅτι χωρὶς τὴν βοήθειαν καὶ συνεργίαν τοῦ Θεοῦ, ματαίως γίνεται εἰς ἐσᾶς, τὸ νὰ ὀρθρίζεται πρωὶ πρωὶ να

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Μηδεὶς μήτε τῶν οἰκοδομούντων, μήτε τῶν φυλασσόντων, τῇ οἰκείᾳ δυνάμει θαῤῥείτω, ἀλλὰ τὴν θείαν ἐπικαλείσθω ῥοπήν· ταύτης γὰρ συνεργούσης, ἑκάτερον ῥᾴδιον· ἀναβαλλομένου δὲ τοῦ Θεοῦ τὴν βοήθειαν, ματαία ἡ τῶν ἀνθρώπων σπουδή· πάντα εἰκῇ γίνεται, ἐὰν μὴ τὴν τοῦ Θεοῦ ῥοπὴν ἐπισπασώμεθα· δεῖ δὲ τὸν λόγον τοῦτον (τοῦ Δαβὶδ) ἐφ' ἅπασιν ἁρμόζειν· οὐχ ἵνα αὐτοὶ ῥαθυμῶμεν, ἀλλ' ἵνα τὰ παρ' ἑαυτῶν εἰσφέροντες, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτωμεν· ὥσπερ γὰρ οὐκ ἔνι, τοῦ Θεοῦ μὴ βοηθοῦντος, εἰς τέλος τὰ πράγματα ἀγαγεῖν: οὕτως ἂν ὁ Θεὸς βοηθῇ, ἀργοῦντας αὐτοὺς καὶ ἀναπεπτωκότας οὐκ ἔνι τοῦ τέλους ἐπιτυχεῖν· ὅθεν ποιοῦντές τι, μὴ τὸ ὅλον ἑαυτοῖς δῶμεν, ἀλλὰ τῷ τελειοῦντι Θεῷ· μὴ δ' αὖ τὸ πᾶν ἐάσαντες, ἄπρακτοι διατελῶμεν· ἑκάτερα γὰρ αἱ προκείμεναι δηλοῦσι λέξεις, τό, τε ἐξ ἡμῶν, καὶ τὸ παρὰ τοῦ Θεοῦ. λέγει δὲ καὶ ὁ Στουδίτης Θεόδωρος ἐν τοῖς Ἀναβαθμοῖς· „ Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τὸν τῆς ψυχῆς καὶ τῶν ἀρετῶν, μάτην κοπιῶμεν· οἰκοδομεῖ δέ τις τὸν οἶκον τῆς ψυχῆς κατὰ τὸν Στηθάτην Νικήταν, διὰ τῶν ποικίλων λίθων τῆς ἀρετῆς, καὶ τῆς ἐργασίας τῶν ἐντολῶν· εἰς μάτην δὲ οἰκοδομεῖ διὰ τῆς σωματικῆς γυμνασίας μόνης, ἐὰν μὴ καὶ τὸν Κύριον συνοικοδομοῦντα ἔχῃ δι' ἀγάπης καὶ ἐλπίδος καὶ πίστεως· καὶ εἰς μάτην φυλάσσει τὴν πόλιν τῆς εὐσεβείας καὶ ἀρετῆς, ἐὰν μὴ ὁ Κύριος διὰ ταπεινοφροσύνης φυλάξῃ αὐτὴν ἀκατάσειστον ἀπὸ τῶν πνευμάτων τῆς ὑπερηφανίας· φυλάσσει δὲ αὐτὴν διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου Πνεύματος. εἶπε δὲ καὶ ὁ Ὠριγένης· „ Πρῶτον ᾠκοδόμησε Κύριος τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα· ὅς, ἐπεὶ μὴ ᾠκοδόμησε μετὰ τοῦ Κάϊν, οἰκοδομοῦντος πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνὼχ, εἰς μάτην ἐκοπίασεν· ἀλλὰ καὶ οἱ κινήσαντες ἀπὸ Ἀνατολῶν καὶ εἰπόντες· δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, μάτην ἐκοπίασαν οἰκοδομοῦντες· ἐπεὶ μὴ συνοικοδόμει αὐτοῖς Κύριος· ἐστέναξαν Ἑβραῖοι ἐν Αἰγύπτῳ οἰκοδομοῦντες, ὡς μάτην κοπιῶντες· οἱ οἰκοδομοῦντες τὸν ἐν Ἱερουσαλὴμ ναὸν μάτην ἐκοπίασαν· διὸ καθῃρέθη· ᾠκοδόμησαν οἱ Ἀπόστολοι τὸν οἶκον Θεοῦ τὴν Ἐκκλησίαν, καὶ οὐ μάτην ἐκοπίασαν. Κύριος γὰρ αὐτὸν ᾠκοδόμησεν· οἰκοδομοῦσιν, οἱ ἑτερόδοξοι τὴν Ἐκκλησίαν πονηρευομένων· ἀλλ' εἰς μάτην ἐκοπίασαν. ἔφη δὲ καὶ ὁ Ἰωάννης τῆς Κλίμακος· „ Ὁ τὴν ἑαυτοῦ σάρκα βουληθεὶς πολεμῆσαι ἐξ ἑαυτοῦ, εἰς μάτην τρέχει· ἐὰν γὰρ μὴ Κύριος καταλύσῃ οἶκον σαρκὸς, καὶ οἰκοδομήσῃ οἶκον ψυχῆς, εἰς μάτην ἠγρύπνησε καὶ ἐνήστευσεν ὁ καταλύων.

(2) Λέγει δὲ ὁ Εὐσέβιος· „ Ὅτι μενεῖ μὲν ὁ οἶκος ἐκεῖνος ἐπὶ τοσοῦτον, ἕως ἂν ὁ Κύριος αὐτὸν φυλάττῃ· ἀσα-

σηκώνεσθε, καὶ τὸ νὰ συκώνεσθε εὐθὺς, ὕςερα ἀφ' οὗ καθήσατε. (τὸ γὰρ ἐγείρεσθαι ἀπαρέμφατον εἶναι, καὶ ὄχι προςακτικὸν, κατὰ τὸν Θεοδώριτον.) δηλαδὴ ματαίως γίνεται εἰς ἐσᾶς, τὸ νὰ σπουδάζητε τόσον πολλὰ διὰ νὰ τελειώσητε ὀγλίγωρα τὴν οἰκοδομὴν τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ. καὶ μήτε ὕπνον νὰ χορταίνετε τὴν νύκτα, μήτε ἄνεσιν νὰ λαμβάνητε τὴν ἡμέραν. ὀδυνηροὺς δὲ ὠνόμασε τοὺς Ἰουδαίους, ὄχι μόνον διατί εἶχε ὑπερβολικὰ ἐκοπίαζον, ἀλλὰ καὶ διατί ἐμάχοντο μὲ τοὺς ἐχθροὺς, ὡς εἴπομεν. καὶ εἰς τὸν αὐτὸν καιρὸν καὶ ἔκτιζον, καὶ τοὺς πλησιοχώρους ἐπολέμουν ὁποῦ τοὺς ἐμπόδιζον· καὶ ἀκολούθως διπλῆν ἐκ τούτου ταλαιπωρίαν ἐλάμβανον. (1)

„Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.

3: „Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί·

Ὅταν, λέγει, ὁ Θεὸς δώσῃ εἰς τοὺς ἠγαπημένους του δούλους ὕπνον γλυκὺν, καὶ ἐλεύθερον ἀπὸ κάθε φροντίδα: ἤγουν ὅταν δώσῃ ἄνεσιν καὶ ἐλευθερίαν κατὰ τὸν Θεοδώριτον, εἰς ἐσᾶς τοὺς Ἰουδαίους, ἀπὸ τοὺς ἐνοχλοῦντας καὶ πολεμοῦντάς σας ἐχθρούς. (θέλει δώσει δὲ ταύτην ὅταν συμφέρῃ) τότε, ὄχι μόνον ὁ ναὸς καὶ ἡ Ἱερουσαλὴμ θέλει οἰκοδομηθῇ μὲ εὐκολίαν. ἀλλὰ καὶ υἱοὶ θέλουν γεννηθοῦν εἰς ἐσᾶς, οἵτινες θέλουν γένουν κληρονομία καὶ λαὸς οἰκεῖος τοῦ Θεοῦ. ἔβαλε δὲ τοῦτο ὁ Δαβίδ, ὡς κεφάλαιον τῶν ἄλλων ἀγαθῶν. διατί κοντὰ εἰς τοὺς Ἑβραίους, ἦτον πρᾶγμα περισπούδαςον καὶ ἐπιπόθητον ἡ παιδοποιΐα. οὕτω μὲν νοεῖται τὸ ῥητὸν τοῦτο ξεχωριςὰ διὰ τοὺς Ἰουδαίους. καθολικωτέρως δὲ νοεῖται, ὅτι ὅταν ὁ Θεὸς δώσῃ εἰς τοὺς ἀγαπητούς του δούλους ὕπνον: ἤγουν ἐλευθερίαν καὶ ἀνάπαυσιν, ὡς εἴπομεν. τότε, ὄχι μόνον λαμβάνουν τέλος ἐκεῖνα τὰ ἔργα, ὁποῦ αὐτοὶ σπουδάζουν καὶ ἐνεργοῦν. ἀλλὰ πρὸς τούτοις καὶ υἱοὶ ἀδιάδοχοι γενῶνται εἰς αὐτοὺς, οἵτινες εἶναι ἡ παρὰ Κυρίου δοθεῖσα εἰς αὐτοὺς κληρονομία: ἤγουν εἶναι οἱ κληρονόμοι τῆς σπουδῆς καὶ ἀρετῆς τῶν πατέρων τους (2)

„Ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

Οἱ

ναχωρήσαντος δέ ποτε τῆς φυλακῆς (κατὰ τὸ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος) εἰς ἔρημον καταςήσεται, τῆς ἐξ ἀνθρώπων σπουδῆς ϗ βοηθείας, ματαίας ϗ περιττῆς ἐσομένης.

(1) Ὁ δὲ Χρυσόςομος λέγει· „Εἰ δὲ ἐκεῖνοι, ἵνα πόλιν ἀναςήσωσι ϗ τείχη, τοσαύτης ἐδέοντο τῆς ἄνωθεν συμμαχίας· πολλῷ μᾶλλον ἡμεῖς τὴν ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδεύοντες ὁδόν· ὁ μέντοι Θεοδοτίων εἰπών· „Ἐσθίοντες ἄρτον Εἰδώλων, ἐνέφηνε κατὰ τὸν Εὐσέβιον, ὅτι οὐδὲν αὐτοὺς ὠφελήσει ὁ τόπος, ἀνιςαμένους ἐξ ὄρθρου, ϗ μετὰ τὸ ἀποςῆναι πάλιν ἀπατῶντας, ϗ ἐκ διαλειμμάτων πάλιν σπεύδοντας ἐπ' αὐτόν· τὸ δὲ αἴτιον, ὅτι μέλλουσιν εἰδωλολατρῆσαι· ὃ ϗ γέγονεν.

(2) Ὁ δὲ Εὐσέβιος λέγει· „Διδάσκει τοὺς Ἑβραίους, τοὺς μέγα φρονοῦντας ἐπὶ τῷ τόπῳ τοῦ ἱεροῦ, ϗ τῇ πόλει Ἱερουσαλὴμ, ὅτι οὐκ ἐν ἀψύχοις λίθοις ἡ κληρονομία τυγχάνει Θεοῦ, οὐδ' ἐν γωνίαις γῆς ϗ πόλεως· ἀλλ' ἔσονταί ποτε ἀληθὴς κληρονομία Κυρίου, οἱ μέλλοντες ἐξ αὐτῶν γεννηθήσεσθαι υἱοί· οὓς χρὴ προσδοκᾶν, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον: τουτέςι μετὰ τὴν τελευτὴν τῆς ἐκλογῆς τοῦ προτέρου λαοῦ· ἕως γὰρ ἐτύγχανον παρ' Ἰουδαίοις ἀγαπητοὶ Θεοῦ, ὁποῖοι ἦσαν οἱ Προφῆται, ϗ οἱ ἄλλοι θεοφιλεῖς ϗ δίκαιοι ἄνδρες, οὐχ οἷόν τε ἦν ἀποβολὴν γενέσθαι αὐτῶν, ϗ τὴν κλῆσιν τῶν Ἐθνῶν ἀντεισαχθῆναι· διό φησιν, ὅταν ἡ γενεὰ παρέλθῃ τῶν ἐν Ἰουδαίοις ἐκλεκτῶν τοῦ Θεοῦ, τηνικαῦτα, τὸ μὲν πᾶν Ἔθνος ἀποβληθήσεται· σπέρμα δὲ ἀγαθὸν ἐξ αὐτῶν προελεύσεται· ὅπερ ἔςαι κληρονομία Κυρίου· δηλοῖ δὲ διὰ τούτου τὴν κατὰ σάρκα τοῦ Κυρίου γέννησιν ϗ τῶν Ἀποςόλων, ἐξ ὧν, ϗ δι' ὧν συνέςη ἡ Ἐκκλησία τοῦ Θεοῦ, ϗ ὁ νέος οἶκος ὁ μὴ ὑπ' ἀνθρώπων οἰκοδομηθεὶς, ἀλλ' ὑπ' αὐτοῦ τοῦ Κυρίου, ἐκ λίθων ζώντων ϗ λογικῶν ψυχῶν· ἐξ ὧν ϗ ἡ πόλις τοῦ Θεοῦ: τουτέςι τὸ θεοσεβὲς πολίτευμα διὰ Χριςοῦ καθ' ὅλης τῆς οἰκουμένης συνέςη, ϗ ὑπ' αὐτοῦ πεφύλακται τοῦ Κυρίου· ὁ δὲ Νύσσης Γρηγόριος λέγει ἠθικῶς· „Μακάριος ὁ ἀπὸ τῶν παθῶν εἰρηνεύσας, ϗ τὸν ὀφειλόμενον τοῖς ἀγαπητοῖς ὕπνον ἀπολαβὼν πρὸς τῷ κοινῷ τῆς κοιμήσεως.

Οἱ υἱοί, λέγει, ὁποῦ θέλουν δοθοῦν εἰς ἐσᾶς κληρονομία παρὰ Κυρίου, αὐτοί εἶναι ὁ μισθὸς τῆς ἐδικῆς σας Θεοσεβείας, καὶ τῆς καρπογονίας τῆς γαστρός: ἤτοι αὐτοὶ εἶναι ἡ ἀμοιβὴ τῆς ἀρετῆς σας, ἡ δοθεῖσα ἀπὸ τὴν πολυτοκίαν, νοεῖται δὲ τὸ ῥητὸν τοῦτο καὶ κατὰ ἀναγωγήν· καθότι ἐκεῖνοι οἱ Χριστιανοὶ, ὁποῦ υἱοθετήθησαν τῷ Θεῷ διὰ τοῦ βαπτίσματος τῆς παλιγγενεσίας, μισθὸς ἦτον τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ. ὅστις κυρίως εἶναι καρπὸς τῆς γαστρὸς τῆς Θεομήτορος. καθότι ἐκ μόνης αὐτῆς ἐγεννήθη χωρὶς σπορὰν ἀνδρός. (1)

4: „ Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως „ οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

Καθὼς, λέγει, αἱ σαΐταις φαίνονται φοβεραῖς, ὅταν εὑρίσκωνται εἰς τὴν χεῖρα τοῦ δυνατοῦ στρατιώτου, διὰ τὴν ἐκείνου δύναμιν καὶ ἐπιτηδειότητα. τοιουτοτρόπως καὶ οἱ υἱοὶ τῶν ἐκτετιναγμένων: ἤγουν τῶν ἀδυνατισμένων ἀπὸ τὴν σκλαβίαν Ἰουδαίων, κατὰ τὸν Θεοδώρητον, θέλουν φανοῦν εἰς τοὺς ἐχθροὺς φοβεροὶ, διὰ τὴν ἀνίκητον δύναμιν τοῦ Θεοῦ, τὴν εὑρισκομένην μετ᾽ αὐτῶν, κατὰ τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου. νοεῖται δὲ καὶ ἀναγωγικῶς, ὅτι ἔτζι καὶ οἱ κατὰ Πνεῦμα υἱοὶ τῶν διδασκάλων ἡμῶν, τῶν ἀδυνατισμένων ὄντων ἀπὸ τὴν νοητὴν αἰχμαλωσίαν τῶν Δαιμόνων, θέλουν φανοῦν φοβεροὶ εἰς τοὺς Δαίμονας. (2)

5: „ Μακάριος ὃς πληρώσει τὴν ἐπιθυ„ μίαν αὐτοῦ ἐξ αὐτῶν.

Μη-

(1) Ἄλλος δὲ ἑρμηνευτὴς λέγει· „ Μισθὸς ὁ καρπὸς τῆς γαστρός· ὅπερ ἑρμηνεύων ὁ Χρυσόστομος λέγει· „ Καὶ τοῦτον, φησὶ, λήψονται μισθὸν καὶ ἀμοιβὴν τῆς θεοσεβείας καὶ ἀρετῆς τὴν εὐπαιδίαν· εἰ γὰρ καὶ τῆς φύσεως ἔργον τὸ γινόμενον· ἀλλ᾽ ὅταν ὁ Θεὸς τὰ παρ᾽ ἑαυτοῦ παράσχῃ, καὶ αὕτη μειζόνως δραμεῖται· καὶ γὰρ καὶ αὕτη τῆς ἄνωθεν δεῖται ῥοπῆς. καὶ ἔσται ἡ περὶ τοὺς παῖδας εὐλογία κατὰ τὸν Θεοδώρητον, καθάπερ τις μισθὸς τοῖς εἰς Θεὸν ἠλπικόσιν. ὁ δὲ θεῖος Κύριλλος λέγει· „ Τοὺς δοθέντας οἶμαί που τῷ Ἐμμανουὴλ καταδεικνὺς ὁ Δαβὶδ, ψάλλει· Ἰδοὺ ἡ Κληρονομία Κυρίου, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός· δέδονται γὰρ τῷ Χριστῷ μισθὸς οἷά τις, οἱ πεπιστευκότες ἀπό τε τῶν ἐξ αἵματος Ἰσραὴλ, καὶ τῆς ἑτέρας πληθύος· φημὶ δὴ τῆς ἐξ Ἐθνῶν. Κύριον δὲ ὀνομάσας τὸν Ἰησοῦν, καὶ καρπὸν αὐτὸν ἔφη γεγενῆσθαι γαστρὸς διὰ τὴν καθ᾽ ἡμᾶς ὁμοίωσιν· γεγέννηται γὰρ ἐκ γυναικὸς, καὶ καρπὸς νηδύος ἐδείχθη παρθενικῆς· οὐκοῦν τοὺς πιστεύσαντας ἀπεκεκέρδακεν ὁ Χριστός· καὶ ὡς ἐν τάξει μισθοῦ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτῷ ἀπενεμήθησαν· Αἴτησαι γὰρ, φησι, παρ᾽ ἐμοῦ, καὶ δώσω σοι Ἔθνη τὴν κληρονομίαν σου· Θεόδωρος δὲ ὁ στουδίτης ἐν τοῖς Ἀναβαθμοῖς λέγει· „ Τοῦ καρποῦ τῆς γαστρὸς (ἤτοι οἱ ἐκ τοῦ καρποῦ τῆς γαστρὸς γεννηθέντες: ἤγουν ἐκ τῆς κολυμβήθρας τοῦ ἁγίου Βαπτίσματος, ἥτις εἶναι ὡσὰν γαστὴρ τῆς Ἐκκλησίας, δι᾽ ἧς ἀναγεννᾷ τέκνα τῷ Χριστῷ) τῷ Πνεύματι, υἱοποιητοὶ σοι τῷ Χριστῷ, ὡς Πατρὶ οἱ ἅγιοι πάντοτέ εἰσι· καὶ πάλιν· „ Τοῦ καρποῦ τῆς γαστρὸς οἱ ἅγιοι πνευματοκινήτως, ἀναβλαστοῦσι πατρῷα δόγματα υἱοθεσίας. ὁ δὲ ὅσιος Νικήτας ὁ Στηθάτης, κληρονομίαν Κυρίου ὀνομάζει, τοὺς εἰς τὴν τάξιν τῶν υἱῶν προκόψαντας· τούτων δὲ εἶναι καὶ ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός· γαστέρα δὲ ἐνταῦθα τὴν χωρητικὴν τῶν νοημάτων διάνοιαν καλεῖ, ἧς ὁ καρπὸς καὶ τὰ γεννήματα, μισθός ἐστι τῆς σπουδῆς τῶν ἐργαζομένων τὰς ἀρετάς· „ Διὰ τὸν φόβον σου, Κύριε γὰρ, φησιν, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν Πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

(2) Ὁ δὲ Χρυσόστομος λέγει· „ Οὐκ ἐν τούτοις ἔσται, φησὶ, τὰ τῆς εὐημερίας μόνον· οὐκ ἐν τῇ οἰκοδομῇ, οὐκ ἐν τῇ φυλακῇ, οὐκ ἐν τῇ εὐτεκνίᾳ· ἀλλὰ καὶ ἕτερα τούτοις προσέσται· ποῖα δὴ ταῦτα; φοβεροὶ τοῖς πολεμίοις ἔσονται ὡς τὰ βέλη. ὁ δὲ θεῖος Κύριλλος, ἐκτετιναγμένους τοὺς ἐξ Ἰσραὴλ ἐννοεῖ, ὡς τῆς θείας χάριτος ἐκπεπτωκότας διὰ τὸ ἐμπαροινῆσαι Χριστῷ· οἱ γεμὴν ἐξ αὐτῶν υἱοὶ οἱ θεσπέσιοι Μαθηταὶ, βέλη γεγόνασιν ὡς ἐκ χειρὸς δυνατοῦ πεμπόμενα: τουτέστιν εὐσθενεῖς καὶ ἀλκιμώτατοι· αὐτοῖς γὰρ ὁ δυνατὸς Κύριος (περὶ οὗ εἴρηται· τὰ βέλη σου ἠκονημένα δυνατέ·) εἰς καθαίρεσιν παντὸς ὑψώματος ἐπαιρομένου χρήσεται· ἐπειδὴ δὲ καὶ ἐν σωτηρίᾳ

ρίᾳ

Μακάριος, λέγει, θέλει εἶναι ἐκεῖνος ὁ Ἰουδαῖος, ὁποῦ θέλει γεμώσει τὴν ἐπιθυμίαν του ἀπὸ αὐτά. ποῖα; δηλαδὴ ἀπὸ τὴν οἰκοδομὴν καὶ ἀπόλαυσιν τοῦ ναοῦ καὶ τῆς πόλεως Ἱερουσαλήμ, ἀπὸ τὴν ἄνεσιν καὶ ἐλευθερίαν ἐκ τῶν πολεμούντων ἐχθρῶν ἀπὸ τὴν πολυτεκνίαν καὶ καλλιτεκνίαν. καὶ ἀπὸ τὰς τοιαύτας ἄλλας χάριτας καὶ ἐκ Θεοῦ ἀγαθά. (1).

„ Οὐ καταισχυνθήσονται, ὅταν λαλῶ-
„ σι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Ἐκεῖνοι, λέγει, οἱ Ἑβραῖοι, ὁποῦ γεμώσουν τὴν ἐπιθυμίαν τους ἀπὸ τὰ ἀνωτέρω ἀγαθά, ὡς εἴπομεν, αὐτοὶ δὲν θέλουν ἐντραποῦν διὰ καμμίαν ἀδυναμίαν καὶ δυσυχίαν τους, ὅταν συνομιλοῦν καὶ διαλέγωνται μὲ τοὺς ἐχθρούς των, εἰς τὰς πόρτας τῆς πόλεως Ἱερουσαλήμ. ἐπειδὴ καὶ ὅλα τὰ κατ' αὐτοὺς πράγματα καὶ ἔσωθεν καὶ ἔξωθεν θέλουν εἶναι εὐτυχημένα. ἢ δὲν θέλουν πλέον ἐντραποῦν οἱ Ἰουδαῖοι, πῶς ἔχουσιν ἀδύνατον Θεόν. τὸ ὁποῖον τοῦτο ὠνείδιζον εἰς αὐτοὺς οἱ ἐξ Ἐθνῶν ἐχθροί των, πρὸ τοῦ νὰ τελειώσῃ ἡ οἰκοδομὴ τοῦ ναοῦ καὶ τῆς Ἱερουσαλήμ. ἀλλὰ θέλουν συνομιλοῦν πρὸς αὐτοὺς μὲ πολλὴν παρρησίαν καὶ φαιδρότητα. συνήθεια δὲ ἦτον νὰ μὴ δέχωνται οἱ παλαιοὶ μέσα εἰς τὴν πόλιν τοὺς πρέσβεις καὶ ἐλπίδας τῶν ἐχθρῶν τους. ἀλλὰ νὰ τοὺς δέχωνται ἔξω εἰς τὰς πόρτας τῆς πόλεώς των, καὶ ἐκεῖ νὰ διαλέγωνται μὲ αὐτούς, κατὰ τὸν Θεοδώριτον. (2).

ΨΑΛ.

ρίῳ ἔθει τῶν Ἑβραίων, ἐκτετιναγμένοι καλοῦνται οἱ νέοι καὶ πρὸς πόλεμον δυνατοί· ὡς ἀπὸ τοῦ Νεεμίου μανθάνομεν· „ Ἥμισυ τῶν ἐκτετιναγμένων ἐποίουν τὸ ἔργον, καὶ ἥμισυ αὐτῶν ἀντείχοντο (Νεεμ. δ'. 16.) εἰκότως οἱ τὸν νέον ἄνθρωπον ἐνδυσάμενοι, τῷ ἐκτετινάχθαι ἀπ' αὐτῶν τὸν παλαιὸν ἄνθρωπον ἅμα ταῖς πράξεσιν αὐτοῦ. μιμηταὶ τοῦ δυνατοῦ γινόμενοι ἐν ταῖς σὺν λόγῳ γινομέναις πράξεσιν αὐτῶν, χερσὶν αὐταῖς καλουμέναις, ἔχουσι τὰ βέλη τοὺς ἠκονημένους λόγους, οὓς βάλλειν οἷοί τε εἰσι. μανθάνομεν τοίνυν, ὅτι οἱ υἱοὶ τῶν ἐκτετιναγμένων ἐν τῷ οἰκοδομεῖν τὸν οἶκον Κυρίου, κατεῖχον βολίδας καὶ ῥομφαίας καὶ τὰ ἄλλα ὅπλα· ὡς μιᾷ μὲν χειρὶ, τὸ τῆς οἰκοδομῆς ἔργον ποιεῖν· τῇ δ' ἑτέρᾳ, βάλλειν ταῖς βολίσι τοὺς κωλύειν ἐθέλοντας τὴν κατασκευὴν τοῦ θείου οἴκου· οὕτω καὶ τοῖς θείοις διδασκάλοις ἐστὶ σπουδὴ, ἅμα οἰκοδομεῖν Θεῷ οἶκον ἐν ἑκάστῃ τῶν παιδευομένων ψυχῇ, καὶ καταπολεμεῖν λογισμοὺς, καὶ πονηρὰς δυνάμεις, ἐμποδίζειν πειρωμένας τὴν αὔξησιν τῆς οἰκοδομῆς. ὁ δὲ Νικήτας ὁ Στηθάτης λέγει· „ Οἱ υἱοὶ τῶν ἐκτετιναγμένων εἰσὶ τῶν ἐν τῇ μετανοίᾳ πεπονηκότων καὶ τεταλαιπωρημένων, διὰ μετανοίας τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἀνακαλεσάμενοι, καὶ τὸν Χριστὸν ἐνδυσάμενοι, ὡσεὶ βέλη ἐν χειρὶ τοῦ δυνατοῦ Θεοῦ γίνονται· βάλλοντες καὶ τιτρώσκοντες τὸν πονηρόν· ὑφ' οὗ πρότερον τιτρωσκόμενοι, ἐν ἀσθενείᾳ καὶ ταλαιπωρίᾳ διῆγον πολλῇ.

(1) Ὁ δὲ θεῖος Κύριλλος λέγει· „ Μακαρίζει τὸν μέλλοντα τὴν ἐπιθυμίαν αὐτοῦ, ἣν ἔχει περὶ τὴν μάθησιν τῶν θείων, πληροῦν ἐξ αὐτῶν: τουτέστιν ἐκ τῆς διδασκαλίας τῶν ἱερῶν μυσταγωγῶν. ὁ δὲ Θεοδώριτος· „ Μακάριος, φησιν, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν τῶν πολεμίων· οὐ μόνον γάρ, φησιν, οὐχ ἡττηθησόμεθα· ἀλλὰ καὶ περιγενησόμεθα τούτων, καὶ ζηλωτοὶ παρὰ πᾶσιν ἐσόμεθα.

(2) Κατὰ δὲ τὸν Κύριλλον καὶ Εὐσέβιον· „ Οἱ Ἀπόστολοι τοσούτου θάρσους καὶ παραστήματος μεθέξουσιν, ὡς μὴ μόνον ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ κατάλληλα ὁμιλεῖν· ἀλλὰ καὶ ἐν τοῖς ἔξω πυλῶν ἐστῶσι, καὶ ἐχθροῖς οὖσι τοῦ τῆς ἀληθείας λόγου, ἐλεγκτικῶς δύνασθαι λαλεῖν, καὶ πᾶσαν αὐτῶν ψευδολογίαν καθαιρεῖν· μακάριος δὲ, καὶ ὃς ἂν ἐμφορηθῇ τῆς νέας Διαθήκης καὶ πράξῃ αὐτήν· οἱ γὰρ τοιοῦτοι, ὅταν ἐξέρχωνται ἐκ τοῦ βίου τούτου, καὶ λαλῶσι πρὸς τὰς ἀντικειμένας δυνάμεις ἐν πύλαις ταῖς οὐρανίαις· ἐν αἷς πᾶσα ψυχὴ λογοπραγεῖται ὑπὸ τῶν Δαιμόνων ἔξωθεν, οὐ καταισχυνθήσονται· κατὰ δὲ τὸν Στηθάτην· „ Οἱ πληρώσαντες τὴν ἐπιθυμίαν ἐκ τῆς θείας ἀγάπης, καὶ τὴν κατὰ φύσιν ἀσπασάμενοι κίνησιν, οὐ καταισχυνθήσονται ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν Δαίμοσι διὰ τῶν λογισμῶν ἐν ταῖς πύλαις ἤτοι ἐν ταῖς προσβολαῖς ταῖς διὰ τῶν αἰσθήσεων προσβαλούσαις· αὗται γάρ εἰσιν αἱ πύλαι, δι' ὧν ὁ νοητὸς εἰσέρχεται πρὸς ἡμᾶς θάνατος.

ΨΑΛΜΟΣ ΡΚΖ.

„ Ὠδὴ τῶν Ἀναβαθμῶν.

α: „ Μακάριοι πάντες οἱ φοβούμενοι „ τὸν Κύριον.

Καὶ οὗτος ὁ Ψαλμὸς εἶναι ἀκόλουθος καὶ σύμφωνος μὲ τὸν πρότερον. διότι ἐκεῖ ἐμακάρισεν ὁ Δαβὶδ ἐκεῖνον, ὁποῦ γεμώσει τὴν ἐπιθυμίαν του, ὡς εἴρηται „ Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ. τώρα ἐδῶ ἀκολούθως κάμνει καθολικώτερον καὶ τελειότερον τὸν μακαρισμόν. μακάριοι, λέγων, εἶναι κυρίως καὶ ἀληθῶς ὅλοι ἐκεῖνοι, ὁποῦ φοβοῦνται τὸν Κύριον, τὸ δὲ ὅλοι ἐπρόσθεσε κατὰ τὸν Χρυσόστομον, διὰ νὰ φανερώσῃ, ὅτι ὅσοι φοβοῦνται τὸν Κύριον, κἂν εἶναι δοῦλοι, κἂν πτωχοὶ, κἂν μισερωμένοι, δὲν ἐμποδίζονται τίποτε ἀπὸ τὸ νὰ εἶναι μακάριοι καὶ καλότυχοι. καθότι ἐκεῖνος μὲν, ὁποῦ δὲν φοβεῖται τὸν Θεὸν, κἂν καὶ ἔχῃ ὅλα τὰ ἀγαθὰ, ὁποῦ μακαρίζονται καὶ ζηλεύονται κοντὰ εἰς τοὺς ἀνθρώπους, αὐτὸς εἶναι ὁ δυστυχέστερος καὶ ἀθλιώτερος ἀπὸ ὅλους. ἐκεῖνος δὲ, ὁποῦ ἐκ τοῦ ἐναντίου φοβεῖται τὸν Θεὸν, κἂν ἔχῃ τὰ δεινὰ, ὁποῦ φεύγουν οἱ ἄνθρωποι καὶ συγχαίνονται, αὐτὸς εἶναι ὁ εὐτυχέστερος καὶ μακαριώτερος ἀπὸ ὅλους. καὶ ἄλλως δὲ νοεῖται τὸ ῥητὸν, ὅτι κάλλος σώματος, καὶ δύναμις, καὶ πλοῦτος, καὶ δόξα, καὶ πολυτεχνία, καὶ καλλιτεχνία, καὶ τὰ τοιαῦτα σωματικὰ ἀγαθὰ, δὲν εἶναι κυρίως ἄξια μακαρισμοῦ. διατὶ εἶναι ἀκατάστατα καὶ προσωρινὰ καὶ εὐκολομετάβλητα. ἀκολούθως δὲ σαφηνίζει ὁ Δαβὶδ, ποῖοι εἶναι ἐκεῖνοι, ὁποῦ φοβοῦνται τὸν Κύριον.

„ Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Ἐκεῖνοι, λέγει, φοβοῦνται τὸν Θεὸν, ὁποῦ περιπατοῦν εἰς τὰς στράτας, ὁποῦ εἶναι νομοθετημέναις ἀπὸ τὸν Θεὸν, καὶ εἶναι φανερωμέναις διὰ τῶν ἐντολῶν τοῦ Κυρίου. (1)

β: „ Τοὺς

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Τίνες αἱ τοῦ Θεοῦ ὁδοί; ἡ κατ' ἀρετὴν πολιτεία· ὁδοὶ δὲ αὐτοῦ λέγονται· ἐπειδὴ δι' αὐτῶν ἔστιν ἀπελθεῖν πρὸς Θεόν· καὶ οὐκ εἶπεν ὁδὸς, ἀλλ' ὁδοί· πολλαὶ γὰρ ὁδοὶ καὶ διάφοροι· ὥστε εὔκολον γενέσθαι τὴν εἴσοδον· διὰ γὰρ τοῦτο πολλὰς ἔτεμε, τῇ ἀφθονίᾳ τῆς ὁδοιπορίας, εὔκολον ἡμῖν ποιῶν τὴν ἀποδη-

„ Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι.

Ἀφ' οὗ ὁ Δαβὶδ ἐδίδαξε, ποῖος εἶναι κυρίως καὶ ἀληθῶς μακάριος, καὶ ἀφ' οὗ ἔδειξε, ποῖος εἶναι ὁ φοβούμενος τὸν Κύριον, καὶ ἐκ τούτου ἐπαρακινήσε τὸν λαὸν καὶ περιπατῇ εἰς τὰς στράτας τῶν ἐντολῶν τοῦ Θεοῦ, τώρα ἐδῶ γυρίζει τὸν λόγον εἰς ἐκεῖνον, ὁποῦ φοβεῖται τὸν Θεὸν, καὶ προφητεύει τὰ ἀγαθὰ, ὁποῦ ἔχει νὰ ἀπολαύσῃ. Μερικοὶ λοιπὸν, ὡς Θεοδώριτος καὶ Ὠριγένης, Καρποὺς ἐνόησαν, οὐχὶ τὴν ἐπικαρπίαν, ἀλλὰ τὰς χεῖρας τοῦ ἀνθρώπου, ἀπὸ μέρους τῶν ἄκρων, ἐπειδὴ τὸ μέρος τῆς ὅλης χειρὸς εἶναι ὁ καρπὸς, ἤτοι τὸ ἔσω μέρος τῆς παλάμης, τὸ μεταξὺ τῶν δακτύλων τῆς χειρὸς, καὶ τοῦ πήχεως, καὶ ἑρμηνεύουσι τὸ ῥητὸν ἔτζι: ἤγουν, ὅτι ἐσὺ ὁ φοβούμενος τὸν Κύριον, θέλεις τρυγήσεις καὶ ἀπολαύσεις τοὺς κόπους τῶν χειρῶν σου, χωρὶς νὰ εἶναι τινὰς νὰ σὲ ἐμποδίσῃ ἀπὸ τὴν τούτων ἀπόλαυσιν. Οὕτω γὰρ καὶ οἱ Ἀκύλας καὶ ὁ Σύμμαχος, κόπους παρσῶν σου καὶ κόπους χειρῶν σου ἐξέδωκαν. Ἄλλοι δὲ ὠνόμασαν τὸ ῥητὸν τοῦτο, ἀντισημασίαν. καθότι, οἱ μὲν πόνοι ἐδῶ, σημαίνουσι τοὺς καρπούς. οἱ δὲ καρποὶ πάλιν, σημαίνουσι τοὺς πόνους, κατὰ τὸν Νικήταν Στηθάτην. ἀντιστρόφως δηλαδὴ ἀπὸ ὅ,τι εἶναι γεγραμμένον: ἤτοι τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι. (1)

„ Μακάριος εἶ καὶ καλῶς σοι ἔσται.

Ἀνίσως, λέγει, ὦ ἄνθρωπε, φοβῆσαι τὸν Θεὸν, θέλεις εἶσαι μακάριος καὶ καλότυχος. λέγει δὲ πάλιν τὸ αὐτὸ, ὁποῦ εἶπε καὶ ἀνωτέρω, πρὸς βεβαίωσιν περισσοτέραν τοῦ λόγου. καὶ καλῶς σοι ἔσται, ἤγουν θέλεις εὐτυχήσεις.

3: „ Ἡ γυνή σου ὡς ἄμπελος εὐθυνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.

Ἡ γυνὴ, λέγει, ἐσένα, ὁποῦ φοβεῖσαι τὸν Θεὸν, θέλει γένη ὡσὰν ἄμπελος, ὁποῦ εἶναι πεπληθυσμένη ἀπὸ σταφύλια: ἤτοι ἡ γυνή σου θέλει

δημίαν· οἱ μὲν γὰρ ἐν παρθενίᾳ λάμπρυνσιν· οἱ δὲ, ἐν γάμῳ διαπρέπουσι· οἱ δὲ, ἐν χηρείᾳ κοσμοῦνται· οἱ δὲ, τὰ πάντα ἀπεδύσαντο· οἱ δὲ, τὰ ἡμίση· ἢ οἱ μὲν, δι' ὀρθοῦ βίου· οἱ δὲ, διὰ μετανοίας· οὐκ ἴσχυσας μετὰ τὸ λουτρὸν καθαρὸν διαφυλάξαι σου τὸ σῶμα; ἀλλὰ δύνασαι διὰ μετανοίας αὐτὸ ποιῆσαι καθαρόν· διὰ χρημάτων· διὰ ἐλεημοσύνης. ἀλλ' οὐκ ἔχεις χρήματα; ἀλλ' ἐπισκέπτεσθαι δύνασαι τὸν ἀρρωστοῦντα· ἀλλ' ἀσθενὴς εἶ τῷ σώματι; ἢ οὐδὲ βαδίσαι δύνασαι; φέρε πάντα εὐχαρίστως ταῦτα· ἢ μέγαν ἐκαρπώσω τὸν μισθόν· ἐπεὶ ἢ τοῦ Λαζάρου τοῦτο ἦν τὸ κατόρθωμα· διὰ δὴ ταῦτα τοὺς κόλπους ἀπέλαβε τοῦ Ἀβραάμ. ὁ δὲ Νικήτας ὁ Στηθάτης λέγει: „ Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς Κυρίου, οὗτοί εἰσιν οἱ φοβούμενοι τὸν Κύριον· οἱ δὲ μὴ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ, οὐχί· πορεύονται γὰρ τῷ φωτὶ αὐτῶν· πᾶς γὰρ ὁ φοβούμενος τὸν Κύριον, ἐκ τῆς ἐργασίας γνωρίζεται τῶν τοῦ Χριστοῦ ἐντολῶν· ἢ διὰ τοῦτο σοφὰ τῆς Γραφῆς μακαρίζεται· „ Μακάριος γὰρ, φησιν, ἀνὴρ, ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. ἢ ὁ Θεοδώριτος „ Εἰπὼν μακάριοι οἱ φοβούμενοι τὸν Κύριον, ὑπέδειξεν ὁ προφητικὸς λόγος τοῦ θείου φόβου τὸν χαρακτῆρα· ἐπήγαγε γάρ· οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ· ἴδιον γὰρ τῶν φοβουμένων τὸν Κύριον, τὸ μὴ βαίνειν ἔξω τῶν θείων ὁδῶν· ἀλλ' ἐν αὐταῖς ποιεῖσθαι τὴν πορείαν διηνεκῶς. εἶπε δὲ ἢ ὁ Ὠριγένης· „ Εἰ μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ μὴ φοβούμενοι τὸν Κύριον οὐ μακάριοι· εἰ δὲ οἱ φοβούμενοι τὸν Κύριον πορεύονται ἐν ταῖς ὁδοῖς αὐτοῦ, εἴ τις μὴ πορεύεται, οὐ φοβεῖται. λέγει δὲ ἢ ὁ Ἀνώνυμος· „ Οἱ φοβούμενοι τὸν Κύριον οἱ ἐκ τῶν Ἐθνῶν εἰσιν· οἱ δίχα περιτομῆς ἢ τῶν Μωσαϊκῶν παραγγελμάτων οὗτοι μακάριοι· οἱ φοβούμενοι γὰρ [illegible] τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· κρείττων δέ ἐστι τῶν φοβουμένων τὸν Κύριον, ὁ ἐν τελείᾳ φθάσας ἀγάπῃ· ἡ γὰρ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον.

(1) Ἄλλος δὲ λέγει ἤτοι ὁ Νικήτας· „ Χρήσιμον δὲ παντὶ τῷ βίῳ τὸ Ψαλμικὸν τοῦτο μελῴδημα· ἢ οἱ μὲν

εἶναι πεπληθυσμένη ἀπὸ τέκνα· μέσα εἰς τὰ κλίτη ἤγουν εἰς τὰ τέσσαρα μέρη καὶ εἰς τὴν περιοχὴν τοῦ ὀσπητίου σου. ἄλλος δὲ ἑρμηνευτὴς εἶπεν, „ Ἐν τοῖς ἐσωτάτοις τοῦ οἴκου σου" ἤγουν ἐν τοῖς θαλάμοις καὶ εἰς τὰς νυμφικὰς καμάρας τοῦ ὀσπητίου σου, ὅπου εὑρίσκεται ἡ πρὸς ἀνάπαυσιν κλίνη.

„ Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.

Τὰ τέκνα σου, λέγει, θέλει εἶναι εὔθαλη καὶ τρυφερὰ καὶ ὡραῖα τριγύρω εἰς τὴν τράπεζάν σου, καθὼς εἶναι τρυφερὰ τὰ νέα φυτὰ τῶν ἐλαιῶν. (1)

4. „ Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

Τοιαύτην, λέγει, εὐλογίαν θέλει ἀπολαύσει ἀπὸ τὸν Θεὸν ἐκεῖνος ὁ ἄνθρωπος, ὁποῦ φοβεῖται τὸν Θεόν· εὐλογίαν δὲ ὀνομάζει τώρα, τὴν χάριν καὶ τὴν εὐεργεσίαν τοῦ Θεοῦ, ὡς ἀξίαν οὖσαν εὐφημίας. τί λέγεις, ὦ θεῖε Δαβίδ; τοιαύτην μόνον χάριν θέλει ἀπολαύσει ἀπὸ τὸν Θεὸν, ὁ τοῦτον φοβούμενος; ναί, λέγει. ἐπειδὴ καθ' ἕνα διαλέγομαι καὶ ὁμιλῶ πρὸς ἀνθρώπους Ἰουδαίους καὶ ἀτελεῖς, οἵτινες ἀγαποῦν τὰ ἄνω εἰρημένα, γυναῖκας, καὶ τέκνα, καὶ τὰ ὅμοια ἀγαθά· κατ' ἄλλον δὲ τρόπον ὁ λόγος οὗτος εἶναι ἐκ περιουσίας, καὶ ὡς μέρος προσθήκης κατὰ τὸν Χρυσόστομον· δηλαδὴ, ὅτι ὁ Θεὸς, κοντὰ ὁποῦ θέλει δώσει τὰ οὐράνια ἀγαθά του εἰς ἐκείνους ὁποῦ τὸν φοβοῦνται: θέλει προσθέσει ἀκόμη εἰς αὐτοὺς καὶ ταῦτα τὰ ἐπίγεια. „ Ζητεῖτε γὰρ, φησὶ, πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν" (Ματθ. ς. 33.) ἀναγωγικῶς δὲ, γυνὴ μὲν τοῦ Θεοσεβοῦς καὶ Θεοφοβουμένου Χριστιανοῦ καὶ σύζυγος, εἶναι ἡ ψυχή του· ἥτις ἐν τῷ σώματι εὑρισκομένη, εἶναι γεμάτη ἀπὸ τὰς ἀρετὰς, ὡς ἄμπελος εὐθηνοῦσα. υἱοὶ δὲ αὐτοῦ, εἶναι οἱ μαθηταὶ καὶ μιμηταὶ καὶ διάδοχοι τῆς

μνότητος γάρ, φησι, φροντίζοντες, φάγεσθε τοὺς καρποὺς αὐτῆς, στεφάνοις παρὰ τοῦ Θεοῦ ἀκηράτοις τιμώμενοι· καὶ οἱ ἀκόλαστοι καὶ ἄδικοι, τὰ ἐπίχειρα τῶν κακῶν πράξεων κομιούμενοι· ὃ γάρ τις σπείρει, τοῦτο καὶ θερίσει· καὶ ἀνάλογος τοῖς ἑκάστου πόνοις, ἡ τῶν ἀγαθῶν ἐστιν ἀντέκτισις· εἰ καὶ ἐν μέτρῳ πλείονι, διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· μέτρον γάρ, φησι, καλὸν ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· ὡς ἐπὶ γεωργοῦ δὲ εἶπε τοῦτο, ἅπερ εἰργάσατο καρπουμένου· ὡς εἶναι δῆλον, ὅτι καὶ οἱ Ἑβδομήκοντα, καρποὺς οὐ τὴν εὐκαρπίαν ἐκάλεσαν· ἀλλὰ τὰ μόρια τῶν χειρῶν· ὥσπερ γὰρ ὁ γεωργὸς τῶν ἑαυτοῦ καμάτων τὰς ἀμοιβὰς ἀπολαμβάνει, καὶ ἀπὸ τῶν κόπων αὐτοῦ ἐσθίει· οὕτως ἕκαστος τῶν ἐν θεοσεβείᾳ πονούντων, ἀναλόγως τοῖς ἑαυτοῦ πόνοις, θησαυρίζει ἑαυτῷ τροφὰς εἰς τὴν μέλλουσαν παρὰ Θεῷ ζωήν· καὶ ἄλλως δ' ἂν εἴποις τρέφειν ψυχὴν, αὐτὴν τὴν ἀρετήν· ὥστε εἶναι αὐτοὺς τοὺς κατὰ Θεὸν καμάτους, τροφίμους καὶ εὐφραντικοὺς ψυχῆς.

(1) Ἄλλος δὲ λέγει ἤτοι ὁ Νικήτας· „ Τῷ μὲν τελείῳ καὶ ἀγαπῶντι ἡτοίμασαι, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε· τῷ δὲ ἀτελεῖ καὶ φοβουμένῳ τὸν Κύριον ἡ δῶρον Θεοῦ δίδοται, κοινωνός τις καὶ σύζυγος οὐχ ἡ τυχοῦσα γυνή· ἀλλ' ἡ τῇ ἀληθινῇ ἀμπέλῳ παρεικασμένη· ὥστε λεχθῆναι περὶ αὐτῆς· „ Γυνὴ ἀγαθὴ, μερὶς ἀγαθὴ, ἐν μερίδι φοβουμένων τὸν Κύριον δοθήσεται. (Σειρ. κς'. 3.) καὶ κατὰ τὸν Θεοδώρητον· „ Καὶ παῖδες ἔσονται νεοφύτοις ἐλαιῶν ἀπεικασμένοι, τὴν τράπεζαν στεφανοῦντες, ὡς τῆς εὐσεβείας τὴν ἀρδείαν δεχόμενοι, καὶ τὸν καρπὸν ὥριμον φέροντες, καὶ τὸ φύλλον οὐκ ἀποβάλλοντες· κατὰ δὲ τὸν ὅσιον Στηθάτην· „ Γυνὴ τοῦ κατὰ Θεὸν ἀνδρὸς, ἐστιν ἡ εὐσέβεια· υἱοὶ δὲ καὶ παῖδες, οἱ παρὰ τῆς διδασκαλίας αὐτοῦ γεννώμενοι καὶ αὐξανόμενοι· οἰκία δὲ αὐτοῦ, ὁ πρακτικὸς βίος· ἐν ᾧ λάμπει, καθάπερ λύχνος ἐν οἰκίᾳ, ἡ εὐσέβεια αὐτοῦ· ἢ γυναῖκα νοήσεις, κατ' αὐτὸν πάλιν τοῦτον, τὴν καθαρωτάτην διάνοιαν τοῦ κατὰ Θεὸν ἀνδρός· ἐξ ἧς, ὥσπερ γόνοι καὶ καρποὶ φύονται, τὰ τῆς οὐρανίου γνώσεως νοήματα· οἰκίαν δὲ, τὸ φῶς τοῦ Θεοῦ, ὑφ' οὗ σκέπεται καὶ φωτίζεται· καὶ τράπεζαν, τὴν φυσικὴν θεωρίαν· ἐν ᾗ ὡς ποικίλα ἐδέσματα οἱ λόγοι τῶν ὄντων πρόκεινται· καὶ ὁ κρατὴρ τῆς σοφίας· ὁ δὲ συνώνυμος αὐτοῦ Νικήτας ἐν τῇ Σειρᾷ τοῦ Ψαλτῆρος λέγει· „ Ἄμπελον τὴν Ἐκκλησίαν ὀνομάζει ὁ ψαλμῳδὸς, φάσκων αἰνιγματωδῶς πρὸς τὸν νυμφίον Χριστόν· „ Ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνοῦσα· ἧς καρπὸς οἱ πιστοὶ, καθάπερ μοσχοὶ τῇ Ἐκκλησίᾳ προσπεφυκότες· ὁ δὲ Ὠριγένης, γυναῖκα ἐννοεῖ, τὴν σοφίαν, πράξεις δὲ, τοὺς υἱούς.

τῆς αὐτοῦ εὐσεβείας καὶ ἀρετῆς, οἵτινες θάλλουν καὶ χλοηφοροῦν ὡς νέα ἐλαιόφυτα, μὲ τὴν αὔξησιν τῆς πνευματικῆς ἡλικίας. καὶ περικυκλώνουσιν αὐτόν, ὅταν τοὺς διδάσκῃ, καὶ τοὺς φιλεύῃ μὲ τὰ φαγητὰ τῶν θείων λόγων. (1)

5: „ Εὐλογήσαι σε Κύριος ἐκ Σιών.

Ἄμποτε, λέγει, ὁ Κύριος νὰ εὐλογήσῃ ἐσένα, ὁποῦ τὸν φοβεῖσαι: ἤγουν νὰ ἐπαινέσῃ καὶ νὰ σὲ χαριτώσῃ. διατὶ ἐκεῖνον ὁποῦ ὁ Κύριος ἀποδέχεται, αὐτὸν καὶ ἐπαινεῖ. καὶ ἐκεῖνον ὁποῦ ἐπαινεῖ, αὐτὸν καὶ χαριτώνει. Κύριος δὲ, ὁ κατοικῶν ἐν τῇ Σιὼν, ἢ ἐν τῷ οἴκῳ τῷ ἐν Σιών. ἐκεῖ γὰρ ἐλέγετο, ὅτι κατοικεῖ ὁ Κύριος. διατὶ ὡμίλει ἐν τῷ ναῷ μὲ τοὺς Ἱερεῖς.

„ Καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ,
„ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Ἀγαθὰ, τῆς μὲν κάτω Ἱερουσαλὴμ, ἦτον ὁ πλοῦτος τῶν χρημάτων· ἡ δύναμις τῶν στρατευμάτων, ἡ κατὰ τῶν ἐχθρῶν νίκη, ἡ παρὰ πᾶσι δόξα, καὶ τὰ τοιαῦτα ἄλλα καλά· τῆς δὲ ἄνω Ἱερουσαλὴμ τὰ ἀγαθὰ εἶναι, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. (Α. Κορ. β. 9)(2)

6: „ Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου.

Ἄμποτε, λέγει, νὰ ἀπολαύσῃς ἐσὺ ὁποῦ φοβεῖσαι τὸν Θεὸν, αἰσθητῶς μὲν, υἱοὺς καὶ τέκνα, διαδόχους τοῦ γένους σου. ἀναγωγικῶς δὲ καὶ νοητῶς, ἄμποτε νὰ ἀπολαύσῃς διαδόχους καὶ μαθητὰς τῆς εὐσεβείας καὶ ἀρετῆς σου, τοὺς ὁποίους ἐσὺ θέλεις διδάξεις, καὶ θέλεις ἀναγεννήσεις πνευματικῶς. (3)

„ Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

Τοῦ-

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον· τρόπου γὰρ ὁ Θεὸς, οὐ γένους κριτής· οὕτω τὸν Ἰὼβ ἐκ τοῦ Ἠσαῦ τὸ γένος κατάγοντα, στεφάνων ἠξίωσεν· οὕτω τὸν Ἀβιμέλεχ πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν· οὕτω τὸν εὐνοῦχον· οὕτω τὸν Κορνήλιον· οὕτω πάντα τὰ Ἔθνη.

(2) Σημείωσαι, ὅτι κατὰ τὸν Νύσσης Γρηγόριον, τὸ ἴδοις ἐδῶ, ἀντὶ τοῦ ἀπολαύσοις νοεῖται· καθὼς εἶναι καὶ ἐκεῖνο· „ Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ (ἤτοι: ἵνα μὴ ἀπολαύσῃ) τὴν δόξαν Κυρίου· καὶ τό· „ Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· ἤτοι ἀπολαύσουσι μεθέξουσι· καὶ ἁπλῶς τὸ ἰδεῖν ἐδῶ νοεῖται, ἀντὶ τοῦ παθεῖν· μετασχεῖν. καθὼς εἶπεν ὁ Θεολόγος Γρηγόριος· „ Εἰς τοῦτό με φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν. λέγει δὲ ὁ Ἀνώνυμος· „ Ὁ ἐν ἀρχῇ προκοπῆς τυγχάνων, οὗτός ἐστιν ὁ φοβούμενος τὸν Κύριον· καὶ οὔπω εἶδε τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ· διὸ ἐπεύχεται αὐτῷ ὁ λόγος προκόψαι, καὶ ἀξιωθῆναι τῆς τούτων θέας· ἐκ τούτου δὲ παρίσταται, ὡς τὸ τῆς ἀρετῆς τέλος ἐπὶ θεωρίαν λήγει.

(3) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Πολλοὶ φοβούμενοι τὸν Θεὸν ἐν ἀπαιδίᾳ διετέλεσαν· καὶ τότε μὲν, ταῦτα ἦν τὰ ἔπαθλα· νῦν δὲ, οὐρανὸς, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· εἰδὲ μὴ ἔσχες παῖδας φοβούμενος τὸν Θεὸν, πόθεν οἶσθα, εἰμὴ τῆς εὐπραγίας ταύτης ἕτερα μείζονα δέδωκεν; οὐ γὰρ ἑνὶ τρόπῳ πάντας εὐεργετεῖ· ἀλλὰ διαφόρως, πλούσιος ὤν· πόσοι παῖδας ἐσχηκότες, τοὺς οὐκ ἔχοντας ἐμακάρισαν; διὰ γὰρ τοῦτο τοιαύτην ἐκελεύσθης εὔχεσθαι εὐχὴν, ἐν ᾗ μόνον ἓν αἴτημα αἰσθητὸν αἰτεῖς, καὶ πλέον οὔ· τὰ μὲν γὰρ ἄλλα πάντα περὶ οὐρανῶν, καὶ τῆς ἐκεῖ βασιλείας· περὶ ἀκριβοῦς πολιτείας, καὶ τῆς τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἡμῖν λέγεται· ὑπὲρ δὲ αἰσθητῶν, μίαν λέξιν κελευόμεθα λέγειν· ποίαν δὴ ταύτην; „ Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· ἐπειδὴ γὰρ πρὸς ἑτέραν λοιπὸν καλούμεθα πατρίδα, καὶ πρὸς μείζονα μετεταξάμεθα ζωήν· καὶ τὰς αἰτήσεις καταλλήλους ἐκείνῃ δεῖ ποιεῖσθαι· ταῦτα δὲ (τὰ αἰσθητὰ ἀγαθά) κἂν ἐπιῤῥέῃ, μετὰ πολλῆς τῆς ἀκριβείας διακρούεσθαι, Καὶ ὁ Θεοδώριτος δέ φησιν· „ Ὅτι δὲ, οὐδὲ πάλαι, ἐν τοῖς αἰσθητοῖς οἶδε τῶν ἀγαθῶν τὴν κτῆσιν, ὁ Ἡσαΐας ἐδίδαξε λέγων· „ Μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ξύλον ξηρὸν ἐγώ εἰμι· ὅτι τάδε λέγει Κύριος τοῖς εὐνούχοις· δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων. (Ἡσ. νς΄. 3.)

Τοῦτο τὸ ἴδιον εἶπε καὶ εἰς τὸ τέλος τοῦ ρκδ Ψαλμοῦ. Ἰσραὴλ δὲ, δὲν εἶναι μόνον ὁ παλαιὸς λαὸς τῶν Ἰουδαίων. ἀλλὰ καὶ ὁ νέος λαὸς τῶν Χριστιανῶν· καθὼς πολλάκις εἴπομεν. ἀνίσως δὲ καὶ διακόπη ἐντῷ μεταξὺ καὶ ἔλειψεν ἡ τοῦ Θεοῦ εἰρήνη καὶ ἀπὸ τὸν νέον Ἰσραὴλ· ἀλλὰ τῆς ἐλλείψεως ταύτης αἰτία εἶναι οἱ Χριστιανοὶ, οἱ ὁποῖοι μὲ τὴν ἀμέλειάν τους φαίνονται ἀνάξιοι τῆς τοιαύτης εἰρήνης τοῦ Θεοῦ. διότι, οὔτε ὅταν ὁ Θεὸς φοβερίζῃ νὰ μᾶς τιμωρήσῃ πρέπει νὰ ἀπογινωσκώμεθα, ἀλλὰ διὰ μετανοίας πρέπει νὰ διασκεδάζωμεν τὴν ὀργὴν τοῦ Θεοῦ, καθὼς καὶ οἱ Νινευῖται. οὔτε πάλιν ὅταν ὑπόσχεται νὰ μᾶς δώσῃ ἀγαθὰ πρέπει νὰ ἀμελῶμεν. ἀλλὰ μὲ τὴν περισσοτέραν ἐπιμέλειαν καὶ διόρθωσιν τῆς ζωῆς μας, πρέπει νὰ τραβίζωμεν εἰς τὸν ἑαυτόν μας τὰ ἀγαθὰ, ὁποῦ ὑπεσχέθη. διότι καὶ εἰς τὸν Ἰούδαν ὁ Θεὸς ὑπεσχέθη, ὅτι νὰ καθήσῃ ἐπὶ θρόνου καὶ αὐτὸς μαζὶ μὲ τοὺς ἄλλους καθαροὺς μαθητὰς καὶ Ἀποστόλους, καὶ νὰ κρίνῃ τὰς δώδεκα φυλὰς. „ ὑμεῖς γὰρ, φησι, καθήσεσθε ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ. (Ματθ. ιθ. 28.) ἀλλ' ὅμως αὐτὸς γενόμενος ὕστερον φιλάργυρος καὶ προδότης, ἐμπόδισε τὴν ὑπόσχεσιν τοῦ Θεοῦ, μὲ τὸ νὰ ἔκαμε τὸν ἑαυτόν του ἐκείνης ἀνάξιον. καθὼς ἑρμηνεύει ὁ Χρυσορρήμων. (1)

ΨΑΛΜΟΣ ΡΚΗ΄.

ᾨδὴ τῶν Ἀναβαθμῶν.

1 „ Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου.

Καὶ οὗτος ὁ Ψαλμὸς λέγεται ἐκ προσώπου τοῦ λαοῦ τῶν Ἑβραίων, ὅταν ἐπολεμεῖτο πολλαῖς φοραῖς ἀπὸ τὰ πλησιόχωρα Ἔθνη τῆς Ἱερουσαλὴμ, τὰ ὁποῖα ἀπὸ τὸν φθόνον τους, ἐμπόδιζαν τὴν οἰκοδομὴν τοῦ ναοῦ καὶ τῆς Ἱερουσαλὴμ. νεότητα

δὲ

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ἐπεύχεται τῷ Ἰσραὴλ εἰρήνην· ἀληθὴς δὲ εἰρήνη, ἡ πρὸς Θεόν· ὁ δὲ σαρκικὸς Ἰσραὴλ ἐκείνης ἐκπεσὼν, καὶ τῆς ἄλλης ἐστέρηται. καὶ ὁ Εὐσέβιος· „ Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ τὸν ἐν κρυπτῷ· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ· σημαίνει γὰρ ὁ Ἰσραὴλ, οὐκ Ἔθνους οὐδὲ γένους προσηγορίαν, ἀλλὰ φιλοθέου τρόπου κατόρθωσιν· ὥσπερ καὶ ἰατρὸν, οὐ τὸ ὄνομα, ἀλλ' ἐπιστήμη συνίστησι· προσέθηκε δὲ ὁ Χρυσορρήμων· „ Τί γὰρ ὄφελος αὐτοῖς τῶν ἄλλων, εἰρήνης οὐκ οὔσης; τὸ τοίνυν κεφάλαιον τῶν ἀγαθῶν τῶν τότε, καὶ τὴν ἀσφάλειαν, αὐτοῖς ἐπαγγέλλεται, τὴν εἰρήνην· καὶ ταύτην διηνεκῆ. Κατὰ δὲ τὸν Στηθάτην· „ Ὁ ἐξ ἄκρας καθαρότητος ὁρῶν τὸν Θεὸν νοῦς· τοῦτο γὰρ σημαίνει ὁ Ἰσραήλ· αὐτίκα πρᾶος ἤδη γενόμενος, καὶ ἐν μετοχῇ τῆς εἰρήνης τῶν λογισμῶν, καταπαύει ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, τῆς τε πρακτικῆς φιλοσοφίας, καὶ τῆς φυσικῆς θεωρίας. εἰσδύνων εἰς τὰ βάθη τῆς θεολογίας διὰ τοῦ Πνεύματος, καὶ ἀναπαυόμενος ἐν Θεῷ.

δὲ ὀνομάζει τὴν ἀρχὴν, ὅταν ἐγύριζαν ἀπὸ τὴν Βαβυλῶνα εἰς τὴν Ἱερουσαλήμ. ἀνίσως δὲ τὸ ῥητὸν νοήσῃς διὰ τὸν νοητὸν πόλεμον τῶν Δαιμόνων, νεότητα θέλεις νοήσεις τὴν νέαν ἡλικίαν τοῦ ἀνθρώπου. ἐπειδὴ ἀπὸ τὴν πρώτην ἡλικίαν εὐθὺς μᾶς πολεμοῦν οἱ Δαίμονες. μακάριος δὲ ὁ δυνάμενος εἰπεῖν „ Ὅτι οὐκ ἠδυνήθησαν κατ' ἐμοῦ.

„ Εἰπάτω δὴ Ἰσραήλ.

2: „ Πλεονάκις ἐπολέμησάν με ἐκ νεό-
„ τητός μου.

Ἀφ' οὗ εἶπον ἀνωτέρω οἱ γεροντότεροι Ἑβραῖοι τό, πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου. λέγουν τώρα ἐδῶ καὶ εἰς τοὺς ἄλλους τοὺς νεωτέρους, νὰ εἰποῦν καὶ αὐτοὶ τὸν αὐτὸν λόγον. διὰ νὰ γνωρίσουν ὅλοι κοινῶς, ἀπὸ ποίους κινδύνους ἐλύτρωσεν αὐτοὺς ὁ Κύριος..

„ Καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.

Ἐπολέμησαν, λέγει, ἡμᾶς τὰ πλησιόχωρα ἔθνη. ἀλλ' ὅμως δὲν ἠδυνήθησαν εἰς ἡμᾶς: ἤτοι δὲν μᾶς ἐνίκησαν τελείως. διατὶ ὁ Θεὸς δὲν ἐσυγχώρησε νὰ κατορθώσουν τοῦτο, ἀγκαλὰ καὶ αὐτοὶ μὲ σκοπὸν τοιοῦτον, συνεχέστερον μᾶς ἐπολέμουν, σπουδάζοντες νὰ μᾶς ἀφανίσουν μὲ τελειότητα. (1)

3: „ Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ
„ ἁμαρτωλοί· ἐμάκρυναν τὴν ἀνομί-
„ αν αὐτῶν.

Οἱ ἀσεβεῖς, λέγει, καὶ πονηροὶ Ἐθνικοί, οἱ πλησιόχωροι τῆς Ἱερουσαλήμ, κατεσκεύαζον κακὰ ἐπάνω εἰς τὴν πλάτην μου: ἤτοι ὄχι μόνον ἔμπροσθεν καὶ φανερὰ κατεσκεύαζον τὰ κακά. ἀλλὰ καὶ ὄπισθεν καὶ κρυφά. ἢ καὶ ἐκατεσκεύαζον τὰ κακὰ κοντά μας εὑρισκόμενοι, καὶ αὐτὰς τὰς σάρκας μας κατακξέοντες, καὶ εἰς μακρὸν χρόνον πολεμοῦντές μας. (2)

4: „ Κύριος δίκαιος.

Ὅν.

(1) Κατὰ δὲ τὸν Θεοδώριτον· „ Ἀληθέστερον μέν τοι ταῦτα τῷ νέῳ ἁρμόττει λαῷ, πολλὰς μὲν δεξαμένῳ προσβολὰς πολεμίων, πάντων δὲ περιγενομένῳ· κατὰ γὰρ τὸν Νικήταν ἐν τῇ Σειρᾷ· „ Τὸ πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, φησὶν ὁ Δαβίδ, ϗ τὰς συχνὰς τῆς Ἐκκλησίας ἐσομένας ἐπαναστάσεις προαγορεύων, καὶ τὸ ἐν τοῖς ἀγῶσιν ἀήττητον προθεσπίζων· ἐπάγει γοῦν· ϗ γὰρ οὐκ ἠδυνήθησάν μοι· τοῦτο δέ, τῷ μὲν σαρκικῷ Ἰσραήλ, οὐκ ἂν ἁρμόσειέ ποτε· ὃν Αἰγύπτιοι κατεδούλωσαν· ἀλλόφυλοι πολλάκις κατηγωνίσαντο, ϗ Βαβυλώνιοι, ϗ Μακεδόνες, ϗ Ῥωμαῖοι τὸ τελευταῖον· ὁ δὲ τοῦ Θεοῦ Ἰσραήλ, ὁ ὄντως ὁρῶν Θεόν, ὁ νέος, φημί, λαὸς τῶν Χριστιανῶν, οὗ τύπος ὁ Ἰακώβ, εἰκότως ἂν εἴποι· πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου· ϗ γὰρ οὐκ ἠδυνήθησάν μοι· εὐθὺς γὰρ αὐτῷ παρὰ τὴν πρώτην ἡλικίαν, μυρίων πολέμων ἐπανέστησαν φάλαγγες· ϗ προσέβαλον μέν, οὐκ ἐνίκησαν δέ· ἀλλὰ τοῦ μὲν, τὸ ἄμαχον ἔδειξαν, τὴν δὲ οἰκείαν ἀσθένειαν ἤλεγξαν. ὅθεν εἶπε ϗ ὁ Βασίλειος· „ Ὥσπερ γὰρ οἱ τῇ προσθήκῃ τῆς ὕλης τῆς καιομένης ἐπὶ τὸ μεῖζον αἴρουσι τὴν φλόγα: οὕτως ἀεὶ οἱ καθελεῖν τὴν Ἐκκλησίαν σπουδάζοντες διὰ τῶν διωγμῶν, εἰς μεῖζον αὐτὴν δόξης προήγαγον ϗ δυνάμεως.

(2) Κατὰ δὲ τὸν Χρυσόστομον· „ Ἐπὶ τὸν νῶτόν μου: τουτέστιν αὐτὴν τὴν δύναμίν μου συνθλάσαι ἐπεχείρουν· σύμβολον γὰρ δυνάμεως ὁ νῶτος. ὁ δὲ Θεοδώριτός φησιν· „ Ὅτι ὁ λόγος οὗτος δηλοῖ τὰς μάστιγας ϗ τὰς αἰκίας τὰς τοῖς νικηφόροις Μάρτυσιν ἐπενεχθείσας ὑπὸ τῶν δυσσεβῶν· ἀναγωγικῶς δὲ οὕτω νοεῖται κατὰ τὸν Νικήταν ἐν τῇ Σειρᾷ· „ Καύχημα οὐ μικρὸν τῶν δικαίων, τὸ ὑπὸ τοῦ Διαβόλου πολεμεῖσθαι· τῶν φαύλων τοῦτο οὐκ ἐχόντων· εἰσὶ γὰρ αὐτοῦ φίλοι ϗ ὑπήκοοι· τὸ γὰρ οὐκ ἠδυνήθησάν μοι, μόνος ἐρεῖ, ὁ ἐξουσίαν ὑπὸ τοῦ Θεοῦ λόγου λαβών, πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· εὖ δὲ τό, ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον· οὐ γὰρ τολμῶσιν οἱ Δαίμονες κατὰ πρόσωπον ἵστασθαι τοῦ δικαίου, ἢ ἐξ ἐναντίας μάχεσθαι· ἀλλὰ λεληθότως πειρῶνται ἐπιβουλεύειν. εἰ γὰρ ἐπὶ τῶν ἐμπροσθίων ἐτέκταινον οἱ ἁμαρτωλοί, ἔβλαψαν ἂν τὴν καρδίαν καιρίως, λογισμοὺς

πονη-

Ὄντως, λέγει, ὁ Κύριος εἶναι δίκαιος. διατὶ ἡμᾶς μὲν τοὺς Ἑβραίους ἐπαραχώρησε νὰ πάσχωμεν, διὰ νὰ διορθωθῶμεν καὶ νὰ γένωμεν σωφρονέστεροι. τοὺς δὲ ἐχθρούς μας ἐπιμώρησε. διατὶ ἀδίκως καὶ φθονερῶς ἐσηκώθησαν κατ' ἐπάνωμας.

„ Συνέκοψεν αὐχένας ἁμαρτωλῶν.

Ὁ Κύριος, λέγει, ἀπέκοψε τὴν ὑψαυχενίαν καὶ ὑπερηφάνειαν τῶν πονηρῶν ἐχθρῶν, ὁποῦ μᾶς ἐπολέμουν. καὶ ἐσήκωσεν ἀπὸ τὸ μέσον τὴν ἔπαρσίν τους. μὲ τὸ νὰ ἔδειξεν ἡμᾶς διὰ τῆς βοηθείας του, δυνατωτέρους ἀπὸ ἐκείνους. (1)

5: „ Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

Τὸ αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν, ἢ νοεῖται εὐχτικῶς, ἀντὶ τοῦ αἰσχυνθείησαν καὶ ἀποστραφείησαν ἤτοι ἄμποτε νὰ καταισχυνθοῦν καὶ νὰ μισηθοῦν ἀπὸ τὸν Θεὸν ὅλοι ἐκεῖνοι, ὁποῦ μισοῦν τὴν Σιών. ἢ προφητικῶς λέγονται ταῦτα, ἀντὶ τοῦ θέλουν αἰσχυνθοῦν οἱ τοιοῦτοι. ἁρμόζουν δὲ νὰ νοοῦνται καὶ νὰ λέγωνται τὰ λόγια ταῦτα καὶ διὰ τὴν νέαν Σιών: ἤτοι διὰ τὴν Ἐκκλησίαν τῶν Χριστιανῶν. (2)

6: „ Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων.

Ἄμποτε, λέγει, νὰ γένουν οἱ μισοῦντες τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ὄχι ὡσὰν χορτάρι ἁπλῶς, ἀλλὰ ὡσὰν χορτάρι, ὁποῦ φυτρώνει ἐπάνω εἰς τὰ δώματα. τὸ χορτάρι γὰρ τῶν δωμάτων πλέον εὐκολώτερα μαραίνεται, καὶ πλέον ὀγληγορώτερα ξηραίνεται καὶ φθείρεται. μὲ τὸ νὰ μὴν ἔχῃ ρίζαν βαθεῖαν εἰς τὴν γῆν. ἄμποτε λοιπὸν, λέγει, νὰ γίνουν οἱ ἐχθροὶ τῆς Ἐκκλησίας εὐκολοσύντριπτοι, ταχυθάνατοι, καὶ ἄκαρποι, ὡσὰν τὸ

πονηροῖς αὐτὴν βάλλοντες· ϗ τὴν ὄψιν θεαμάτων ὀλεθρίων πληροῦντες· ϗ τὰς λοιπὰς αἰσθήσεις διὰ τῶν οἰκείων αὐτῶν αἰσθητῶν· ἔχει δὲ τούτους ὀπίσω, ὁ τῶν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, ϗ ὀπίσω Κυρίου τοῦ Θεοῦ πορευόμενος. λέγει δὲ ϗ ὁ μέγας Βασίλειος· „ Μακρύνουσι τὴν ἀνομίαν αὐτῶν, οἱ σειρᾶς δίκην τὰ ἁμαρτήματα πλέκοντες, ϗ προστιθέντες ἁμαρτίας ἐφ' ἁμαρτίαις· οὓς ϗ ταλανίζων Ἡσαΐας φησί· „ Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ· ϗ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀδικίας αὐτῶν. λέγει ϗ ὁ Ὠριγένης· „ Ὅσῳ δέ τις μακρύνει τὴν ἀνομίαν ἑαυτοῦ, τοσούτῳ μακρύνει ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ.

(1) Λέγει δὲ ὁ Δίδυμος· „ Συγκόπτει μέν τοι τὸν αὐχένα, ὃν οὐχ ὑποβάλλουσιν οἱ ἀπειθεῖς τῷ χρηστῷ ζυγῷ, ὁ δίκαιος Κύριος χρηστῇ προθέσει τοῦτο ποιεῖ· ὅπως ἀποβαλόντες τὴν πρὸς τὰ φαῦλα εὐτονίαν ϗ ἰσχὺν, ὑποταγῶσι τῷ Κυρίῳ. ὁ δὲ Θεοδώριτος λέγει· „ Τοὺς αὐχένας, βρόχους ὁ Ἀκύλας ϗ Σύμμαχος ἡρμήνευσαν. ὁ δὲ Θεοδοτίων κλοιούς· πάντα δὲ ἀληθῆ· ϗ γὰρ, οὓς κατεσκεύασαν τοῖς ἁγίοις βρόχους, κατέκοψεν ὁ τούτων Θεὸς, καὶ τοὺς περιταθέντας αὐτοῖς κλοιοὺς συνέτριψε, ϗ αὐτοὺς τῶν ἁμαρτωλῶν τοὺς αὐχένας συνέκοψεν.

(2) Παρὰ δὲ τῷ Χρυσοστόμῳ ἕτερός φησιν· „ Ἀνατραπήτωσαν εἰς τὰ ὀπίσω: τουτέστι κατὰ τὸν Θεοδώριτον, διαμάρτοιεν τῶν πονηρῶν ἐγχειρημάτων, ϗ τράποιντο εἰς φυγὴν οἱ τῇ Σιὼν πολεμοῦντες. ὁ δὲ Εὐσέβιος λέγει· „ Ὥσπερ Ἱερουσαλὴμ, οὐχ οἱ λίθοι ϗ τὰ οἰκοδομήματα, οὐδὲ τὸ ἔδαφος αὐτὸ τυγχάνει· ἀλλὰ τὸ τοιόνδε τῆς θεοσεβείας πολίτευμα· οὕτω ϗ ἡ Σιών· ἡ μὲν οὖν Ἱερουσαλὴμ ὅρασις εἰρήνης ἑρμηνεύεται· ἡ δὲ Σιὼν, σκοπευτήριον· ϗ ἡ μὲν, τὴν ἐν ἤθεσι κατασολὴν, ϗ τὸν εὐσταθῆ ϗ εἰρηναῖον τρόπον παρίστησιν· ἡ δὲ, τὸν διαβεβηκότα, ϗ τὰ ἐπέκεινα τῶν ὁρωμένων σκοπεύοντα· ὁποῖος ἦν ὁ λέγων· „ Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. λέγει δὲ ϗ ὁ Χρυσορρήμων· „ Τοῦτο γέγονε ϗ ἐπὶ τῆς Ἐκκλησίας· ἀρχομένης γὰρ αὐτῆς φύεσθαι, συνεχῶς ἐπετίθεντο πάντες. παρὰ μὲν τὴν ἀρχὴν, βασιλεῖς ϗ δῆμοι ϗ τύραννοι· μετὰ δὲ ταῦτα, τῶν αἱρέσεων αἱ ἐπιβουλαί· ϗ πολὺς πανταχόθεν ὁ πόλεμος ϗ ποικίλος ἀνερριπίζετο· ἀλλ' ὅμως οὐδὲν ἴσχυσαν· ἀλλὰ τὰ μὲν τῶν πολεμίων, ἐλύθη· τὰ δὲ τῆς Ἐκκλησίας, ἀνθεῖ.

τὸ εἰρημένον χορτάρι. ἀκολούθως δὲ λέγει ὁ Δαβίδ, καὶ ὅσα ἄλλα ἀκολουθοῦν εἰς τὸ χορτάρι τῶν δωμάτων, ἐπιμένωντας εἰς τὴν παρομοίωσιν ταύτην.

„ Ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράν-
„ θη.

Τὸ χορτάρι, λέγει, τῶν δωμάτων, πρὸ τοῦ νὰ ἔλθῃ ὁ καιρὸς τοῦ καρποῦ του, ξηραίνεται. μὲ τὸ νὰ μὴν ἔχῃ βάθος, καὶ ἰκμάδα. διότι τὰ ἄλλα χορτάρια τῆς γῆς, ἀφ' οὗ κάμουν καρπὸν, τότε ξηραίνονται. καὶ ἔτζι θερίζονται, ἢ κόπτονται ἀπὸ τοὺς γεωργούς. μὲ τὸ νὰ ἔχουν τὴν ῥίζαν βαθέως εἰς τὴν γῆν ἐῤῥιζωμένην. καὶ ἀκολούθως διατὶ τραβίζουν ἐκεῖθεν ἰκμάδα καὶ ὑγρασίαν.

7: „ Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ
„ ὁ θερίζων· καὶ τὸν κόλπον αὐτοῦ
„ ὁ τὰ δράγματα συλλέγων.

Ἤτοι, τὸ χορτάρι, λέγει, τῶν δωμάτων, τεινὰς δὲν εθέρισε, γεμώσας ἀπὸ αὐτὸ τὸ χέρι του, καθὼς εἶναι συνήθεια νὰ γίνεται, ὅταν θερίζεται τὸ ἄλλο χορτάρι τῆς γῆς. διατὶ αὐτὸ πρὸ τοῦ νὰ θερισθῇ, ἐξηράνθη καὶ διεφθάρη. ἀλλ' οὔτε ἐγέμωσε τὴν ἀγκάλην του ὁ θεριστὴς, ἀπὸ τὰ χερόβουλα τοῦ χορταρίου, ἀφ' οὗ αὐτὸ θερισθῇ ὥριμον καὶ γεμάτον ἀπὸ καρπόν. (1)

8: „ Καὶ οὐκ εἶπαν οἱ παράγοντες· εὐ-
„ λογία Κυρίου ἐφ' ὑμᾶς· εὐλογήκα-
„ μεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Εἰς τὸ χορτάρι, λέγει, τῶν δωμάτων δὲν λέγουν οἱ ὁδοιπόροι τὴν εὐλογίαν ἐκείνην καὶ τὸν χαιρετισμὸν, ὁποῦ συνειθίζουν νὰ λέγουν, ὅταν περνοῦν ἀπὸ τὰ καρποφόρα χωράφια, καὶ βλέπουν τοὺς θερισὰς νὰ θερίζουν. τί δὲ συνειθίζουν νὰ λέγουν εἰς αὐτούς; ἂς εἶναι εὐλογία καὶ χάρις τοῦ Κυρίου εἰς ἐσᾶς, θερισάδες. ἡμεῖς σᾶς εὐλογήσαμεν καὶ σᾶς ἐχαιρετίσαμεν μὲ τὸ ὄνομα Κυρίου, ἐπικαλούμενοι αὐτὸ, διὰ νὰ εὐλογήσῃ καὶ νὰ αὐξήσῃ τὸ θέρας σας. (2)

ΨΑΛ.

(1) Ἄλλος δὲ λέγει· „ Οὗ οὐκ ἐπλήρωσε τὴν δράκα αὐτοῦ. εἶπε δὲ καὶ ὁ Ὠριγένης· „ Ἡ διδασκαλία τῶν κατὰ τῆς γνώσεως τοῦ Θεοῦ ἐπαιρομένων, δωμάτων χόρτος ἐςὶ, ξηραινόμενος πρὸ τοῦ ἐκσπασθῆναι· μήτε πλήρεις ποιῶν τὰς χεῖρας ἐν πράξεσιν ἀγαθαῖς, μήτε τὸν κόλπον ἐν γνώσει.

(2) Λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Οἱ τὰ κομῶντα θεώμενοι λήϊα, θαυμάζειν εἰώθασι τὴν γεωργῶν ἐπιμέλειαν, καὶ εὐλογοῦσι παριόντες τοὺς τὰ τοιαῦτα θερίζοντας· τοῖς δὲ τῶν δωμάτων τὸν χόρτον συλλέγουσιν, οὐδεὶς τοιοῦτον οὐδὲν ἐπεφθέγξατο πώποτε.



ΨΑΛΜΟΣ ΡΚΘ.

„ Ὠδὴ τῶν Ἀναβαθμῶν.

1 : „ Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε.

Τοῦτον τὸν Ψαλμὸν ἔγραψεν ὁ Προφήτης Δαβὶδ, διηγούμενος μὲ ποῖον τρόπον, καὶ μὲ ποίαν θερμότητα προσηύχετο, ὅταν εἶχε πειρασμοὺς, καὶ ποῖα λόγια ἔλεγε προσευχόμενος, διδάσκει δὲ καὶ τοὺς Ἑβραίους, ὁποῦ ἐγύρισαν ἀπὸ τὴν βαβυλῶνα εἰς τὴν Ἱερουσαλὴμ, νὰ μιμοῦνται αὐτὸν, ὅταν ἀκολουθήσουν εἰς αὐτοὺς πειρασμοὶ. καὶ νὰ ἐλπίζουν εἰς τὸν Θεὸν, (1) ἐγὼ, λέγει, ἐφώναξα εἰς ἐσένα Κύριε, ἀπὸ τὸ βάθος τῆς καρδίας μου, καὶ ὄχι ἀπὸ τὰ ἄκρα τῶν χειλέων μου, διότι τὸ νὰ προσεύχηταί τινὰς ἀπὸ τὸ βάθος τῆς καρδίας του, τοῦτο εἶναι ἴδιον προσευχῆς θερμοτάτης. τὸ δὲ νὰ προσεύχηται μὲ μόνα τὰ χείλη καὶ τὴν γλῶσσαν, τοῦτο εἶναι ἴδιον προσευχῆς ψυχροτάτης. καὶ ἡ μὲν προσευχὴ, ὁποῦ γίνεται ἀπὸ τὸ βάθος τῆς καρδίας, αὐτὴ ἀναβιβάζει τὰ κάτωθεν ἐν τῇ καρδίᾳ λαλούμενα λόγια διὰ τοῦ ἐνδιαθέτου λόγου, μὲ πόνον ἐμοῦ καὶ δύναμιν· καὶ ξενοχωρεῖ καὶ ἀνατείνει πρὸς τὸν Θεὸν, ὅλον τὸν νοῦν τοῦ προσευχομένου. ἡδὲ προσευχὴ, ὁποῦ γίνεται μὲ μόνα τὰ χείλη καὶ τὸ σόμα, ἀναβιβάζει εἰς τὸν Θεὸν τὰ ψιλὰ λόγια τῆς προσευχῆς, χωρὶς πόνον καὶ δύναμιν, καὶ κινεῖ μόνα τὰ ἔξωθεν ὄργανα τῆς φωνῆς. κραυγὴν δὲ ὀνομάζει ἐδῶ τὴν μεγάλην φωνὴν: δηλαδὴ ὄχι τὴν μεγάλην κατὰ τὴν δύναμιν καὶ τὸ κτύπημα τοῦ ἔξωθεν ἀέρος, ἀλλὰ τὴν μεγάλην κατὰ τὴν δύναμιν καὶ τὸν τόνον τῆς ἐσωτερικῆς διαθέσεως τῆς καρδίας. (2)

2 : „ ΚΥ-

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ὁ τῶν δικαίων χορὸς ταύτην τῷ Θεῷ τὴν ἱκετείαν προσφέρει.

(2) Ἔφη δὲ ϗ ὁ Χρυσοῤῥήμων· „ Καθάπερ γὰρ δένδρον ἰσχυρὸν, ϗ κατὰ πολλοῦ τοῦ βάθους τῆς γῆς παρατέμπον τὴν ῥίζαν, πρὸς ἅπασαν πνευμάτων βίαν ἀνθίσαται· τὸ δὲ περὶ τὴν ἐπιφάνειαν κείμενον, μικρᾶς προσπεσούσης αὔρας διασαλεύεται· οὕτω δὴ ϗ αἱ εὐχαὶ αἱ μὲν κάτωθεν ἀνιοῦσαι, ϗ πρὸς τὸ βάθος ἐῤῥιζωμέναι, κἂν μυρίοι προσέλθωσι λογισμοὶ, κἂν ἅπασα ἡ τοῦ Διαβόλου παράταξις, ἐκτενεῖς μενοῦσι ϗ ἀνένδοτοι, μὴ περιτρεπόμεναι· αἱ δὲ ἀπὸ τοῦ σόματος ϗ τῶν χειλέων προϊοῦσαι, οὔτε πρὸς ὕψος ἀνατείνονται, οὔτε πρὸς τὸν Θεὸν ἀναβῆναι δύνανται, διὰ τὴν ῥαθυμίαν τοῦ προσιόντος· τὸν γὰρ τοιοῦτον, κἂν κτύπος γένηται, περιέτρεψε· κἂν θόρυβος, ἀπήγαγε τῆς ἱκετηρίας· ϗ τὸ μὲν σόμα, ἠχεῖ· ἡ δὲ καρδία, κενὴ, ϗ ἡ διάνοια, ἔρημος. λέγει δὲ ϗ ὁ Ἀνώνυμος· „ Ἐν Παροιμίαις γράφεται· „ Ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός. (Παρ. ιη΄. 4.) ϗ ἐν τῇ Ἰουδίθ· „ Βάθος καρδίας ἀνδρὸς οὐχ εὑρήσετε· ϗ λόγους τῆς διανοίας αὐτοῦ οὐ λήψεσθε· (Ἰουδ. η΄. 14.)

2 : „ Κύριε, εἰσάκουσον τῆς φωνῆς μου·
„ Γενηθήτω τὰ ὦτά σου προσέχοντα
„ εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Ἄκουσον, λέγει, Κύριε, την ἀπὸ βάθους καρδίας ἀναπεμφθεῖσαν φωνήν μου. καὶ ἡ ἀκουστική σου δύναμις, ἂς προσέξῃ εἰς αὐτὴν, ὡς εὔλογον, καὶ θερμὴν καὶ μὲ δύναμιν προφερομένην. (1).

3 : „ Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε
„ Κύριε, τίς ὑποστήσεται;

Ἀνίσως, λέγει, ἐσὺ Κύριε, ἐξετάσῃς καὶ ἐρευνήσῃς ἀκριβῶς ὅλας τὰς ἀνομίας τῶν ἀνθρώπων, ποῖος ἄνθρωπος θέλει ὑποφέρει τὴν ἐξέτασιν καὶ ἔρευναν ταύτην; ἢ ποῖος θέλει εὑρεθῇ ἀθῶος καὶ καθαρός; βέβαια οὐδείς. λέγει γὰρ ὁ Σολομὼν „ Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; (Παρ. κ. 9.) καὶ ὁ Παῦλος δὲ λέγει „ Πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ (Ῥωμ. γ. 23) καὶ πάλιν „ Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. (α. Κορ. δ. 4) ὁ δὲ διπλασιασμὸς τοῦ Κύριε Κύριε, εἶναι λόγος ἐκείνου, ὁποῦ θαυμάζει τὴν πολλὴν φιλανθρωπίαν καὶ ἀγαθότητα τοῦ Θεοῦ. (2)

4 : „ Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Τὸ ὅτι ἐδῶ εἶναι ἀντὶ τοῦ, ὄντως. ὄντως, λέγει, καὶ ἀληθῶς κοντὰ εἰς ἐσένα Κύριε, εἶναι ὁ κυρίως ἱλασμὸς, καὶ τὸ ἀληθινὸν ἔλεος. διὰ τοῦτο καὶ μὲ εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν ἐξετάζεις τὰς ἁμαρτίας τῶν ἀνθρώπων, καὶ ὄχι μὲ ἀκρίβειαν. (3)

„ Ἐ-

14.) ϗ ἡ Σαμαρεῖτις εἶπε· „ Τὸ φρέαρ ἐστὶ βαθύ. ϗ ὁ Ἀπόστολος· „ Τὸ Πνεῦμα πάντα ἐρευνᾷ ϗ τὰ βάθη τοῦ Θεοῦ· ἐπειδὴ οὖν τὸ βάθος (ὡς ἐπιτοπλεῖστον) ἐν ἐπαίνῳ λαμβάνεται· διὰ τοῦτο ϗ ὁ Προφήτης φησιν· „ Ἐκ βαθέων ἐκέκραξά σοι. ϗ ὁ Θεοδώριτος· „ Τῶν γὰρ μόνοις κεχρημένων τοῖς χείλεσιν ἡ θεία κατηγορεῖ Γραφή· ϗ νῦν μέν φησιν ὁ Προφήτης Ἱερεμίας πρὸς τὸν τῶν ὅλων Θεόν· „ Ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, πόῤῥω δὲ ἀπὸ τῶν νεφρῶν αὐτῶν· νῦν δὲ αὐτὸς ὁ Θεὸς διὰ Ἡσαΐου τοῦ Προφήτου κατηγορεῖ λέγων· „ Οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· οἱ δὲ νῦν ἱκετεύοντες, ἀπὸ βάθους τὴν ἱκετείαν ἀναπέμπουσιν.

(1) Δύω ἐντεῦθεν μανθάνομεν, λέγει ὁ Χρυσόστομος, ὅτι ἁπλῶς οὐκ ἔστι τῶν παρὰ τοῦ Θεοῦ τυχεῖν, ἐὰν μὴ τὰ παρ' ἡμῶν ὑπάρξῃ· διὸ ϗ πρότερόν φησιν· „ Ἐκ βαθέων ἐκέκραξα, ϗ τότε ἐπάγει· εἰσάκουσον· ἔπειτα, ὅτι εὐχὴ ἐκτεταμένη ϗ δακρύων κατανύξεως γέμουσα, πολλὴν ἔχει δύναμιν πρὸς τὸ πεῖσαι τὸν Θεὸν ἐπινεῦσαι τοῖς λεγομένοις· ϗ γὰρ ὥσπερ μέγα τι κατορθωκὼς οὕτω φησί· Κύριε εἰσάκουσον τῆς φωνῆς μου. ὁ δὲ Θεοδώριτος, τὴν ἀκουστικὴν ἐνέργειαν, ϗ ὀπτικὴν προσηγόρευσεν εἰπών· „ Ὦτα προσέχοντα· ἡμῶν γὰρ οἱ ὀφθαλμοὶ τὴν ὀπτικὴν ἔχουσι δύναμιν· τὰ δὲ ὦτα τὴν ἀκουστικὴν ἐνέργειαν ἐπιστεύθη· ὁ δὲ Θεὸς, ᾗ ἀκούει, ταύτῃ ϗ βλέπει· ϗ ᾗ βλέπει ταύτῃ ϗ ἀκούει· τηρεῖ γὰρ, ὅπως εἴρηται· ὦτα προσέχοντα, ὡς τῆς αὐτῆς τοῦ Θεοῦ δυνάμεως καὶ ἀκουστικῆς οὔσης ϗ ὁρατικῆς.

(2) Ὅθεν εἶπε ϗ ὁ Χρυσορρήμων· „ Οὐ γάρ ἐστιν οὐκ ἔστιν οὐδένα μετὰ ἀκριβείας παρέχοντα τῶν πραγμάτων τὰς εὐθύνας, τυχεῖν ἐλέους ϗ φιλανθρωπίας ποτέ. ϗ ὁ Θεοδώριτος· „ Ἐὰν γὰρ δικαίως τὰ τῆς δικαιοσύνης κατάσχῃς ζυγὰ, τίς ἱκανὸς τὴν ὑπὸ ταύτης ἐκφερομένην ψῆφον ὑπενεγκεῖν; ἀνάγκη γὰρ πάντας ὑπομεῖναι τὸν ὄλεθρον.

(3) „ Τουτέστιν οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασι, (λέγει ὁ Χρυσοῦς Ἅγιος) ἀλλ' ἐν τῇ ἀγαθότητι, φησι, τῇ σῇ ἐστι τὸ διαφυγεῖν τὴν κόλασιν· τοῦτο ϗ διὰ τοῦ Προφήτου δηλῶν ἔλεγεν· „ Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου. (Ἡσ. μγ'. 25.) τουτέστι· τοῦτο ἐμόν ἐστι· τῆς ἐμῆς ἀγαθότητος· τῆς ἐμῆς φιλανθρωπίας· ὡς τά γε σὰ, οὐκ ἀρκεῖ ποτε πρὸς ἐλευθερίαν τιμωρίας, ἂν μὴ τὰ τῆς ἐμῆς προστεθῇ φιλανθρωπίας. λέγει

δὲ

„ Ἕνεκεν τοῦ ὀνόματός σου.

5 : „ Ὑπέμεινά σε Κύριε.

Ἐγὼ, λέγει, σὲ ἐπρόσμεινα νὰ μοὶ βοηθήσῃς Κύριε, ὄχι διὰ τὰς ἐδικάς μου ἀρετὰς καὶ κατορθώματα. οὐ γὰρ ἔχω τοιαῦτα, με τὸ νὰ εἶμαι ἁμαρτωλός. ἀλλὰ διὰ τὸ ὄνομά σου: ἤτοι διὰ νὰ μὴν ἀτιμασθῇ τὸ ἅγιον ὄνομά σου ἀπὸ τοὺς ἐχθρούς μου. οἵτινες ἔχουν νὰ λέγουν, ὅτι δὲν ἔχεις δύναμιν νὰ σώζῃς τὸν λαόν σου. λέγει γὰρ καὶ διὰ Ἰεζεκιὴλ. οὐχ ὑμῖν ἐγὼ ποιῶ οἶκος Ἰσραὴλ. ἀλλ' ἢ διὰ τὸ ὄνομά σου τὸ ἅγιον (Ἰεζ. λϛ'. 22.) καὶ ἀλλαχοῦ. „ Καὶ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν Ἐθνῶν. (Ἰεζ. κ. 9) (1.)

„ Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.

Ἡ ψυχή μου, λέγει, Κύριε, ἤλπισεν εἰς τὴν ὑπόσχεσιν, ὁποῦ ἔδωκες πρὸς τοὺς Πατριάρχας καὶ προγόνους ἡμῶν: δηλαδὴ, ὅτι θέλομεν κληρονομήσομεν τὴν γῆν τῆς ἐπαγγελίας. καὶ ὅτι ἀνίσως σου ἀκούσωμεν, θέλομεν φάγομεν τὰ ἀγαθὰ τῆς γῆς. „ Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε (Ἡσ. α'. 19.) ἢ καὶ εἰς τὴν ὑπόσχεσίν σου ἤλπισεν ἡ ψυχή μου, τὴν ὁποίαν ἐποίησας: ὅτι δηλαδὴ θέλεις σώσεις ἐκείνους, ὁποῦ εὐαρεστοῦν εἰς ἐσένα, καὶ μετανοοῦν διὰ τὰς ἁμαρτίας των. (2)

6 : „ Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον:

Εἰς τὸν Κύριον μόνον, λέγει, ἤλπισεν ἡ ψυχή μου, καὶ ἔχι εἰς κάνενα ἄλλο πρᾶγμα τοῦ Κόσμου τούτου.

„ Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός.

„ ἀπὸ φυλακῆς πρωΐας.

7 : „ Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὁ Ἰσραηλιτικὸς λαὸς, λέγει, ἂς ἐλπίσῃ εἰς τὸν Κύριον, ὁ ὁποῖος μόνος δύναται νὰ λυτρώνῃ καὶ νὰ σώζῃ τὸν ἄνθρωπον: φυλακὰς δὲ ὠνόμαζον οἱ παλαιοὶ τὰ μέρη τῆς νυκτός. διότι εἰς τέσσαρα μέρη, ἢ φυλακὰς ἐμοίραζον τὴν νύκτα οἱ στρατιῶται, οἱ φυλάττοντες βάρδιαν ἐν τοῖς στρατεύμασι· καθ' ὃ δὲ μέρος καὶ φυλακὴ, περιεῖχε τρεῖς ὥρας. ὅθεν ἀκολούθως τὸ τέταρτον μέρος τῆς νυκτός: ἤτοι τὸ ὄρθρινὸν καὶ πρὸς τὸ ξημέρωμα ὄν, ὠνόμαζον φυλακὴν πρωΐας. καθότι ἡ φυλακὴ αὕτη ἐμήνυεν, ὅτι κοντὰ εἶναι τὸ πρωΐ τῆς ἡμέρας, συμβουλεύει λοιπὸν ὁ Προφήτης ὅλον τὸν Ἰσραηλιτικὸν λαὸν, νὰ ἐλπίζῃ εἰς μόνον τὸν Κύριον ὅλην του τὴν ζωὴν, κατὰ τὸν Χρυσόστομον. ἐπειδὴ διὰ μέσου τοῦ ἡμερονυκτίου ἐφανέρωσεν ὅλην τὴν ζωὴν, ἀρχίσας γὰρ ἀπὸ τὴν φυλακὴν τῆς πρωΐας, καὶ ἐλθὼν ἕως εἰς τὴν νύκτα· ἔπειτα πάλιν καταντήσας εἰς τὴν αὐτὴν φυλακὴν τῆς πρωΐας, ἐμιμήθη τὴν κυκλωφορικὴν τοῦ ἡμερονυκτίου περίοδον, ἀπὸ πρωΐας ἀρχομένην

δὲ καὶ ὁ Ὠριγένης· „ Ὁ παρὰ τῷ Κυρίῳ ἱλασμὸς τῶν ἀνομιῶν, ὁ Χριστός ἐστιν· αὐτὸς γὰρ ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. (Α'. Ἰωάν. β'. 2.)

(1) Λέγει δὲ ὁ Ὠριγένης· „ Ἡ διὰ τὸ τοῦ Θεοῦ ὄνομα ὑπομονὴ, κρείττων τῆς δι' ἄλλο τι· καὶ ἡ εἰς τὸν λόγον τοῦ Κυρίου ἐλπίζουσα ψυχὴ, ἐπαινετῶς ὑπομένει.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Ἐπὶ τῷ λόγῳ σου χρηστὰς ἔχω τὰς ἐλπίδας· ποίῳ λόγῳ; τῷ τῆς φιλανθρωπίας· αὐτὸς γάρ ἐστιν ὁ λέγων· „ Ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. καὶ ὁ Θεοδώρητος· „ Λόγον ἐνταῦθα τὴν ἀγαθὴν ὑπόσχεσιν κέκληκε· φιλανθρωπίαν δὲ, τοῖς μετανοοῦσιν ὑπέσχετο.

νην ; καὶ πάλιν εἰς πρωΐαν τελειώνουσαν. (1)

„ Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ
„ πολλὴ παρ' αὐτῷ λύτρωσις.

Εἰς τὸν Κύριον, λέγει, εὑρίσκεται τὸ ἀληθινὸν, καὶ ὀγλίγωρον, καὶ δυνατὸν, καὶ ἀσφαλέστατον ἔλεος, τὸ ὁποῖον δίδεται εἰς τοὺς ἀξίους ὄντας τοῦ τοιούτου ἐλέους. (2)

8: „ Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ
„ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὁ Κύριος, λέγει, θέλει λυτρώσει τὸν Ἰσραηλιτικὸν λαὸν ἀπὸ ὅλας του τὰς ἀνομίας. ὅταν καὶ αὐτὸς μετανοῆ δι' αὐτὰς, καὶ εὐχαρεστῆ τῷ Θεῷ, καὶ κατὰ νόμους πολιτεύεται. ἁρμόζει δὲ τὸ ῥητὸν τοῦτο, καὶ ὅλος ὁ Ψαλμὸς, καὶ εἰς τὸν νέον Ἰσραὴλ: τὸν λαὸν δηλαδὴ τῶν Χριστιανῶν. (3).

ΨΑΛ.

---

(1) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ἀντὶ τοῦ διὰ πάσης τῆς ἡμέρας· φυλακὴ γὰρ πρωΐα ἐστὶν ἡ τελευταία ὥρα τῆς νυκτός· οἱ γὰρ τελευταῖοι φύλακες μέχρις ἐκείνου φυλάττουσι τοῦ καιροῦ. ϗ ὁ Χρυσοῤῥήμων· „ Πάντα τὸν βίον, φησιν, ἐλπισάτω: τουτέστι νύκτα ϗ ἡμέραν· οὐδὲν γὰρ πρὸς σωτηρίαν ἴσον τοῦ διὰ παντὸς ὁρᾷν, (πρὸς Θεὸν) ϗ τῆς ἐλπίδος ἐκκρέμασθαι ἐκείνης· κἂν μυρία προσπίπτῃ τὰ εἰς ἀπόγνωσιν ἐμβάλλοντα· τοῦτο τεῖχος ἀῤῥαγές· τοῦτο ἀσφάλεια ἀχείρωτος· τοῦτο πύργος ἄμαχος· κἂν τὰ πράγματα τοίνυν θάνατον ἀπειλῇ· καὶ κίνδυνον ϗ πανωλεθρίαν, μὴ ἀποστῇς ἐλπίζων εἰς Θεὸν, ϗ προσδοκῶν τὴν παρ' αὐτοῦ σωτηρίαν. λέγει δὲ ὁ Ὠριγένης· „ Τοῦ ἀρχῆθεν καλῶς βιώσαντος ἡ ψυχὴ, ἐλπίζει ἐπὶ Κύριον ἀπὸ φυλακῆς πρωΐας· κἂν διαμένῃ ποιῶν τὰ τοῦ ἐλπίζειν ἄξια ἕως τέλους, ἐλπίζει ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ὅτε οὐ δύναται ἐργάζεσθαι· εἰδὲ μὴ διατελέσῃ, οὐκ ἤλπισεν ἐπὶ Κύριον μέχρι νυκτός· τῶν ἀπὸ πρώτης οὖν ἡλικίας προτρεψάμενός τις εὐσεβεῖν, λεγέτω· „ Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. ϗ ὁ Ἀνώνυμος· „ Προτρέπων ἐκ νεότητος ἡμᾶς ϗ ἀρχῆθεν ἀθλεῖν, διὰ τοῦτο φησι, δεῖν ἀπὸ φυλακῆς πρωΐας ἐλπίζειν ἐπὶ Κύριον.

(2) Τί ἐστιν, ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος; ἐρωτᾷ ὁ Χρυσόστομος: τουτέστι πηγὴ ϗ θησαυρὸς ἐκεῖ φιλανθρωπίας ἐπηγάζων διηνεκῶς· ὅπου δὲ ἔλεος, ϗ λύτρωσις, ϗ οὐχ ἁπλῶς λύτρωσις, ἀλλὰ πολλὴ, ἐκεῖ ϗ φιλανθρωπίας ἄπειρον πέλαγος· κἂν τοίνυν ὑπὸ τῶν ἁμαρτιῶν ὦμεν προδεδομένοι, ἀναπίπτειν οὐ χρὴ, οὐδὲ ἀπαγορεύειν· ὅπου γὰρ ἔλεος ϗ φιλανθρωπία, οὐ γίνονται τῶν πεπλημμελημένων ἀκριβεῖς εὐθύναι· τοῦ δικάζοντος διὰ τὸν πολὺν ἔλεον, ϗ τὸ πρὸς φιλανθρωπίαν ἐπιῤῥεπὲς, τὰ πολλὰ παρατρέχοντος· τοιοῦτος γὰρ ὁ Θεὸς, πρὸς τὸ ἐλεεῖν διηνεκῶς, ϗ συγγνώμην διδόναι ἐπιῤῥεπὴς ϗ πρόχειρος. ϗ ὁ Θεοδώριτος· „ Οὐκ ἀρκοῦνται οἱ δίκαιοι μόνον τῆς εἰς Θεὸν ἐλπίδος ἔχειν τὸν πλοῦτον· ἀλλὰ ϗ τοὺς ἄλλους ἅπαντας ἐπὶ τὴν ὁμοίαν κτῆσιν προτρέπουσι, ϗ τὸ ἐντεῦθεν φυόμενον δηλοῦσι κέρδος· φιλοικτίρμων γὰρ ϗ φιλάνθρωπος ὁ Δεσπότης, ϗ τοῖς μεταμελομένοις παρέχει τὴν σωτηρίαν.

(3) Λέγει δὲ ὁ Θεοδώριτος· „ Πρόῤῥησιν ὁ λόγος ἔχει τὴν κατὰ τὸν Δεσπότην· αὐτὸς γάρ ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὕτω ϗ ὁ θεῖος ἔφη Γαβριήλ· ϗ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

ΨΑΛΜΟΣ ΡΛ'.

„ Ὠδὴ τῶν Ἀναβαθμῶν.

1 : „ Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, „ οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλ- „ μοί μου.

Καὶ τοῦτον τὸν Ψαλμὸν, ἔγραψε μὲν ὁ Δαβὶδ διὰ τὸν ἑαυτόν του. διηγεῖται γὰρ εἰς αὐτὸν ὁποίαν ταπείνωσιν εἶχεν, ὅταν ἦτον ἐλεύθερος ἀπὸ τοὺς πειρασμούς. διδάσκει δὲ μὲ αὐτὸν καὶ τὸν λαὸν τῶν Ἑβραίων, ὁποῦ ἐγύρισαν ἀπὸ τὴν σκλαβίαν τῆς Βαβυλῶνος, νὰ ταπεινοφρονῇ καὶ αὐτὸς παρομοίως μὲ τὸν Δαβὶδ, καὶ νὰ μὴν ἐλπίζῃ εἰς τὰ ἑδικά του κατορθώματα καὶ ἀρετάς, ἀλλὰ νὰ ἐλπίζῃ εἰς τὸν Κύριον. Κύριε, λέγει, δὲν ὑψώθη ἡ καρδία μου ἀπὸ τὴν οἴησιν καὶ τὴν ἔπαρσιν. οὐδὲ ἐμετεωρίσθησαν καὶ ἔβλεπον εἰς τὰ ὑψηλὰ οἱ ὀφθαλμοί μου, ἀπὸ τὴν νόσον τῆς ὑπερηφανίας. (1) τί λοιπόν; καυχᾶται ὁ Προφήτης μὲ τὰ λόγια ταῦτα; ναὶ καυχᾶται, κατὰ τὸν Χρυσόστομον. διότι ὅταν τὸ καλέσῃ ὁ καιρὸς καὶ ἡ ἀνάγκη, πρέπει νὰ καυχᾶται τινας καὶ τὰ κατορθώματά του. ὅταν τὸ καύχημα γίνεται, ὄχι διὰ ἐπίδειξιν καὶ ὑψηλοφροσύνην. ἀλλὰ διὰ τὴν ὠφέλειαν τῶν ἀκροατῶν. καὶ διὰ νὰ τραβέξῃ αὐτοὺς εἰς τὴν ὁμοίαν μίμησιν τῆς ἀρετῆς. (2) λέγοντας δὲ ὁ Δαβὶδ πρῶτον, ὅτι δὲν ὑψώθη ἡ καρδία μου, καὶ ἔπειτα, ὅτι οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, ἔδειξεν ἐκ τούτου, ὅτι πρῶτον ὑψώνεται καὶ ὑπερηφανεύεται ἡ καρδία, καὶ ἔπειτα μετεω-

---

(1) Λέγει δὲ ὁ μέγας Βασίλειος· „ Τῆς αὐτῆς κακίας ἐστὶ τῷ ὑπερηφάνῳ, ὁ ὑψηλὸς καὶ μετέωρος, διαφέρων πρὸς αὐτὸν τῇ σχέσει μόνον· ὁ μὲν γὰρ, καθ' ἑτέρων τῇ ὕβρει καὶ τῇ ὑπερηφανίᾳ χρῆται· ὁ δὲ, καὶ μόνος ὢν, ἑαυτὸν ὑπεραίρει καὶ μετεωρίζει τῇ ματαιότητι τοῦ νοὸς καὶ ἀνυψοῖ· καὶ ἵνα μοι νοήσῃς τὸν ἀκριβῆ μετέωρον, ἀνάμνησον σεαυτὸν ἐν τῇ ματαιότητι τῆς νεότητός σου, εἴποτε κατὰ σαυτὸν γενόμενος, ἔλαβες ἔννοιαν τοῦ βίου καὶ τῶν ἐπιτηδευμάτων· πῶς εὐκόλως κατὰ τὴν φαντασίαν τοῦ νοῦ, ἐπέδραμες ἀρχὰς ἐξ ἀρχῶν· δυναστείας ἐκ δυναστειῶν· πλοῦτον περιεβάλου· οἰκίας ᾠκοδόμησας· χρυσὸν καὶ ἄργυρον ἀπέθου· καὶ τὰ λοιπά· ὁ τοιοῦτος νοῦς ὑψηλός ἐστι καὶ μετέωρος· οὐδαμοῦ ἐστήρικται· ἁμαρτία οὖν καὶ ὁ μετεωρισμός· καὶ ἄκουσον τοῦ Κυρίου λέγοντος· „ Μὴ μετεωρίζεσθε· (Λουκ. ιβ'. 29.) καὶ ὁ μακάριος Δαβὶδ ἐν τοῖς κατορθώμασιν ἀριθμεῖ, τὸ μὴ μετεωρισθῆναι, μηδὲ ὑψωθῆναι.

(2) Ὅθεν εἶπεν ὁ Χρυσορρήμων· „ Οὐ πανταχοῦ τὸ καυχᾶσθαι κεκώλυται· ἀλλ' ἔστιν ὅπου καὶ ἀναγκαῖόν ἐστιν· ὁ γὰρ ἐπὶ τῷ σταυρῷ μὴ καυχώμενος, πάντων ἐστὶν ἀφρονέστατος· ὁ ἐπὶ τῇ πίστει μὴ καυχώμενος, πάντων ἐστὶν ἀθλιώτερος· διὸ ὁ Παῦλος λέγει· „ Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω· πῶς δὲ κακὸν τὸ καυχᾶσθαι; ἐὰν, ὡς Φαρισαῖος, αὐτὸ ποιῶμεν.

τεωρίζονται οἱ ὀφθαλμοί : ἤτοι βλέπουν ὑψηλὰ καὶ μετέωρα. (1)

„ Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ „ εν θαυμασίοις ὑπὲρ ἐμέ.

Ἐγὼ, λέγει, Κύριε, δὲν ἐσυναναστρεφόμην μὲ ἀνθρώπους, μεγαλιτέρους καὶ θαυμασιωτέρους ἀπὸ λόγου μου· οὐδὲ ἐπολιτευόμην με ἀνθρώπους, ὁποῦ ἦτον ἀνώτεροι τῆς ἐδικῆς μου καταστάσεως, κατὰ τὸν Χρυσόστομον. διατὶ ἐλογίαζα τὸν ἐαυτόν μου, πῶς εἶμαι ἀνάξιος τῆς ἐκείνων συναναστροφῆς. ἐξω μένον ἀνίσως τινὲς ἀπὸ αὐτοὺς μὲ ἀνάγκασαν καὶ μη θέλοντα, νὰ τοὺς συναναστραφῶ. ἢ μεγάλους καὶ θαυμασίους ὀνομάζει, τοὺς ἀνθρώπους ἐκείνους, ὁ ὁποῖοι νομίζουν εἰς τὸν ἐαυτόν τους, ὅτι εἶναι τοιοῦτοι μεγάλοι καὶ θαυμάσιοι: ἤτοι τοὺς ὑπερηφάνους καὶ ὑψηλόφρονας. ωσὰν νὰ λεγῃ. ἐγὼ ἔχι μονον ἀπέφευγον τὸ πάθος τῆς ὑπερηφανίας, ἀλλ᾽ οὐδὲ ἐσυναναστρεφόμην μὲ τοὺς ἔχοντας τὸ πάθος αὐτό. (2)

2: „ Εἰμὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγα-
„ λακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ
„ ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου

Ἀνίσως, λέγει, ἐγὼ δὲν ἐταπεινοφρόνουν, καθὼς ταπεινοφρονεῖ χοντὰ εἰς τὴν μητέρα του τὸ νήπιον, ὁποῦ ἤδη ἐχωρίσθη ἀπὸ τὸ νὰ βυζάνῃ. ἀλλὰ ὑψώθηκα καὶ ὑπερηφανεύθηκα: ἔτζι καθὼς ἐγὼ ὑπερηφανεύθηκα, νὰ ἀνταποδώσῃς, Κύριε, καὶ να κάμῃς εἰς ἐμὲ τὴν πρέπουσαν παιδείαν τῆς ὑπερηφανίας μου. ἢ πολλὰ νὰ ἀνταποδώσῃς καὶ νὰ τιμωρήσῃς τὴν ψυχήν μου. τοῦ ὡς, ἐπιτατικοῦ λαμβανομένου. (3)

3: „ Ἐλ-

(1) Ὅθεν ὁ Χρυσορρήμων λέγει· „ Οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἥψατό μου τῆς ψυχῆς ἡ πονηρία· ὃ πάντων αἴτιον τῶν κακῶν, ἢ ῥίζα παρανομίας ἐσχάτης· οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐκ ἀνέσπασά, φησι, τὰς ὀφρῦς οὐδὲ ἀνέτεινα τὸν αὐχένα· ἀπὸ γὰρ τῆς ἔνδοθεν πηγῆς τοῦ πάθους ὑπερβλύζον τὸ νόσημα, ἢ τὸ σῶμα σχηματίζει πρὸς τὴν ἔνδοθεν φλεγμονήν.

(2) Ὅθεν εἶπεν ὁ Χρυσόστομος· „ Οὐ μικρὸν δὲ τοῦτο κατόρθωμα, τὸ φεύγειν τοὺς ὑπερόγκους· τὸ μισεῖν τοὺς ἀλαζόνας· τὸ ἀποστρέφεσθαι ἢ βδελύσσεσθαι· μεγίστη δὲ ἀρετῆς ἀσφάλεια· μεγίστης ταπεινοφροσύνης φυλακή. ὁ δὲ θεῖος Κάλλιστος ὁ Τηλικούδης ἐν τοῖς ἀνεκδότοις αὐτοῦ Κεφαλαίοις, ἀναστρέφει τὰ τοῦ Ψαλμοῦ τούτου οὕτω· „ Κύριε εἰμὴ ὑψώθη ἡ καρδία μου, ἢ εἰμὴ μετεωρίσθησαν οἱ ὀφθαλμοί μου, ἢ εἰμὴ ἐπορεύθην ἐν μεγάλοις ἢ θαυμασίοις τοῖς ὑπὲρ ἐμὲ οὖσι: δηλαδὴ ὑψηλοῖς ἢ ἀλαλήτοις Μυστηρίοις τοῦ Πνεύματος, ἢ εἰμὴ ἠξιώθην τῆς τοῦ Θεοῦ πνευματικῆς θεωρίας, οὐκ ἂν ἐταπεινοφρόνουν· καθάπερ δηλαδὴ ἢ ὁ Ἡσαΐας, ὅταν ἠξιώθη τῆς ὑψηλῆς τοῦ Θεοῦ θεωρίας, τότε ἀληθῶς ἐταπεινώθη, ἢ εἶπεν· „ Ὦ τάλας ἐγώ. ὁμοίως ἢ ὁ Ἀβραάμ, ὅταν ἐλάλησε μετὰ τοῦ Θεοῦ, εἶπεν· „ Ἐγὼ δέ εἰμι γῆ ἢ σποδός· ὁμοίως ἢ ὁ Ἰώβ· ἐὰν γὰρ δὲν ἀναβῇ τινας εἰς τὴν πνευματικὴν θεωρίαν τῆς ἀπειρίας τοῦ Θεοῦ, ἀληθῆ ταπείνωσιν κτήσασθαι οὐ δύναται.

(3) Λέγει δὲ ὁ Χρυσόστομος· „ Καθ᾽ ὑπερβατόν ἐστι τὸ εἰρημένον· εἰμὴ ἐταπεινοφρόνουν ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ἀλλ᾽ ὕψωσα τὴν καρδίαν μου· οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον τῆς κακίας καθαρὸς ἤμην, τῆς ἀλαζονείας λέγω, οὐδὲ μόνον τῶν ἐχόντων αὐτὴν ἀλλότριος· ἀλλὰ ἢ τὴν ἀρετὴν τὴν ἐναντίαν αὐτῇ μετὰ πολλῆς ἐδεξάμην τῆς ὑπερβολῆς, τὴν ταπεινοφροσύνην, τὸ μετριάζειν· τοιαύτην, φησιν, ἐκτησάμην κἀγὼ ταπεινοφροσύνην· ὡς τὸ ὑπομάζιον παιδίον ἔχεται τῆς μητρὸς, ἢ τεταπείνωται, ἢ ἀλαζονείας πάσης ἐστὶ καθαρόν· τοῦτο, ὃ τοῖς Μαθηταῖς ὁ Κύριος ἐκέλευσε λέγων· „ Ἐὰν μὴ στραφῆτε ἢ γένησθε ὡς τὰ παιδία, οὐμὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· οὐχ ἁπλῶς δὲ τοῦ ἀπογεγαλακτισμένου ἐμνήσθη, ἀλλὰ τὴν θλίψιν θέλων παραστῆσαι· καθάπερ γὰρ τὸ παιδίον ἄρτι τοῦ μασθοῦ ἀποσπασθὲν, οὐδ᾽ οὕτως ἀφίσταται τῆς μητρὸς, ἀλλ᾽ ὀδυνώμενον θρηνοῦν ἢ κλαυθμυριζόμενον, ὅμως ἔχεται τῆς τεκούσης· οὕτω κἀγώ, φησι, ἢ ἐν θλίψει ἢ ἐν στενοχωρίᾳ ἢ ἐν πολλαῖς ὢν συμφοραῖς, εἰχόμην τοῦ Θεοῦ· ἢ εἰμὴ οὕτως ἤμην, ἀνταποδο-

8 : „ Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, „ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἂς ἐλπίζῃ, λέγει, εἰς τὸν Κύριον ὁ Ἰσραηλιτικὸς λαὸς ἀπὸ τώρα καὶ εἰς τὸν ἑξῆς χρόνον, μιμούμενος ἐμένα· ὅστις ἐλπίζω εἰς τὸν Κύριον καὶ ἐν τῇ θλίψει, καὶ ἐν τῇ ἀνέσει, καὶ εἰς κάθε καιρόν· ἁρμόζει δὲ ὁ Ψαλμὸς οὗτος καὶ εἰς τὸν νέον Ἰσραὴλ : ἤτοι εἰς τὸν λαὸν τῶν Χριστιανῶν. ἴσως δὲ ὁ Δαβὶδ ἔγραψε καὶ τὸν παρόντα Ψαλμὸν, καὶ τὸν πρὸ αὐτοῦ, ἐκ προσώπου τοῦ εὐσεβεςέρου λαοῦ τῶν Ἑβραίων, τῶν ἀπὸ τὴν σκλαβίαν ἐπιςρεψάντων, ὁ ὁποῖος λαὸς διηγεῖται διὰ τοῦ παρόντος Ψαλμοῦ, ὁποίας μὲν προσευχὰς προσηύχετο, ὅταν εὑρίσκετο εἰς πειρασμούς. ποίαν δὲ ταπεινοφροσύνην εἶχεν, ὅταν ἦτον ἐλεύθερος ἀπὸ πειρασμούς· διὰ νὰ διδάξῃ μὲ τὸ παράδειγμά του καὶ ἡμᾶς τοὺς Χριστιανοὺς, πῶς νὰ προσευχώμεθα εἰς τὸν καιρὸν τῶν πειρασμῶν. καὶ πῶς νὰ ταπεινοφρονοῦμεν. ἡμᾶς, λέγω, οἵτινες ἐλυτρώθημεν ἀπὸ τὴν νοητὴν σκλαβίαν τῶν παθῶν καὶ Δαιμόνων. (1)

ΨΑΛΜΟΣ ΡΛΑ.

Ὠδὴ τῶν Ἀναβαθμῶν.

1 : „ Μνήσθητι Κύριε, τοῦ Δαβὶδ, „ καὶ πάσης τῆς πρᾳότητος αὐ„ τοῦ.

Καὶ τοῦτον τὸν ψαλμὸν συνέγραψεν ὁ Δαβὶδ ἐκ προσώπου τοῦ εὐσεβεςέρου λαοῦ τῶν Ἑβραίων, ὅταν ἐγύρισαν εἰς τὴν Ἱερουσαλὴμ ἀπὸ τὴν Βαβυλῶνα. διὰ τοῦ Ψαλμοῦ γὰρ τούτου παρακαλεῖ αὐτὸς τὸν Θεὸν νὰ οἰκοδομηθῇ πάλιν ὁ ναὸς, ἂν ὄχι

δι-

δοθείη, φησιν, ἐπὶ τὴν ψυχήν μου: τουτέςι δίκην δοίην τὴν ἐσχάτην. ὁ δὲ ὅσιος Νικήτας ὁ Στηθάτης, τὸν φυσικὸν καὶ χαρίεντα λόγον τοῦ ἀπογεγαλακτισμένου νηπίου περιεργασθεὶς λέγει· „ Τοιοῦτος γέγονα πρὸς σὲ Κύριε, διὰ τῆς ταπεινώσεως εὐμενίζωνσε, οἷα τὰ ἄρτι τῆς Μητρῴας θηλῆς ἀποσπώμενα νήπια· ἃ τῇ μνήμῃ συνεχῶς τῆς τοῦ γάλακτος γλυκύτητος συνεχόμενα, παντοίοις ἐπιτηδεύμασι παρακλήσεως, τὰς τεκούσας ἐξευμενίζονται. ἵνα τῆς θηλῆς ἐπιλάβωνται, καὶ τῆς συνήθους ἐμφορηθῶσι τροφῆς· καὶ ὁ Θεοδώριτος· „ Οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου, εἰμὴ παραπλησίως, φησι, βρέφει, νῦν ἀπαλλαγέντι θηλῆς, καὶ τὴν μητέρα δειμαίνοντι ἔδεισάσε, καὶ ἐμαυτόνσοι ὑπέταξα.

(1) Λέγει δὲ ὁ Ὠριγένης· „ Ἐν μὲν τῇ πρὸ ταύτης ᾠδῇ λέλεκται· „ Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον· ἐν δὲ ταύτῃ, καὶ τὸ ἕως πότε· ἀπὸ τοῦ νῦν γὰρ, φησι, καὶ ἕως τοῦ αἰῶνος· μετ' ἐκεῖ-

δι' αὐτοὺς, ἀλλὰ κἂν διὰ τὴν σπουδὴν καὶ ἐπιμέλειαν ἐκείνην, ὁποῦ εἶχεν ἔτι ζῶν ὁ Δαβὶδ ὁ πρόγονος καὶ βασιλεὺς αὐτῶν, ζητῶν πρὸ τῆς οἰκοδομῆς νὰ εὕρῃ τόπον ἐπιτήδειον τοῦ τοιούτου ναοῦ: τοῦ ὕστερον δηλαδὴ κτισθέντος ἀπὸ τὸν υἱόν του Σολομῶντα. (1) πραότητα δὲ ὀνομάζει, τὴν ἀμνησικακίαν καὶ μακροθυμίαν τοῦ Δαβὶδ, τὴν ὁποίαν ἔδειχνεν εἰς τὸν Σαοὺλ, καὶ τοὺς μετ' αὐτοῦ. ὁμοίως καὶ εἰς τὸν Σεμεεὶ τὸν ὑβρίζοντα αὐτὸν, καὶ εἰς ἄλλους πολλούς. μόνην δὲ τὴν πραότητα τοῦ Δαβὶδ ἀναφέρουσιν οἱ Ἰουδαῖοι, διατὶ ταύτην τὴν ἀρετὴν κατ' ἐξαίρετον τρόπον ἐκατώρθωσεν ὁ Δαβίδ. ἢ καὶ διατὶ μὲ τὸ μέσον τῆς ἀρετῆς ταύτης, δηλοῦνται καὶ αἱ λοιπαὶ ἀρεταὶ τοῦ Δαβὶδ. ἐνθυμήσου, λέγουσι, Κύριε, ἐνθυμήσου τὸν Δαβὶδ ἐκεῖνον τὸν πραότατον, ὅστις διὰ τῆς πραότητος εὐηρέστησεν εἰς ἐσέ. (2)

2 : „ Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ
„ Θεῷ Ἰακώβ.

Ἐνθυμήσου, λέγει, Κύριε, πῶς ὁ Δαβὶδ ὑπεσχέθη εἰς ἐσένα τὸν Κύριον μὲ ὅρκον, διὰ νὰ κατορθώσῃ τὰ ἑξῆς ῥηθησόμενα.

3 : „ Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου
„ μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης
„ στρωμνῆς μου.

4 : „ Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου,
„ καὶ τοῖς βλεφάροις μου νυσταγμὸν
„ καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου.

5 : „ Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκη-
„ νωμα τῷ Θεῷ Ἰακώβ.

Ἐνθυμήσου, λέγει, Κύριε, πῶς ὁ Δαβὶδ ἕνα καιρὸν ζῆλον λαβὼν εἰς τὴν ψυχήν του· διατὶ ἐπλανᾶτο ἀπὸ τόπον εἰς τόπον ἡ Κιβωτὸς τοῦ Θεοῦ, ὑπεσχέθη μὲ ὅρκον, ὅτι δὲν θέλω κάμω τοῦτο καὶ τοῦτο, ἕως οὗ νὰ εὕρω τόπον ἄξιον: ἤγουν κατοικητήριον ἐπιτήδειον εἰς τὸν Θεόν: τουτέστι τόπον ναοῦ. καὶ τῇ ἀληθείᾳ δὲν ἀνεπαύθη ὁ θεῖος Δαβὶδ, ἕως οὗ εὗρε τὸν ἐπιτήδειον τόπον, εἰς τὸν ὁποῖον ὁ Σολομὼν ἔκτισε μετὰ ταῦτα τὸν περίφημον ἐκεῖνον ναόν. καθὼς ἱστορεῖ ἡ πρώτη τῶν παραλειπομένων ἐν Κεφ. κη. ἀφ' οὗ ἔδωκεν εἰς τὸν Σολομῶντα τὸν τύπον καὶ τὸ παράδειγμα ὅλου τοῦ ναοῦ. τὸ δὲ εἰ ἐδῶ, εἶναι ἀντὶ τοῦ οὐ: ἤτοι οὐκ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου. οὐ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου. καθὼς καὶ ἐν ἄλλοις εἴπομεν, ὅτι τὸ εἰ ἐπὶ ὅρκου λαμβανόμενον, νοεῖται ἀντὶ τοῦ οὐ. σκήνωμα δὲ καὶ οἶκος τοῦ Θεοῦ ἠμπορεῖ νὰ λέγεται ὁ ναός. δια-

τὶ

ἐκεῖνον γάρ τις ἀπολαύει τῶν ἐλπιζομένων. καὶ ὁ Θεοδώριτος· „ Ἔδειξεν ὁ προφητικὸς λόγος, τίνος χάριν ἐποιήσατο τὴν τῶν κατορθωμάτων διήγησιν· οὐ γὰρ ἑαυτοὺς σεμνύνοντες τὴν οἰκείαν διεξίασιν ἀρετὴν, ἀλλὰ τοὺς ἄλλους εἰς τὸν ἴσον διεγείροντες ζῆλον· διὸ πάντα τὸν Ἰσραὴλ τῆς αὐτῆς ἐλπίδος ἔχεσθαι παρεκάλεσαν· καὶ διηνεκῶς ταύτην ἔχειν, καὶ τοὺς ἐκ ταύτης φυομένους συλλέγειν καρπούς.

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Πολλὴν ὁ Ψαλμὸς πρὸς τὸν ὀγδοηκοστὸν ὄγδοον (ἤτοι τό· „ Τὰ ἐλέη σου Κύριε) ἔχει συγγένειαν· καὶ γὰρ ἐνταῦθα κἀκεῖ, τὸν τῶν ὅλων Θεὸν ἱκετεύουσιν οἱ ἐν Βαβυλῶνι δορυάλωτοι, τὰς πρὸς τὸν μέγαν Δαβὶδ ὑπ' αὐτοῦ γεγενημένας ὑποσχέσεις, ἀνθ' ἱκετηρίας προσφέροντες, καὶ τυχεῖν ἀξιοῦντες συγγνώμης· ἔχει δὲ καὶ πρόῤῥησιν τοῦ κατὰ σάρκα βλαστήσαντος ἐκ γένους Δαβὶδ τῆς οἰκουμένης Σωτῆρος.

(2) Ἄλλος δὲ λέγει· „ Ὥσπερ ὁ Ἰὼβ δίκαιος ὢν τὰ ἄλλα καὶ θεοφιλὴς, ἐπλεονέκτει ἐν ὑπομονῇ καὶ ἀνδρείᾳ· καὶ Ἰωσὴφ ἐν σωφροσύνῃ· καὶ Σολομὼν ἐν σοφίᾳ· πιστὸς δὲ ἦν Ἀβραάμ· οὕτω καὶ Δαβὶδ ἐν πραότητι· εἰ καὶ περὶ τοῦ Μωσέως γέγραπται· „ Καὶ ὁ ἄνθρωπος Μωϋσῆς πραῢς σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους, τοὺς ὄντας ἐπὶ τῆς γῆς (Ἀριθ. ιβ'. 3.) λέγει δὲ ὁ ὅσιος Στηθάτης· „ Οὐκ ἔνι πρᾶόν τινα γενέσθαι ποτὲ, μὴ πρότερον διὰ ταπεινώσεως πολλῆς, καὶ ἐργασίας τῶν ἐντολῶν, εἰς βάθη ταπεινοφροσύνης ἐλάσαντα· αὗται γὰρ αἱ ἀρεταὶ ἀλλήλων ἀεὶ ἔχονται, καὶ οὐκ ἔστι διαζευχθῆναι μιᾶς τὴν ἑτέραν· καὶ ἢ πρᾶον εἶναι τινὰ μὴ ταπεινὸν δὲ, ἢ ταπεινὸν ἔμπαλιν, μὴ πρᾶον δέ· ἀλλ' ὁ πρᾶος καὶ ταπεινός· καὶ ὁ ταπεινὸς πρᾶος, κατὰ τὸν εἰπόντα Θεόν· „ Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.

τὶ ἀπὸ ἐκεῖ ἐσυνωμίλει ὁ Θεὸς μὲ τοὺς ἀξίους Ἱερεῖς, καὶ ἔδωσεν εἰς αὐτοὺς τοὺς θείους του χρησμούς, καθὼς καὶ ἀλλαχοῦ εἴπομεν, (1)

6: „ Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ.

Ἡμεῖς, λέγει, οἱ Ἑβραῖοι ἠκούσαμεν ἀπὸ τοὺς πατέρας καὶ προγόνους μας. ἢ καὶ ἀπὸ τὰς βίβλους, ὅτι ἡ Κιβωτὸς μεταφερομένη ἀπὸ τόπον εἰς τόπον, ἐκατασάθη εἰς τὸν τόπον τὸν καλούμενον Ἐφραθᾶ: ἤτοι εἰς τὴν Βηθλεέμ. γέγραπται δὲ καὶ ἐν τῷ βιβλίῳ τῆς Γενέσεως, ὅτι ὁ Ἰακὼβ ἔθαψε τὴν γυναῖκά του Ῥαχὴλ ἐν τῷ ἱπποδρόμῳ τοῦ Ἐφραθᾶ. „ Ἀπέθανε δὲ Ῥαχὴλ, καὶ ἐτάφη ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου Ἐφραθᾶ· αὕτη ἐστὶ Βηθλεέμ· (Γέν. λε. 16) ἔφερε γὰρ ὁ τόπος τῆς Βηθλεέμ, τὸ ὄνομα τοῦ πρώτου κατοικήσαντος αὐτὸν Βηθλεέμ. ἢ καὶ ὁ τόπος Ἐφραθᾶ εἶχε τοῦ πρώτου οἰκήσαντος αὐτὸν Ἐφραθᾶ. (2)

„ Εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις του „ δρυμοῦ.

Τὸ εὕρομεν αὐτὴν δηλοῖ, ἀντὶ τοῦ ἐμάθομεν ἀπὸ τῶν εἰρημένων προγόνων μας, ὅτι ἡ Κιβωτὸς τοῦ Θεοῦ ἐκατοίκει πρὸ τοῦ νὰ κτισθῇ ὁ ναὸς, εἰς

(1) *Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Τὸν μὲν οἰκοδομήσαντα (εἴτουν τὸν Σολομῶντα) παρατρέχει· τὸν δὲ ἐπαγγειλάμενον εἰς μέσον τίθησιν· ἵνα μάθῃς, πόσον ἐστὶ γνώμη· καὶ πῶς ἀεὶ τῇ γνώμῃ τὸν μισθὸν ὁ Θεὸς ὁρίζειν εἴωθε· διὰ δὴ τοῦτο οὐ τοῦ Σολομῶντος, ἀλλὰ τοῦ Δαβὶδ μέμνηται μᾶλλον· ἐπειδὴ αὐτός ἐστιν ὁ ᾠκοδομηκὼς μᾶλλον, ἢ ὁ παῖς· ὁ μὲν γὰρ, ἐπηγγείλατο· ὁ δὲ, ἐπετάγη. ἔφη δὲ καὶ ὁ Θεοδώριτος· „ Πρῶτον μὲν γὰρ ἱκέτευσεν αὐτὸς τὸν θεῖον οἰκοδομῆσαι νεών· ἐπειδὴ δὲ διὰ τοῦ Προφήτου Νάθαν ἐκώλυσεν ὁ Θεὸς, καὶ τὴν ὑπὸ τοῦ Σολομῶντος ἐσομένην οἰκοδομίαν προείρηκεν, ἀνεβάλετο μὲν ὁ Δαβὶδ τὴν οἰκοδομίαν, οὐχ ἠσπάσατο δὲ ῥᾳστώνην· ἀλλὰ καὶ ἄργυρον καὶ σίδηρον καὶ χαλκὸν καὶ ξύλα καὶ λίθους συνήγαγε, καθὼς ἡ πρώτη τῶν Παραλειπομένων διδάσκει· κατὰ δὲ τὸν Εὐσέβιον καὶ Κύριλλον· „ Μαθὼν ὁ Δαβὶδ ἐξ ἁγίου Πνεύματος, ὡς ἄρα ἔσται ποτὲ αὐτοῦ τοῦ Κυρίου εἰς ἀνθρώπους ἄφιξις, οὕτως ἑαυτὸν ἐκάκου, ὡς πᾶσαν μὲν παραιτήσασθαι στρωμνὴν, ἀποτάξασθαι δὲ τῷ ἑαυτοῦ οἴκῳ κατὰ πρόσωπον δὲ χαμαὶ ῥίψαι ἑαυτὸν, καὶ κεῖσθαι πρὸ τοῦ Θεοῦ ἐπὶ τοῦ ἐδάφους, ἐῤῥιμμένον καὶ ποτνιώμενον γνῶναι τὸν τόπον τοῦ Κυρίου· μεθ᾽ ὅρκου τε διαβεβαιώσασθαι, μὴ πρότερον ἀναστήσεσθαι ἐκ τοῦ ἐδάφους, μηδὲ ἀναχωρήσειν τοῦ τόπου, καθ᾽ ὃν πεσὼν προσεκύνει, πρὶν ἢ μαθεῖν, τίς ποτε ἄρα ἔσται ὁ τόπος τῆς τοῦ Κυρίου εἰς ἀνθρώπους παρουσίας προεγνωσμένος καὶ προητοιμασμένος αὐτῷ· οὐ γὰρ πεπαύσομαί, φησι, τὸν ἐκ τοῦ πονεῖν καταστάζων ἱδρῶτα, πρὶν ἂν μάθοιμι τὸν τόπον, ἐν ᾧ γενήσεται κατὰ καιροὺς ἡ ἐκ γυναικὸς κατὰ σάρκα γέννησις τοῦ Μονογενοῦς· οὕτως αὐτῷ ἐπιμένοντι τῇ προσευχῇ, καὶ μεθ᾽ ὅρκου διαβεβαιώσεως ἑαυτὸν καταδήσαντι, ἐπινεύει Θεὸς, οἶκτον λαβὼν αὐτοῦ, ὡς ἂν μὴ ψεύσαιτο ἅπαξ ὀμόσας μὴ ἀναστήσεσθαι, ἢ τυχεῖν ὧν ἐπεπόθει· διὸ τὴν γνῶσιν αὐτῷ δωρεῖται διὰ τοῦ προφητικοῦ Πνεύματος τῶν αἰτηθέντων· ὅθεν ἀκολούθως λέγει· „ Ἰδοὺ ἠκούσαμεν· καὶ τὰ ἑξῆς· κατὰ δὲ τὸν Στηθάτην Νικήταν· „ Τόπος Κυρίου, ἐν ᾧ οἱ πόδες αὐτοῦ βεβληκέναι λέγονται νοητῶς, ἡ ἀπὸ τῶν προσύλων ἄρτι παθῶν ἐκκαθαρθεῖσα καρδία, ἡ ἐλευθερία τε ἡ διὰ τῆς τοῦ Πνεύματος ἐπιδημίας ἐγγινομένη τῇ ψυχῇ, καὶ ἡ τελεία ἀπάθεια· καὶ τόπος Θεοῦ Ἰσραὴλ, σκήνωμα δὲ τοῦ Θεοῦ Ἰακὼβ, ἡ φωτοειδὴς ψυχὴ καὶ διάνοια· ἡ ἄρτι μὲν ὑπὸ τοῦ θείου Πνεύματος καταλαμπομένη, καὶ τῇ μεθέξει τοῦ θείου πυρὸς, καὶ αὐτὴ ὅλη πῦρ χρηματίσασα· ἄρτι δὲ πηγὴ ζῶντος ὕδατος γενομένη, καὶ τοῖς διψῶσι καθαρὸν τὸ πόμα χορηγοῦσα τοῦ λόγου· τόπος γὰρ χωρητικὸς τοῦ ἀχωρήτου Θεοῦ αὕτη γίνεται.*

(2) *Κατὰ δὲ τὸν Κύριλλον καὶ Εὐσέβιον· „ Τὴν μέλλουσαν, φησιν, ἔσεσθαι τοῦ Κυρίου γέννησιν λανθάνουσαν, καὶ ὥσπερ ἀποκρυπτομένην, ἡμεῖς εὕρομεν ἐν Ἐφραθᾷ· ὅ ἐστιν ἐν Βηθλεὲμ κατὰ τὴν Μιχαίου προφητείαν λέγοντος· „ Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος· τίς οὖν οὐκ ἂν θαυμάσειε τὸ ἀψευδὲς τοῦ λόγου; αὐτοῖς ὀφθαλμοῖς παραλαμβάνοντος τὸ σπήλαιον τῆς τοῦ Σωτῆρος ἡμῶν γεννήσεως τῆς ἐν Βηθλεέμ; ἐν ἀγροῖς ὂν καὶ ἐν τοῖς πεδίοις τῆς ἀμφὶ τὴν Βηθλεὲμ χώρας· „ Ὁ μὲν οὖν μακάριος Δαβὶδ, κατὰ τὸν Θεοδώριτον, ἱκέτευσεν οἰκοδομῆσαι ναὸν τῷ Θεῷ· ὁ δὲ Μονογενὴς τοῦ Θεοῦ λόγος ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ ναὸν ἑαυτῷ ἔμψυχόν τε καὶ λογικὸν οἰκοδομήσειν ὑπέσχετο· ἐπειδὴ δὲ δύω σκηναὶ, ἡ μὲν, ἐκ λίθων καὶ ξύλων· ἡ δὲ, ἐκ σώματος καὶ ψυχῆς· καὶ ἡ μὲν, ἐν Ἱεροσολύμοις ὑπὸ Σολομῶντος ἐγένετο· τὴν δὲ ἐν τῇ Βηθλεὲμ, τοῦ Παναγίου Πνεύματος ἡ χάρις ἐξύφηνεν· οἱ τηνικαῦτα δὲ εὐσεβεῖς, τὴν μὲν, ἑώρων, τὴν δὲ, προσεδέχοντο, εἰκό-*

τως

εἰς τοὺς κάμπους, καὶ εἰς τοὺς λόγγους: ἤτοι ἐπεριφέρετο ἐδῶ καὶ ἐκεῖ, ποτὲ μὲν, εἰς Σηλὼμ, ποτὲ δέ, παρὰ τοῖς ἀλλοφύλαις. μὲ τὸ νὰ μὴν εἶχε τόπον ἕνα διωρισμένον. ταῦτα δὲ λέγουσιν οἱ Ἰουδαῖοι, διὰ νὰ δείξουν, ὅτι ὁ Δαβὶδ ἀναγκαίως ἔλαβε ζῆλον διὰ τὴν περιφερομένην Κιβωτὸν, καὶ εὗρε τὸν τόπον τῆς Ἱερουσαλὴμ ἐπιτήδειον εἰς ναὸν καὶ κατοικίαν τῆς Κιβωτοῦ. διὰ τὴν ὁποίαν Ἱερουσαλὴμ καὶ διὰ τὸν ναὸν, παρακαλοῦσιν αὐτοὶ ἐδῶ τὸν Θεὸν. (1)

7: „ Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα
„ αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τό-
„ πον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

Ταῦτα τὰ λόγια λέγονται ἐκ προσώπου τῶν ἐν τοῖς Ἰουδαίοις ἁγίων, οἵτινες προφητεύουν εἰς αὐτοὺς, ὅτι ὁ ναὸς θέλει οἰκοδομηθῇ, καὶ ὅτι θέλουν ἔμβουν μέσα εἰς αὐτὸν, καὶ θέλουν προσκυνήσουν καὶ λατρεύσουν τὸν Θεὸν, καθὼς καὶ πρὸ τῆς σκλαβίας. σκηνώματα δὲ ὀνομάζει, ἢ τὰς αὐλὰς τοῦ ναοῦ, ἢ καὶ αὐτὸν τὸν ἴδιον ναὸν, πληθυντικῶς τὸν ἕνα ὀνομάζων, κατὰ τὴν συνήθειαν τῆς Ἑβραϊκῆς διαλέκτου. σκηνώματα δὲ καὶ πόδας καὶ στάσιν εἶπε Θεοῦ ἀνθρωποπρεπῶς, διὰ τὴν παχύτητα τοῦ νοὸς τῶν ἀκροατῶν. διατὶ μέσα ἀπὸ τὸν ναὸν ἐφέροντο αἱ φοβεραὶ φωναὶ καὶ οἱ χρησμοὶ τοῦ Θεοῦ διὰ τὰ πράγματα καὶ ὑποθέσεις τῶν Ἰουδαίων, οἵτινες ἐσαφήνιζον τὰ ἀσαφῆ, καὶ ἐπρόλεγον τὰ μέλλοντα κατὰ τὸν Χρυσόστομον. (2)

8: „ Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν
„ σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιά-
„ σματός σου.

Σηκώσου, λέγει, Κύριε, καὶ συνέργησον εἰς τὸ νὰ οἰκοδομηθῇ ὁ ναὸς, μέσα εἰς τὸν ὁποῖον ἀναπαύεσαι. σηκώσου, λέγει, καὶ σὺ Κύριε ὁμοῦ καὶ ἡ Κιβωτὸς τῆς ἁγιωσύνης σου. ἕνα μὲν, διατὶ ἔχει δύναμιν καὶ αὐτή. καθότι πολλὰ θαύματα πολλάκις ἐτέλεσε διὰ μέσου τῆς ἐν αὐτῇ κατοικούσης θείας σου χάριτος. καὶ ἄλλο δὲ, διατὶ καὶ τῆς Κιβωτοῦ οἶκος, ἦτον ὁ ἐν Ἱεροσολύμοις ναός. Κιβωτὸς δὲ ἁγιάσματος ὠνομάζετο, καθότι ἦτον γεμάτη ἀπὸ ἁγιότητα, διὰ μέσου τῆς ὁποίας καὶ τοὺς ἄλλους ἡγίαζε. διότι καὶ τὰ ἐν τῇ Κιβωτῷ εὑρισκόμενα, ἅγια ἦτον: ἤτοι ἡ στάμνος ἡ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος τοῦ Ἀαρὼν, καὶ αἱ πλάκες τῆς Διαθήκης. μάλιστα δὲ καὶ ἐξαιρέτως ἅγιαι ἦτον αἱ πλάκες: ἤτοι ὁ δεκάλογος, ἐπειδὴ ἁγίαζον τοὺς μετα-

---

τως ὁ προφητικὸς λόγος ἔφη. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ: τουτέστιν ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου γεννησομένην.

(1) Δρυμοῦ δὲ πεδία ὀνομάζει, τάχα μὲν καὶ τὸ σπήλαιον, ἐν ᾧ ἡ γέννησις· τάχα δὲ, κατὰ τὸν Θεοδώριτον, καὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τὸν τόπον, ἔρημον ὄντα πάλαι καὶ οἰκοδομίαν οὐκ ἔχοντα. Σημειοῦμεν δὲ ἐνταῦθα, ὅτι ὁ Ἐφραθὰ, ἦτον μὲν ἀπόγονος τῆς Ἰούδα φυλῆς, ὁ δὲ Βηθλεὲμ ἦτον υἱὸς τοῦ Ἐφραθᾶ· καθὼς γέγραπται ἐν τοῖς Παραλειπομένοις· „ Ἐφραθᾶ πατρὸς Βηθλεέμ· (Α'. Παραλειπ. δ'. 4.) ἀφ' ὧν καὶ ὠνομάσθη ὁ τόπος· εἰς τὴν τοῦ Ἰούδα γὰρ φυλὴν μετὰ πολλὴν χρόνου περίοδον εἰσηνέχθη ἡ Κιβωτὸς, καὶ ἐκ τῆς Ἰούδα φυλῆς ἐγεννήθη ὁ Κύριος· φασὶ δὲ, ὅτι παρ' Ἑβραίοις τὸ Ἐφραθὰ σημαίνει Μαρία· ἐξ ἧς ἐγεννήθη ὁ Κύριος· (παρὰ τῷ Νικήτᾳ·) καὶ ὁ Βαρῖνος δὲ τὸ αὐτὸ λέγει ἐν τῇ λέξει Ἐφραθᾶ· ὅτι παρ' Ἑβραίοις τὸ Ἐφραθᾶ σημαίνει Μαρία.

(2) Λέγει δὲ ὁ Εὐσέβιος· „ Ὁ μὲν οὖν Δαβὶδ ἓν σκήνωμα εὑρεῖν ᾐτήσατο, πολλὰ δὲ ἀνθ' ἑνὸς διδάσκεται· ἅτινά εἰσιν αἱ καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίαι· κατὰ δὲ τὸν Ἱεροσολύμων Κύριλλον, καὶ τὸν θεῖον Ἰωάννην τὸν Δαμασκηνόν· „ Εἶεν ἂν Θεοῦ σκηνώματα προσκυνούμενα, ἡ Φάτνη, τὸ Σπήλαιον, ὁ Γολγοθᾶς ὁ σωτήριος, ὁ ζωοποιὸς Τάφος, ἡ Σιὼν, τῶν Ἐκκλησιῶν ἡ ἀκρόπολις· τόπος δὲ, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· ὁ εἰσέτι νῦν δεικνύμενος ἐν τῷ ὄρει τῶν ἐλαιῶν· ἢ καὶ ὁ Σταυρός· καὶ δηλοῖ τὸ ἐπόμενον· ἀνάστηθι Κύριε· ἕπεται γὰρ τῷ Σταυρῷ ἡ ἀνάστασις,

ταχειριζομένους καὶ ἐργαζομένους αὐτόν. ἢ ἁγίασμα λέγει τὸν ναὸν, καθὸ ἡγιασμένον καὶ ἀφιερωμένον εἰς τὸν Θεόν. καὶ καθὸ περιέχοντα τὰ ἅγια τῶν ἁγίων, ὅπου εὑρίσκετο ἡ Κιβωτός. τοῦτον γὰρ καὶ ἐν τῷ ογ ψαλμῷ ἁγιαστήριον εἶπεν „ ἐνεπύρισαν τὸ ἁγιαστήριόν σου. (1)

9: „ Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύ-
„ νην, καὶ οἱ ὅσιοί σου ἀγαλλιά-
„ σονται:

Ανίσως, λέγει, καὶ οἰκοδομηθῇ ὁ ναός σου Κύριε, οἱ Ἱερεῖς σου θέλουν ἐνδυθοῦν ὡσὰν φόρεμα τὴν δικαιοσύνην τῆς λατρείας σου· ἢ κάθε δικαιοσύνην: ἤτοι ἀρετὴν. λατρεύοντες εἰς ἐσένα καὶ ἐναρέτως πολιτευόμενοι. ἀλλὰ καὶ οἱ ὅσιοί σου: ἤγουν ἐκεῖνοι, ὁποῦ εἶναι καθωσιωμένοι καὶ ἀφιερωμένοι εἰς ἐσένα: δηλαδὴ ὁ λαός σου, θέλουν ἀγαλλιάσουν. ἢ ὁσίους λέγει τοὺς ἐναρετωτέρους.

10: „ Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου·
„ μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ
„ χριστοῦ σου.

Πάλιν ἐδῶ εἰς τὴν ἀρετὴν τοῦ Δαβὶδ καταφεύγουν οἱ Ἰουδαῖοι, νομίζοντες ἀνάξιον τὸν ἑαυτόν τους. διὰ τὴν ἀρετὴν, λέγει, τοῦ δούλου σου Δαβὶδ, μὴ ἀποστραφῇς, Κύριε, τὸν δημαγωγὸν, ὅς τις ἐχρίσθη καὶ ἐψηφίσθη ὑπό σοῦ εἰς τὸ νὰ δημαγωγῇ ἡμᾶς: ἤτοι τὸν Ζοροβάβελ. Χριστόν σου δὲ αὐτὸν ὠνόμασε, διὰ νὰ φανερώσῃ μὲ τὴν σοῦ ἀντωνυμίαν, τὴν πρὸς τὸν δημαγωγὸν αὐτὸν οἰκείωσιν τοῦ Θεοῦ. ἢ λέγει τὸν χρισθέντα διὰ σοῦ, καὶ διὰ τοῦ νόμου σου, μὴ ἀποστρέψῃς ἄπρακτον, ὅστις παρακαλεῖ μαζὶ μὲ ἡμᾶς, τόσον διὰ τὸν ναὸν, ὅσον καὶ διὰ τὴν πόλιν καὶ βασιλείαν. (2)

11: „ Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθει-
„ αν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Β:-

(1) Ἄλλος δέ φησιν· „ Ὑψηλότερον δὲ λέγοντες, ἀνάστηθι σὺ καὶ ἡ Κιβωτὸς, τὴν εἰς οὐρανοὺς ἀνάβασιν Χριστοῦ ἐπισπεύδουσι· Κιβωτὸν γὰρ ἁγιάσματος τὴν ἁγίαν αὐτοῦ σάρκα προσαγορεύουσι, μεθ᾽ ἧς ἀνελήφθη· ἧς δὴ καὶ Μωσῆς σύμβολον κελευσθεὶς ἐποίει, ἀπὸ μὲν ξύλων ἀσήπτων τὴν Κιβωτὸν κατασκευάζων, τὸ δὲ ἱλαστήριον ἐκ χρυσίου καθαροῦ· αἰνιττόμενος, διὰ μὲν τοῦ ἱλαστηρίου, τὸν διαυγῆ καὶ καθαρώτατον τοῦ Θεοῦ λόγον, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως· διὰ δὲ τῆς Κιβωτοῦ, τὴν σάρκα, ἣν ἀνείληφεν ἐπιδημήσας, καὶ εἰς ἀφθαρσίαν μετεσκεύασε· διὸ καὶ ἐκ ξύλων ἀσήπτων λέγεται γεγονέναι. ὁ δὲ Θεσσαλονίκης θεῖος Γρηγόριος τὸ ῥητὸν τοῦτο ἑρμηνεύων ἐν τῷ εἰς τὴν κοίμησιν τῆς Θεοτόκου λόγῳ, λέγει, ὅτι καθὼς ἀνέστη ὁ Χριστὸς, οὕτω καὶ ἡ τούτου ἔμψυχος Κιβωτός: ἤτοι ἡ Παναγία του Μήτηρ, ἀνέστη ἐκ τοῦ τάφου μετὰ τρεῖς ἡμέρας καθ᾽ ὁμοίωσιν τοῦ Υἱοῦ της· καὶ ὄχι μόνον ἀνέστη, ἀλλὰ καὶ ἀνελήφθη εἰς τοὺς οὐρανούς· καὶ νῦν μετὰ τοῦ ἀκηράτου σώματος αὐτῆς συμβασιλεύει τῷ Υἱῷ αὐτῆς καὶ Θεῷ· τοῦτο καὶ ὁ θεῖος Κοσμᾶς ἐν τῷ Κανόνι τῷ εἰς τὴν κοίμησιν τῆς Θεοτόκου συμμαρτυρεῖ λέγων· „ Διὸ Ἄχραντε σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα· τοῦτο βεβαιοῦσιν ὅ, τε θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς ἔν τινι τῶν εἰς τὴν Κοίμησιν τριῶν ἐγκωμίων αὐτοῦ· ὁμοίως καὶ ὁ Κρήτης Ἀνδρέας ἐν τοῖς εἰς τὴν Κοίμησιν πανηγυρικοῖς. καὶ Μάρκος ὁ Ἐφέσου ἐν τοῖς ὀκτωήχοις Κανόσιν εἰς τὴν Κοίμησιν· καὶ ὁ θεῖος Θεόδωρος ὁ Στουδίτης· ἐκ μέρους δὲ καὶ Ἰωσὴφ ὁ Βρυέννιος· ὥστε οὐ μετέστη μόνον ἡ Θεοτόκος, ἀλλὰ καὶ ἀνέστη καὶ ἀνελήφθη· εἰ καὶ ἡ μετάστασις μὲν αὐτῆς, ὡς κήρυγμα δημοσιεύεται. ἡ δὲ ἀνάστασις καὶ ἀνάληψις αὐτῆς, ὡς δόγμα σιωπᾶται· ἐπειδὴ κατὰ τὸν μέγαν Βασίλειον, τὰ δόγματα σιωπᾶται, τὰ δὲ κηρύγματα δημοσιεύεται· τῶν ἀνωτέρω Πατέρων τὰ ῥητὰ ἠδυνάμεθα νὰ ἐκθέσωμεν ἐνταῦθα, ἀλλὰ διὰ τὴν πλατυλογίαν αὐτὰ παρελίπομεν· ὅρα δὲ ταῦτα ἐν τῷ παρ᾽ ἡμῶν συλλεχθέντι Κήπῳ τῶν χαρίτων, κατὰ τὴν ἐνάτην ᾠδὴν τῆς Θεοτόκου· ὅπου ἑρμηνεύομεν τὸν στίχον ἐκεῖνον τὸν λέγοντα· „ Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός.

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „ Χριστὸν ἐνταῦθα τὴν βασιλείαν καλεῖ· ἐπειδὴ δὲ δυσσεβεῖς οἱ τηνικαῦτα αὐτῶν ἦσαν βασιλεῖς, διὰ τὸν Δαβὶδ ἀξιοῦσι μὴ ἀποσβῆναι τῆς βασιλείας τὸ γένος·

Βεβαίως, λέγει, ὑπεσχέθη ὁ Θεὸς εἰς τὸν Δαβὶδ ὑπόσχεσιν ἀληθινήν, τὴν ὁποίαν δὲν θέλει ἀθετήσει. διατὶ εἶναι ἀληθινὸς καὶ αὐτοαλήθεια. ποία δὲ εἶναι ἡ ὑπόσχεσις αὐτὴ ἄκουσον. (1)

„Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Ἀπὸ τοὺς υἱούς σου, λέγει, ὦ Δαβίδ, θέλω καθίσω εἰς τὸν θρόνον τῆς βασιλείας σου. καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ ἄλλα ἀκόμη, τὰ ὁποῖα λέγει ἀκολούθως. (2)

12 : „Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν „διαθήκην μου, καὶ τὰ μαρτύριά „μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ „οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος κα„θιοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ἀνίσως, λέγει, οἱ υἱοί σου ὦ Δαβίδ, φυλάξουν τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ἤτοι τὸν νόμον μου. καθὼς δηλαδὴ ἐν τῷ ριη΄. Ψαλμῷ οὗτος ὁ νόμος ὀνομάζεται· τοῦτον γὰρ τὸν νόμον μου θέλω διδάξω αὐτοὺς διὰ τῆς ἀναγνώσεώς του. ἐὰν, λέγω, φυλάξουν τὸν νόμον μου οἱ υἱοί σου οἱ μετὰ σὲ κατὰ διαδοχὴν βασιλεύοντες, ἰξεύρε, ὅτι ὄχι μόνον οἱ υἱοί σου θέλουν βασιλεύσουν ἀλλὰ καὶ οἱ υἱοὶ τῶν υἱῶν σου πάντοτε μέλλουν νὰ βασιλεύουν κατὰ διαδοχήν. τοιαύτη μὲν εἶναι ἡ ὑπόσχεσις τοῦ Θεοῦ. ἐπειδὴ δὲ

(1) Λέγει δὲ ὁ μέγας Βασίλειος· „Ὅρκος μὲν οὖν ἐστι, λόγος δι' ἑαυτοῦ πιστούμενος τὴν ἀλήθειαν. διπλῆ δὲ ἡ κατὰ τὸν ὅρκον ἐνέργεια· ἢ γὰρ αὐτὸς πιστοῦται τῷ ἀκούοντι τὴν ἀλήθειαν· οἷον τὸ, ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν· ἐνταῦθα γὰρ τὸ πιστὸν τῆς ὑποσχέσεως ἐμπεδοῦται τῷ ὅρκῳ· ἢ ἄλλῳ διὰ τοῦ ὁρκισμοῦ, τὴν ἀνάγκην ἐπάγει τοῦ μηδὲν παραψεύσασθαι· ὥσπερ ὑπὸ τοῦ Ἀβραὰμ ὁ θεράπων ὁρκίζεται, ἵνα τῷ Ἰσαὰκ τὴν πρέπουσαν συζυγίαν ἁρμόσηται· παρελήφθη δὲ ὡς ἐν ὅρκῳ τοῦ Πατρὸς, ὁ Υἱός· ἤτοι τὸ ἐπ' αὐτῷ μυστήριον. ὁ δὲ θεῖος Κύριλλος λέγει· „Ἔθος ὀμνύναι τῷ Πατρὶ ὡς κατ' ἰδίας δυνάμεως τοῦ Υἱοῦ· ϗ τοῦτό ἐστι τὸ ὀμνύναι καθ' ἑαυτοῦ· ἐπείπερ οὐχ ἕτερος παρ' αὐτὸν ὁ Υἱὸς κατὰ τὴν οὐσίαν· ϗ γοῦν Μωσῆς, ὅτε δέδειχεν ἡμῖν ὀμνύντα Θεὸν, παρακεκόμικε λέγοντα· „Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, ϗ ὀμοῦμαι τῇ δεξιᾷ μου· δεξιὰ γὰρ τοῦ Πατρὸς ὁ Υἱὸς, δι' ἧς τῶν ὅλων κατακρατεῖ. ὁ δὲ Εὐσέβιος λέγει· „Ὀμωμοκότα τὸν Δαβὶδ κατὰ τὰ ἀνωτέρω δεδηλωμένα, ἀποδεξάμενος ὁ Θεὸς, τοῖς ὁμοίοις αὐτὸν ἀμείβεται· διὸ ϗ αὐτὸς ἀντόμνυσι τῷ Δαβὶδ ἀλήθειαν· τουτέστι βεβαίως ἐπηγγείλατο ἀληθινὴν ἐπαγγελίαν· ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων (ἐπαγγελίας δηλαδὴ ϗ ὅρκου) ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν λάβῃ, περὶ ὧν ηὔξατο· ποῦ δὲ ὤμοσε τῷ Δαβὶδ ὁ Θεός; ἐν τῷ εἰπεῖν πρὸς αὐτὸν διὰ τοῦ Προφήτου Νάθαν· „Καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου ϗ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, ϗ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ· ὃς ἔσται ἐκ τῆς κοιλίας σου, ϗ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου· ϗ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα· ϗ τὰ ἑξῆς ἃ γέγραπται. (Β΄. Βασιλ. ζ΄. 12.) (πλὴν τὰ λόγια ταῦτα, ἐπαγγελίαι μόνον εἶναι τοῦ Θεοῦ πρὸς τὸν Δαβὶδ, οὐχὶ δὲ ὅρκος.) ὅτι μὲν οὖν κοντὰ εἰς τὰς ἐπαγγελίας ἐπρόσθεσε ϗ ὅρκον ὁ Θεὸς πρὸς τὸν Δαβὶδ, τοῦτο δηλοῦται ϗ ἀπὸ τὸν Ψαλμὸν τοῦτον ϗ ἀπὸ ἄλλους πολλοὺς Ψαλμοὺς, ἀλλὰ ϗ ἀπὸ τὸν λόγον ἐκεῖνον, ὁποῦ εἶπεν ὁ Ἀβεννὴρ, ὁ ἀρχιστράτηγος τοῦ Σαοὺλ, πρὸς Ἰεβοσθὲ τὸν υἱὸν Σαοὺλ· „Τάδε ποιήσαι ὁ Θεὸς τῷ Ἀβεννὴρ, ϗ τάδε προσθείη αὐτῷ· ὅτι καθὼς ὤμοσε Κύριος τῷ Δαβὶδ, ὅτι οὕτως ποιήσω αὐτῷ ἐν τῇ ἡμέρᾳ ταύτῃ· περιελεῖν τὴν βασιλείαν ἀπὸ τοῦ οἴκου Σαοὺλ, ϗ τοῦ ἀναστῆσαι τὸν θρόνον Δαβὶδ ἐπὶ Ἰσραήλ· (Β΄. Βασιλ. γ΄. 9.) ποῦ δὲ ὤμοσεν αὐτῷ ὁ Θεὸς ῥητῶς, δὲν ἐδυνήθην νὰ εὕρω, οὔτε εἰς τὴν Β΄. τῶν Βασιλειῶν, οὔτε εἰς τὰ Παραλειπόμενα· ϗ μ' ὅλον ὁποῦ ἐρεύνησα ἐπιπόνως· δύναται ὅμως νὰ νοηθῇ τὸ ὤμοσεν, ἀντὶ τοῦ βεβαίως ὑπέσχετο, κατὰ τὸν Εὐθύμιον.

(2) Ὁ δὲ Θεοδώρητος λέγει· „Μία ὑπόσχεσις αὕτη, ϗ τὸ πέρας ἐδέξατο· οὐ γὰρ μόνος ὁ Σολομῶν· ἀλλὰ ϗ οἱ ἐκ Σολομῶν τῶν βασιλικῶν ἠξιώθησαν θρόνων· τὸ δὲ τέλος τῆς ὑποσχέσεως ὁ Δεσπότης Χριστὸς ἐβεβαίωσε, τοῦ Δαβὶδ κρατύνας τὴν βασιλείαν· τοῦτο γὰρ ϗ ὁ Ἡσαΐας προεθέσπισεν εἰπών· „Παιδίον ἐγεννήθη ἡμῖν· ϗ μετ' ὀλίγα· „Ἐπὶ τὸν θρόνον Δαβὶδ ϗ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν ἀπὸ τοῦ νῦν ϗ εἰς τὸν αἰῶνα· (Ἡσ. θ΄. 6.) ταύτην μὲν οὖν, ὡς ἔφην, τὴν ὑπόσχεσιν, ὁ Χριστὸς ἐβεβαίωσε· τὴν μέν τοι ἑτέραν· ἤτοι τὴν κατωτέρω, οὐκ ἀόριστον δέδωκεν ὁ Θεὸς, ἀλλὰ μετὰ διορισμοῦ τινός.

δὲ οἱ υἱοὶ τοῦ Δαβὶδ δὲν ἐφύλαξαν τὸν νόμον τοῦ Κυρίου. διὰ τοῦτο ἐξέπεσον ἀπὸ τὴν βασιλείαν. (1.) ταῦτα δὲ λέγουσιν οἱ ἐναρετώτεροι Ἰουδαῖοι κατὰ τὴν σκλαβίαν ἐνθυμίζοντες τὸν Θεὸν τὴν τοιαύτην ὑπόσχεσίν του, καὶ παρακαλοῦντες αὐτὸν νὰ τὴν τελειώσῃ, ἢ καὶ μὲ τὴν ὑπόσχεσιν αὐτὴν παρηγοροῦν ἕνας τὸν ἄλλον, καὶ διδουν χρησὰς ἐλπίδας εἰς τὸν λαὸν Κυρίου. ἔπειτα λέγουσι καὶ τὰ ἀκόλουθα λόγια, τὰ ὁποῖα καὶ αὐτὰ ἐῤῥέθησαν τότε εἰς τὸν Δαβὶδ παρὰ τοῦ Θεοῦ.

13: „ Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, „ ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑ„ αυτῷ.

οἱ υἱοί σου, λέγει, καὶ οἱ υἱοὶ τῶν υἱῶν σου θέλουν καθίσουν εἰς τὸν θρόνον σου. διατὶ καὶ τὴν Σιὼν τὴν γειτονεύουσαν τῆς Ἱερουσαλὴμ, εἰς τὴν ὁποίαν εἶναι ὁ θρόνος τῆς βασιλείας σου, αὐτὴν λέγω, ἐδιάλεξεν ὁ Θεὸς, ὅστις ἔδωκε τὴν ὑπόσχεσιν ταύτην: ἤτοι ἐγώ.

14: „ Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα „ αἰῶνος· ὧδε κατοικήσω, ὅτι ᾑρε„ τισάμην αὐτήν.

Αὕτη, λέγει, ἡ Σιὼν εἶναι ἡ ἐδική μου κατάπαυσις. καὶ εἰς αὐτὴν ἐγὼ θέλω κατοικήσω, διατὶ τὴν ἐδιάλεξα. ταῦτα δὲ καὶ τὰ ἑξῆς λέγουσιν, ὡς ὑπὸ Θεοῦ ὑποσχεθέντα καὶ αὐτά. (2)

15: „ Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλο„ γήσω.

Θήραν ὠνόμασε τὴν σύναξιν καὶ ἐπορισμὸν τῆς τροφῆς, καὶ ὅλων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων

κά-

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ἡ μὲν οὖν ἐπαγγελία τοῦ Δεσπότου τοιαύτη· ἡ δὲ ἐκείνων παρανομία τὸν δρόμον τῆς βασιλείας διέκοψεν· εὐθὺς γὰρ ὁ Σολομὼν ἐκπεσὼν εἰς ἀσέβειαν, τὴν θείαν ὀργὴν ἐπεσπάσατο· οὗ δὴ χάριν ὁ θρόνος ἐτυραννήθη, καὶ ἑτέραν αἱ δέκα φυλαὶ βασιλείαν ἐδέξαντο· τὴν τοῦ Ἱεροβοὰμ δηλαδὴ ἐν Σαμαρείᾳ· ἐπὶ δὲ τῆς μετοικεσίας Βαβυλῶνος, καὶ ἡ τοῦ Ἰούδα φυλὴ ἐγυμνώθη τῆς βασιλείας· ὅθεν γράφει ὁ Ἱερεμίας περὶ τοῦ βασιλέως Ἰεχονίου τοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος· „ Γῆ γῆ ἄκουε λόγον Κυρίου· γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον, ὅτι οὐμὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαβὶδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ. (Ἱερ. κβ΄ 29.) πλὴν ἀγκαλὰ καὶ ἡ ἀρχὴ, διεκόπη μὲν, καὶ ἠκρωτηριάσθη ἐν τῇ αἰχμαλωσίᾳ ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα. ὄχι ὅμως καὶ τελείως ἐξέλιπεν· ἐπειδὴ καὶ αἰχμαλώτων ὄντων τῶν Ἑβραίων ἐν Βαβυλῶνι, τὴν ἀρχὴν εἶχεν ἡ τοῦ Ἰούδα φυλή· ὁμοίως καὶ μετὰ τὴν αἰχμαλωσίαν· ὁ γὰρ ἡγεμὼν καὶ δημαγωγὸς τῶν αἰχμαλώτων Ζοροβάβελ, ἐκ τῆς φυλῆς τοῦ Ἰούδα κατήγετο· ἕως τῆς ἐλεύσεως τοῦ Χριστοῦ· τότε γὰρ ἀπ' αὐτὴν τελείως ἡ ἀρχὴ καὶ τὸ κράτος ἐξέλιπε, κατὰ τὴν προφητείαν· „ Οὐκ ἐκλείψει γάρ, φησιν, ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται.

(1) Ὁ δὲ Θεοδώριτος καὶ ὁ Εὐσέβιος τὸ εἰς ὑετὸν, ἡρμήνευσαν, εἰς προπαρασκευὴν ὑετῶν καὶ βροντῶν· ἡγουμένης γὰρ ἀστραπῆς, βροντὴ εἴωθεν ἐπακολουθεῖν. λέγει δὲ ὁ Θεολόγος Γρηγόριος· „ Τί μοι φιλοσοφήσεις περὶ ἀστραπῶν καὶ βροντῶν, ὦ βροντῶν ἀπὸ γῆς σὺ, καὶ οὐδὲ μικροῖς σπινθῆρσι τῆς ἀληθείας λαμπόμενος; τίνας ἀτμοὺς ἐπὶ γῆς αἰτιάσῃ νέφους δημιουργούς; ἢ ἀέρος πύκνωσίν τινα; ἢ νεφῶν μανοτάτων θλῖψιν, ἢ σύῤῥηξιν; ἵνα ἡ μὲν θλῖψις σοι τὴν ἀστραπὴν, ἡ δὲ ῥῆξις τὴν βροντὴν ἀπεργάσηται; ποῖον δὲ πνεῦμα στενοχωρούμενον, εἶτα οὐκ ἔχον διέξοδον, ἵν' ἀστράψῃ θλιβόμενον, καὶ βροντήσῃ ῥηγνύμενον; (διὰ τῆς ἐρωτήσεως δὲ ταύτης καὶ ἀπορίας, θέλει νὰ δείξῃ ὁ Θεολόγος, ὅτι κατὰ ἀκρίβειαν οὐδεὶς γινώσκει τὰ τοῦ Θεοῦ δημιουργήματα.)

(2) Καθὸ καὶ εἴρηται ὑπὸ τοῦ Κυρίου περὶ τοῦ ἀνέμου καὶ τοῦ ἀέρος· „ Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· (Ἰωάν. γ'. 8.) διότι καὶ ὁ ἄνεμος, κίνησις καὶ ῥεῦμα ἀέρος ἐστίν· ὅθεν ὁ Θεολόγος εἶπε Γρηγόριος· „ Ἀέρα λέγω, τὸν πολὺν τοῦτον πλοῦτον καὶ ἄφθονον, οὐκ ἀξίαις, οὐ τύχαις μετρούμενον· ἀλλὰ κατὰ τὴν τοῦ μάννα διανομὴν, αὐταρκείᾳ περιλαμβανόμενον, καὶ ἰσομοιρίᾳ μετρούμενον· τὸ τῆς πτηνῆς φύσεως ὄχημα· τὴν τῶν ἀνέμων ἕδραν· ἀνέμων δὲ πολλαὶ διαφοραὶ, κατὰ τὸν Χρυσοῤῥήμονα· ὁ μὲν γάρ ἐστι, λεπτότερος· ὁ δὲ, παχύτερος· ὁ μὲν, ψυχρότερος· ὁ δὲ, θερμότερος· καὶ ὁ μὲν,

ξηρ-

καὶ τὴν ἐξήγησίν του „ ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν (σίχ. 50.) ἕως δὲ κτήνους εἶπε, διὰ νὰ δείξῃ ὑπερβολικὴν τῶν Αἰγυπτίων τὴν συμφοράν. (1)

9 : „ Ἐξαπέστειλε Σημεῖα καὶ τέρατα ἐν „ μέσῳ σου Αἴγυπτε. ἐν Φαραὼ καὶ ἐν „ πᾶσι τοῖς δούλοις αὐτοῦ.

Ὅρα περὶ τούτων εἰς τὸν ῥηθέντα οζ. Ψαλμὸν, τὸ „ Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. (σίχ. 43) ἀφ' οὗ δὲ ὁ Δαβὶδ ἐνθυμήθη ἀνωτέρω τὴν δεκάτην καὶ βαρυτέραν πληγὴν: τὸν θάνατον δηλονότι τῶν πρωτοτόκων, ἀκολούθως ἐδῶ ἑνωμένας λέγει τὰς ἄλλας πληγὰς, εἰπὼν „ σημεῖα καὶ τέρατα. (2)

10 : „ Ὃς ἐπάταξεν Ἔθνη πολλά.

Ὁ Θεὸς, λέγει, ἐθανάτωσε τὰ Ἔθνη ἐκεῖνα, ὁποῦ ἐμπόδιζον τοὺς Ἑβραίους νὰ περάσουν καὶ νὰ μπαίνουν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἤτοι τοὺς Ἀμαληκίτας, καὶ Μωαβίτας, καὶ Ἰδουμαίους, καὶ τοὺς λοιποὺς. ἢ καὶ τὰ ἑπτὰ Ἔθνη τὰ κατοικοῦντα εἰς τὴν Παλαιστίνην, συντόμως δὲ ἀναφέρει ταῦτα ἐδῶ ὁ Δαβὶδ καὶ κατὰ παραδρομήν.

„ Καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς.

Ὁ Θεὸς, λέγει ἐθανάτωσε τοὺς Ἡγεμόνας καὶ βασιλεῖς τῶν ἀνωτέρω Ἐθνῶν.

11 : „ Τὸν Σηὼν Βασιλέα τῶν Ἀμμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν.

Ὁ Σηὼν ἦτον περιβόητος βασιλεὺς τῶν Ἀμοῤῥαίων, διὰ τὸν πλοῦτον καὶ διὰ τὰ στρατεύματά του. ὁ δὲ Ὢγ, ἦτον πολυθρύλλητος διὰ τὸ μεγαλεῖον καὶ τὴν ἀνδρίαν τοῦ σώματός του. λέγουσι γὰρ, ὅτι αὐτὸς εἶχε κλίνην σιδηρᾶν, εἰς τὴν ὁποίαν ἐκοιμᾶτο, ἐννέα μὲν πήχεις, εἰς τὸ μάκρος. τέσσαρας δὲ πήχεις, εἰς τὸ πλάτος. (3)

„ Καὶ

ξηρότερος· ὁ δὲ, ὑγρότερος· ἀνέμου δὲ ἄνεμοι κατὰ τοὺς νεωτέρους, ἐν μὲν τῇ μεσογείῳ θαλάσσῃ δεκαέξ· ἐν δὲ τῷ Ὠκεανῷ, διπλάσιοι τούτων: ἤτοι τριανταδύο.

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Ὅτι μὲν γῆ καὶ οὐρανὸς καὶ τὰ ἑξῆς πάντα τῆς αὐτοῦ φιλανθρωπίας ἀπολαύει, ἔδειξεν ὁ Προφήτης διὰ τῶν εἰρημένων· ἵνα δὲ εὐγνωμονεστέρους τοὺς Ἰουδαίους ἐργάσηται, καὶ τὰ μερικὰ διηγεῖται· δεικνὺς, ὅτι καθόλου ὁ Θεὸς πάντων προνοῶν, ἰδικάς τινας αὐτοῖς εὐεργεσίας ἐχαρίσατο· λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Τὴν τελευταίαν πληγὴν τέθεικε πρώτην· ἐπειδὴ μετὰ ταύτην, τὴν ἐλευθερίαν ἐδέξαντο.

(2) Τί ἐστιν ἐν μέσῳ σου; λέγει ὁ Χρυσόστομος· τὸ φανερῶς· ὡς ὅταν καὶ ἀλλαχοῦ λέγῃ· „ Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς· ἐπειδὴ τὸ μέσον πᾶσι κατάδηλον. καὶ ὁ Θεοδώριτος· „ Οὐ γὰρ ἤρκεσεν ἡ βασιλεία, τῶν πεπληγμένων αὐτὸν ἀπαλλάξαι μαστίγων· ἀλλὰ τοῖς αὐτοῖς καὶ οἱ βασιλευόμενοι καὶ ὁ βασιλεύων κακοῖς περιέπεσον· οὕτω καὶ πρὸς τὸν μέγαν Μωσῆν ἔφη ὁ τῶν ὅλων Θεός· „ Ἰδοὺ ἐγὼ πατάσσω πᾶν πρωτότοκον τῆς Αἰγύπτου, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, ἕως πρωτοτόκου τῆς αἰχμαλώτιδος τῆς παρὰ τὸν μύλον. (Ἔξ. ια'. 5.)

(3) Τοῦτο δὲ φανερῶς διηγεῖται ὁ Μωϋσῆς εἰς τὸ Δευτερονόμιον· „ Ὅτι πλὴν Ὢγ βασιλεὺς Βασὰν κατελείφθη ἀπὸ τῶν Ῥαφαΐν· ἰδοὺ ἡ κλίνη αὐτοῦ, κλίνη σιδηρᾶ· ἰδοὺ αὕτη ἐν τῇ ἄκρᾳ τῶν υἱῶν Ἀμμὰν, ἐννέα πήχεων τὸ μῆκος αὐτῆς, καὶ τεσσάρων πήχεων τὸ εὖρος αὐτῆς ἐν πήχει ἀνδρός. (Δευτ. γ'. 11.) Παρὰ δὲ τῷ Εὐθυμίῳ καὶ παρὰ τῷ Θεοδωρίτῳ γράφεται, ὅτι ἡ κλίνη του ἦτον πέντε πήχες εἰς τὸ πλάτος· καὶ φαίνεται ὅτι εἶναι σφάλμα ἀντιγραφικόν.

„ Καὶ πάσας τὰς βασιλείας Χαναάν.

Ὁ Θεὸς, λέγει, ἠφάνισεν ὅλα τὰ βασίλεια τῆς γῆς Χαναὰν: ἤτοι τῆς Παλαιςίνης (1) εἰς τὴν ὁποίαν ἐκατοίκει ἓν Ἔθνος ξεχωριςὰ ἀπὸ τὰ ἄλλα καλούμενον Χαναναῖοι.

12: „ Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρο-
„ νομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ
„ αὐτοῦ.

Δύω φοραῖς εἶπεν ὁ Δαβὶδ κληρονομίαν, διὰ νὰ φανερώσῃ τὸ πλούσιον αὐτῆς καὶ ἄφθονον. ὡσὰν νὰ εἰπῇ: τὴν γῆν τῶν ἀνωτέρω Ἐθνῶν, ἔδωκεν εἰςτὸν λαόν του Ἰσραὴλ κληρονομίαν, ὄντως κληρονομίαν. (2)

13: „ Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶ-
„ να, καὶ τὸ μνημόσυνόν σου εἰς
„ γενεὰν καὶ γενεάν.

Διὰ τὰ ἀνωτέρω, λέγει, θαυμάσια, ὁποῦ ἐποίησας Κύριε, τὸ ὄνομα καὶ ἡ ἐνθύμησίς σου θέλει διαμένει εἰς τὸν αἰῶνα, καὶ εἰς ὅλας τὰς γενεὰς κοντὰ εἰς τοὺς Ἑβραίους. αὐτοὶ γὰρ εἶναι, ὁποῦ εὐεργετήθησαν μὲ τὰς θαυματουργίας αὐτάς. (3)

14: „ Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ,
„ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρα-
„ κληθήσεται.

Ὁ κύριος, λέγει, θέλει κρίνει τὸν λαόν του: ἤγουν θέλει κάμει τὴν ὑπὲρ τοῦ λαοῦ του κρίσιν καὶ ἐκδίκησιν, κατ' ἐκείνων τῶν ἐχθρῶν, ὁποῦ τὸν βλάπτουσι, καὶ θέλει καμφθῇ εἰς τὸν αὐτὸν λαόν του, ὅς τις ἐξευμενίζει καὶ ἱλαρύνει τὸν Θεὸν μὲ τὰς προσευχάς του, ἢ θέλει μὲν κρίνει τὸν λαόν του, ὅταν ἁμαρτάνῃ, καὶ δικαίως θέλει τὸν τιμωρήσει. ὅταν δὲ πάλιν αὐτὸς μετανοῇ, ὁ Θεὸς θέλει τὸν εὐσπλαγχνισθῇ, καὶ θέλει βοηθήσει αὐτὸν κατὰ τὴν ἑρμηνείαν τοῦ Χρυσοςόμου. (4)

15: „ Τὰ Εἴδωλα τῶν Ἐθνῶν ἀργύριον
„ καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώ-
„ πων.

Τοῦ-

(1) Τοὺς Χετταίους δηλαδὴ, κατὰ τὸν Θεοδώριτον, τοὺς Χαναναίους, τοὺς Φερεζαίους, τοὺς Εὐαίους, τοὺς Ἀμοῤῥαίους, τοὺς Γεργεσαίους, τοὺς Ἰεβουσαίους, καὶ εἰκοσιεννέα βασιλεῖς· καὶ τὰς ὑπ' ἐκείνων κατεχομένας χώρας πόλεις διένειμε τῷ λαῷ.

(2) Ὅθεν εἶπεν ὁ Χρυσοῤῥήμων· „ Καὶ τοῦτο δὲ μέγιςον θαῦμα, τὸ μὴ μόνον ἐκβαλεῖν· ἀλλὰ καὶ δυνηθῆναι κατασχεῖν τὴν γῆν καὶ πόλεις νείμασθαι· ὃ καὶ πολλὴν παρεῖχεν αὐτοῖς τὴν ἡδονήν· τὸν κόσμον, τὴν φαιδρότητα· καὶ ὁ Θεοδώριτος· „ Καθάπερ γάρ τινα κλῆρον πατρῷον, τὴν ὑπ' ἐκείνων τῶν δυσσεβῶν βασιλέων πάλαι κατασχεθεῖσαν γῆν τῷ Ἰσραὴλ δέδωκεν ὁ τούτων Θεός·

(3) Λέγει δὲ ὁ Χρυσόςομος· „ Ἐνταῦθα τῇ δοξολογίᾳ τὸ συνεχὲς διακόπτει τοῦ λόγου· ὅπερ τοῖς ἁγίοις ἔθος ἀεί· ἐπειδὰν ἀρξάμενοι τὶ λέγειν τῶν τοῦ Θεοῦ θαυμάτων πυρωθῶσιν, οὐ πρότερον ἐπὶ τὸ τέλος ἔρχονται, ἕως ἂν ὑπὲρ τῶν εἰρημένων δοξάσωσι τὸν Θεὸν καὶ εὐφημήσωσι· καὶ τὴν ἐπιθυμίαν ἐμπλήσωσι τὴν ἑαυτῶν· ὅπερ καὶ ὁ Παῦλος μάλιςα πανταχοῦ ποιεῖ· πυρωθεὶς γὰρ ἀπὸ τῆς ἀφάτου τοῦ Θεοῦ φιλανθρωπίας, δοξολογίαν ἀνήγγειλε λέγων· „ Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα: τουτέςιν ἡ δόξα σου διηνεκής· οὐδὲν αὐτὴν λυμαίνεται· οὐδὲ διακόπτει· ἀλλ' ἔςιν ἀεί· μένει ἄτρεπτος, ἀμετάβλητος, ἀνθοῦσα, ἀκμάζουσα· καὶ τὸ μνημόσυνόν σου, ἡ μνήμη ἡ παρὰ σοῦ, εἰς πάσας γενεὰς ἀτελεύτητος, πέρας οὐκ ἔχουσα. καὶ ὁ Θεοδώριτος· „ Τὸ μὲν μέγεθος τῶν ὑπὸ σοῦ γεγεννημένων θαυμάτων, τὸ σὸν ἅπαντας ἐδίδαξεν ὄνομα, ἡ δὲ τῶν σῶν εὐεργεσιῶν, καὶ εἰς τὰς ἐσομένας γενεὰς φυλαχθήσεται μνήμη.

(4) Καὶ ὁ Θεοδώριτος: „ Οὐ περιόψῃ, φησι, παρὰ τῶν δυσμενῶν ἡμᾶς πολεμουμένους ὁρῶν, οὐδὲ ἀξίας τῆς ἡμε-

Τοῦτο τὸ ἴδιον εἶπε καὶ εἰς τὸν ριγ΄. Ψαλμὸν, καὶ ὅρα τὴν ἑρμηνείαν τούτου ἐκεῖ· ἤθελε δὲ ἀπορήσει τινὰς κατὰ τὸν σοφὸν Φώτιον, ὅτι καὶ αἱ ἅγιαι Εἰκόνες ἡμῶν τῶν χριστιανῶν, εἶναι ἀργύριον καὶ χρυσίον κατὰ τὴν ὕλην καὶ ἔργα χειρῶν ἀνθρώπων, ἀλλ' ἀποκρινόμεθα, ὅτι ναὶ, εἶναι ἔργα χειρῶν ἀνθρώπων, ἀλλὰ, δὲν εἶναι καὶ εἴδωλα· διότι, τῶν μὲν εἰδώλων τὰ πρωτότυπα, εἶναι ἀνυπόστατα καὶ ψευδῆ, ἐπειδὴ αὐτὰ λέγονται εἴδωλα ἐκείνων, ὁποῦ δὲν εἶναι θεοὶ ἀλλὰ Δαίμονες, οἵτινες ψεύδονται καὶ πλάττουσι τὴν Θεότητα. τῶν δὲ ἡμετέρων ἁγίων Εἰκόνων τὰ πρωτότυπα, εἶναι ὄντα καὶ ἀληθινὰ καθὼς καὶ ὀνομάζονται. καὶ τὰ μὲν εἴδωλα, εἶναι εἴδωλα μιαρῶν καὶ ἀκαθάρτων, αἱ δὲ Εἰκόνες, εἶναι Εἰκόνες ἁγίων καὶ καθαρῶν. (1)

16 : „ Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν·
„ ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται.
17 : „ Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται·

Ταῦτα τὰ ἴδια εἶπε καὶ εἰς τὸν ριγ΄. Ψαλμὸν, καὶ ὅρα τὴν ἑρμηνείαν τούτων ἐκεῖ.

„ Οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.

Ἐδῶ βάλλει τὴν αἰτίαν ὁ Δαβὶδ, διὰ τὴν ὁποίαν εἶναι ἀναίσθητα τὰ τῶν Ἐθνῶν εἴδωλα. ἐπειδὴ, λέγει, δὲν ἔχουν πνοὴν ζωῆς τὰ τοιαῦτα εἴδωλα. προχωρεῖ δὲ ὁ Δαβὶδ καὶ πλατύνει τὴν κωμῳδίαν ταύτην τῶν εἰδώλων, διὰ νὰ αὐξήσῃ περισσότερον τὴν κατηγορίαν τους.

18 : „ Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

Καὶ τοῦτο τὸ ῥητὸν ἐκεῖ εἰς τὸν ριγ΄. Ψαλμὸν γράφεται καὶ ἑρμηνεύεται, καὶ ὅρα ἐκεῖ. (2)

19 : „ Οἱ

ἡμετέρων ἁμαρτάδων τιμωρίας ἐπάξεις· ἀλλ' ἵλεως ἔσῃ ϗ εὐμενής. Σημείωσαι, ὅτι τὸ ῥητὸν τοῦτο ἐρανίσθη ὁ Δαβὶδ ἀπὸ τὸν Μωϋσῆν, λέγοντα ἐν τῇ ᾠδῇ· „ Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, ϗ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. (Δευτ. λβ΄. 36.)

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Ἐπειδὴ ἀρχόμενος ἔλεγεν· „ Ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς Θεοὺς, καὶ ἔδοξέ τινα κατὰ σύγκρισιν ὑπεροχὴν εἰσάγειν διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων· ὅρα πῶς ἐπιμένει τῷ λόγῳ. λέγει δὲ ϗ ὁ Θεοδώριτος· „ Ἐπειδὴ θεοὺς ὠνόμασεν ἄνω, δείκνυσιν αὐτοὺς μετὰ τοῦ πράγματος ϗ τῆς προσηγορίας ἐρήμους· ὁ μὲν Θεὸς ἡμῶν, λέγων, ὦ καλοὶ ϗ ἀγαθοὶ δοῦλοι Κυρίου, τῶν ἁπάντων ἐςὶ Θεὸς, ϗ Ποιητὴς μέγας ϗ μεγαλοποιός· ὃς τάδε ϗ τάδε ἐποίησεν· οἱ δὲ τῶν Ἐθνῶν θεοὶ, οὐ μόνον δημιουργικὴν οὐκ ἔχουσι δύναμιν· ἀλλὰ ϗ αὐτὸ τὸ εἶδος παρὰ τέχνης ἀνθρωπείας ἐδέξαντο· ϗ οὐδὲν ἄρα ἦσαν ἕτερον, ἀλλ' ἢ Εἴδωλα νεκρὰ ϗ κωφά· ὧν ἡ μὲν οὐσία, ἄψυχός ἐςιν ὕλη· τὸ δὲ ἔργον, ἀνθρώπινον ἐπιτήδευμα, οἱ δὲ τύποι, πάσης ἐνεργείας ἀμέτοχοι· ὅθεν προςίθησιν ὁ Χρυσοῦς ἅγιος· „ Ὅτι τοῦτο μεγίςη κατηγορία τῶν θεραπευόντων αὐτά· ὅτι δι' αὐτοῦ τοῦ εἶναι αὐτὰ, αὐτοὶ ὄντες αἴτιοι, ἐν ἐκείνοις ἔχουσι τὰς τῆς σωτηρίας ἐλπίδας.

(2) Λέγει δὲ ὁ Χρυσόςομος· „ Ἐννόησον ἡλίκοι θεοὶ, ὧν ἡ ὁμοίωσις ἐν τάξει κεῖται ἀρᾶς· ἀλλ' οὐ τὰ παρ' ἡμῖν τοιαῦτα· ἔσχατος γὰρ ἀρετῆς ὅρος ϗ πρὸς κορυφὴν τῶν ἀγαθῶν ἀνάβασις, τὸ πρὸς τὸν Θεὸν ὁμοιωθῆναι κατὰ τὸ ἐγχωροῦν ἡμᾶς· χαριέντως δὲ ὁ Σύμμαχος εἶπε κατὰ τὸν Εὐσέβιον· „ Ὡς αὐτὰ γενήσονται, οἱ ποιοῦντες αὐτά ϗ γὰρ ὄντως οἱ τοῖς ἀψύχοις ὡς θεοῖς προσέχοντες, ὥσπερ ἀπολιθωθέντες τὴν ψυχὴν, ϗ αὐτοὶ τὸ αὐτὸ πεπόνθασι τοῖς προσκυνουμένοις ὑπ' αὐτῶν. λέγει δὲ ϗ ὁ Θεοδώριτος· „ Ταύτης εἰσὶν ἄξιοι τῆς ἀναισθησίας μεταλαχεῖν, ϗ οἱ δημιουργοῦντες αὐτὰ, ϗ οἱ προσκυνοῦντες· τοὺς γὰρ λόγου μετέχοντας, ϗ θεοὺς ὑπολαμβάνοντας τὰ ζωῆς ἐςερημένα ϗ λόγου, δίκαιον τῆς ἐκείνων μετασχεῖν ἀλογίας.

19 : „ Οἶκος Ἰσραὴλ, εὐλογήσατε τὸν „ Κύριον· οἶκος Ἀαρὼν, εὐλογήσατε τὸν Κύριον.

20 : „ Οἶκος Λευῒ, εὐλογήσατε τὸν Κύριον· οἱ φοβούμενοι τὸν Κύριον, „ εὐλογήσατε τὸν Κύριον.

Καὶ εἰς τὸν ριγ'. ψαλμὸν τὴν αὐτὴν διαίρεσιν ἐποίησε τοῦ λαοῦ, καὶ ζήτησον τὴν ἑρμηνείαν ἐκεῖ. πλὴν ἐκεῖ μὲν γράφεται οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον. ἐδῶ δὲ γράφεται, εὐλογήσατε τὸν Κύριον: ἤγουν εὐχαριστήσατε τὸν Κύριον διὰ τὰς ἀνωτέρω δηλωθείσας εὐεργεσίας, ὁποῦ ἐκάμεν εἰς ἐσᾶς. ἐμοίρασε δὲ καὶ ἐδῶ τὴν φυλὴν τῶν ἱερωμένων εἰς δύω: ἤτοι εἰς τὸν οἶκον τοῦ Ἀαρὼν, ὅς τις ἦτον μερικὸς ἀρχηγὸς τῶν ἱερωμένων, καὶ εἰς τὴν φυλὴν τοῦ Λευῒ, ὅστις ἦτον φύλαρχος καὶ τοῦ Ἀαρὼν, καὶ τῶν Λευϊτῶν: ἤτοι τῶν διακονούντων ἐν τῇ Σκηνῇ. καθολικώτερον διὰ τοῦ Λευῒ καὶ φανερώτερον τὸν λόγον ποιῶν. (1)


21 : „ Εὐλογητὸς Κύριος ἐκ Σιὼν, ὁ κατοικῶν Ἱερουσαλήμ.

Ἄς εἶναι, λέγει, εὐλογητὸς καὶ δεδοξασμένος ὁ Κύριος ἀπὸ τὴν Σιών: ἤτοι ὁ κατοικῶν ἐν τῇ Σιὼν καὶ ὁ κατοικῶν ἐν τῷ ναῷ τῆς Ἱερουσαλὴμ ἐκεῖ γὰρ ἐλέγετο, ὅτι κατοικεῖ ὁ Κύριος, διατὶ ὡμίλει ἐκ τοῦ ἱλαστηρίου τῆς Κιβωτοῦ μὲ τοὺς Ἱερεῖς. (2)

ΨΑΛ.

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Τί δήποτε οὐ πάντας ὁμοῦ καλεῖ, ἀλλ' εἰς τάγματα διαιρεῖ; ἵνα μάθῃς, ὅτι πολλὴ ἡ διαφορὰ τῆς εὐλογίας· ἄλλως ὁ Ἱερεύς· ἄλλως, ὁ Λευΐτης· ἄλλως, ὁ λαϊκός· ἄλλως, ὁ πολὺς λαὸς εὐλογεῖ· εὐλογήσατε, φησιν, ὅτι τῶν ἐναντίων ἀπηλλάγητε· ὅτι κατηξιώθητε προσκυνεῖν Θεόν· ἐςι μὲν γὰρ καὶ αὐτὸς ἐν τῇ φύσει ἔχων τὴν εὐλογίαν, καὶ οὐ δεόμενος τῆς παρ᾽ ἑτέρων εὐφημίας: πλὴν καὶ ὑμεῖς εὐλογεῖτε, οὐχ ὡς ἐκείνῳ τι προστιθέντες, ἀλλ' ὡς αὐτοὶ μέγα καρπούμενοι. καὶ ὁ Θεοδώριτος· „ Ἐκεῖνοι μὲν, φησὶ, τοσαύτην ἀπονέμουσι θεραπείαν τοῖς ἀψύχοις Εἰδώλοις· ὑμεῖς δὲ, τὸν τῶν ἁπάντων ὑμνήσατε Ποιητήν· προστίθεται δὲ ὁ αὐτὸς Θεοδώριτος· „ Ὅτι ἐχώρισεν ὁ Δαβὶδ τοὺς Λευΐτας (οἵτινες ἦσαν ὡς διάκονοι καὶ ὑπηρέται) ἀπὸ τοὺς Ἱερεῖς καθότι αὐτοὶ, ἦσαν μὲν τῶν ἄλλων τιμιώτεροι, τῶν δὲ Ἱερέων ὑποδεέστεροι· ἵνα τοίνυν μὴ καὶ οὗτοι τὴν ἱερατικὴν ἀξίαν ἁρπάσωσιν· ἐτόλμησαν γὰρ καὶ πάλαι τοῦτο, τοῦ θεσπεσίου Μωσέως περιόντος· ἀναγκαίως καὶ τούτους ἀπὸ τῶν ἱερέων ἀπέκρινεν· ἕτερον δὲ τάγμα τῶν φοβουμένων ἦν, ἐκ μὲν τοῦ Ἰακὼβ οὐ κατάγον τὸ γένος, ἐκείνου δὲ τὴν εὐσέβειαν ἀσπαζόμενον· οὕτω δὲ καὶ τοὺς εὐσεβεῖς ὠνόμαζον προσηλύτους· ἱκανὸν δὲ καὶ τοῦτο Ἰουδαίους διδάξαι, ὡς ὁ τῶν ὅλων Θεὸς, τῆς σωματικῆς συγγενείας τὴν τῶν τρόπων προκρίνει συγγένειαν.

(2) Εἶπε δὲ καὶ ὁ Χρυσόστομος· „ Εἰ καὶ φύσει ἐςιν εὐλογητὸς, ὥσπερ οὖν καὶ ἐςιν· ἀλλὰ βούλεται καὶ παρ᾽ ἡμῶν εὐλογεῖσθαι. καὶ ὁ Θεοδώριτος δέ φησιν· „ Εὐλογούμενος ὁ Θεὸς εὐλογεῖ· ἀλλ' εὐλογεῖται μὲν λόγῳ, εὐλογεῖ δὲ ἔργῳ· καὶ οἱ μὲν ὑμνοῦντες, προσφέρουσι ῥήματα, αὐτὸς δὲ, διὰ τῶν πραγμάτων ἀντιδίδωσιν εὐλογίαν καὶ χάριν· κατοικεῖν δὲ αὐτὸν ἐν Ἱερουσαλὴμ ἔφη, οὐ τὴν θείαν ἐκεῖ περιγράφων φύσιν, ἀλλ' ἐκεῖ τηνικαῦτα τὴν θείαν ἐπιφάνειαν εἶναι λέγων.



ΨΑΛΜΟΣ ΡΛΕ.

Ἀλληλούϊα.

Καὶ οὗτος ὁ Ψαλμὸς εἶναι σύμφωνος μὲ τὸν προλαβόντα· κατὰ τὸν Θεοδώριτον· ὅθεν καὶ τὴν ὁμοίαν ἐκείνου ἔχει ἐπιγραφήν.

1. „Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀ„γαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔ„λεος αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει τὸν Κύριον, ᾠδοῦ δὶ τοῦ Κυρίου, διατὶ σᾶς εὐεργέτησε μὲ τὰς ὁμοίας εὐεργεσίας· ὁποῦ ἀνέφερε καὶ ὁ προλαβὼν Ψαλμός. ταύτην δὲ τὴν ἀρχὴν ἐποίησεν ὁ Δαβὶδ καὶ εἰς τὸν ρε. Ψαλμὸν, εἰπὼν „Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι Χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, τὴν ὁποίαν καὶ ἐξηγήσαμεν ἐκεῖ. εἰς ὅλους δὲ τοὺς στίχους τοῦ παρόντος Ψαλμοῦ ἀκροτελεύτιον γράφεται τὸ „ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τοῦτο δὲ ἔτζι γράφεται, ἢ διὰ αὔξησιν τοῦ ὕμνου τοῦ τοιούτου θείου ἐλέους, ἢ καὶ πρὸς ἔκπληξιν καὶ θαυμασμὸν τῶν ψαλλόντων αὐτό. (1)

2. „Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, „ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, τὸν Θεὸν, ὅστις εἶναι Θεὸς καὶ Δεσπότης τῶν ψευδωνύμων Θεῶν καὶ Δαιμόνων, τῶν ὑπὸ τῶν Ἑλλήνων ὡς Θεῶν προσκυνουμένων· διότι ἀγκαλὰ καὶ οἱ Δαίμονες εἶναι ἀτιμασμένοι

ἐχθροί

(1) Ὅθεν λέγει ὁ Χρυσόστομος· „Ἐφ' ἑκάστου στίχου τρόπῳ ἐφυμνίου ἐπιλέγει· „Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ: τουτέστι, οὐ ποτὲ μὲν εὐεργετεῖ, ποτὲ δὲ ἀφίσταται· ὅπερ ἐπ' ἀνθρώπων συμβαίνει, καὶ πάθει καλυομένων, καὶ εὐτελείᾳ διακοπτομένων· ἀλλὰ διηνεκῶς ἐλεεῖ, καὶ εὐεργετεῖ, καὶ οὐδέ ποτε παύεται τοῦτο ποιῶν· λέγει δὲ καὶ ὁ Θεοδώριτος, προσενέγκατέ, φησι, τῷ Θεῷ τὸν εὐχαριστήριον ὕμνον, τῶν ὑπ' αὐτοῦ χορηγηθέντων ἀγαθῶν μεμνημένοι, καὶ τὸν ἀμέτρητον αὐτοῦ θαυμάζοντες ἔλεον. Σημειοῦμεν δὲ ἐνταῦθα, ὅτι ὁ Ψαλμὸς οὗτος, πολυέλεος κυρίως λέγεται, ἐκ τοῦ πολλοῦ ἐλέους, τὸ ὁποῖον ἀναφέρεται εἰς κάθε του στίχον· ἐκ τοῦ Ψαλμοῦ δὲ τούτου, ἔλαβε τὸ ὄνομα νὰ λέγεται πολυέλεος καὶ ὁ πρότερος Ψαλμός: ἤτοι τὸ, Αἰνεῖτε τὸ ὄνομα Κυρίου· ἀλλὰ καὶ τὸ ἐν τῷ μέσῳ τῆς Ἐκκλησίας κρεμάμενον πολυκάνδηλον, ἢ πολυκήριον, πολυέλεος καὶ αὐτὸ ἐκ τούτου ὠνομάσθη.

δ-

ἐχθροὶ τοῦ Θεοῦ, καθὸ ἀρχηγοὶ τῆς κακίας, καὶ ἐναντίοι τοῦ Θεοῦ. ἀλλ᾽ ὅμως εἶναι δοῦλοι τοῦ Θεοῦ κατὰ τὴν δημιουργίαν, καὶ ὡς τοιοῦτοι, εἶναι ὑποκείμενοι ἐξ ἀνάγκης εἰς τὸν Θεόν· (1)

3: „Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν Κυ-
„ρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, τὸν ἀληθῶς Κύριον ὅλων τῶν προσκαίρων κυρίων τῆς γῆς, καὶ μὴ ἀληθῶς ὄντων κυρίων. ὁ γὰρ Κύριος ἡμῶν, εἶναι βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων.

4: „Τῷ ποιήσαντι (2) θαυμάσια με-
„γάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔ-
„λεος αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, εἰς τὸν Κύριον, ὅστις μοναχὸς ἔκαμε μεγάλα θαυμάσια. τὸ μόνος δὲ ἐπροσέθη πρὸς διαφορὰν τοῦ υἱοῦ, ἢ τοῦ Πνεύματος. Κύριον γὰρ ὀνομάζει τὸν ἐν τρισὶ προσώποις προσκυνούμενον ἕνα Θεόν.

5: „Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συ-
„νέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, τὸν Κύριον, ὅστις μὲ σοφίαν ἐποίησε τοὺς οὐρανούς. μὲ τὰ λόγια δὲ ταῦτα μαρτυρεῖ ὁ Δαβὶδ εἰς τὸν Θεὸν ἀγαθότητα καὶ ἐλεημοσύνην, καὶ κυριότητα πάντων, καὶ δύναμιν, καὶ σοφίαν, τὰ ὁποῖα φυσικῶς ἔχει ὁ Θεός. (3)

6: „Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑ-
„δά-

ὅθεν ϗ ἀνάπτεται τοῦ πολυελέου ψαλλομένου· ὅθεν ὁσάκις ψάλλεται ὁ πρότερος Ψαλμὸς, πρέπει ἐξ ἀνάγκης ἀπαραιτήτου, νὰ συμψάλλεται ἀκολούθως ϗ ὁ Ψαλμὸς οὗτος, ὡς κυρίως ὢν πολυέλεος· ϗ ὄχι, ἐκεῖνος μὲν νὰ ψάλλεται, οὗτος δὲ νὰ ἐγκαταλιμπάνεται· καθὼς ποιοῦσι τοῦτό τινες παραλόγως τε ϗ κακῶς.

(1) Ὁ δὲ Εὐσέβιος λέγει· „Ἔστι Θεὸς θεῶν, οὐ μόνον τῶν Δαιμόνων, ἀλλὰ κἀκείνων, περὶ ὧν εἴρηται· „Ἐγὼ εἶπα θεοί ἐστε· ϗ πάλιν· „Θεοὺς οὐ κακολογήσεις· καθὸ ϗ Ἄγγελοι ῥηθεῖεν ἂν θεοί, ἤ φησιν ὁ Ἀπόστολος· „Ὥσπερ εἰσὶ θεοὶ πολλοί, ϗ κύριοι πολλοί, εἴτε ἐν τῷ οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς. (Α΄. Κορ: η΄. 5.) προςτίθησι δὲ ὁ Ὠριγένης· „Ὅτι οἱ μὲν μετὰ τὴν Τριάδα λεγόμενοι θεοὶ, μετουσίᾳ θεότητος, (ἤτοι τῆς θείας ἐνεργείας ϗ χάριτος, ϗ οὐ τῆς θείας φύσεως) τοιοῦτοί εἰσι ϗ λέγονται· ὁ δὲ Σωτὴρ, οὐ κατὰ μετουσίαν, ἀλλὰ κατ᾽ οὐσίαν ἐστὶ Θεός· ϗ ὁ Θεοδώριτος· „Καλεῖ θεούς, φησὶ, τοὺς Ἱερωσύνῃ τετιμημένους· τοὺς υἱοὺς Θεοῦ χρηματίσαντας· οὕτω ϗ ἐν Ψαλμοῖς· „Ἐγὼ εἶπα θεοί ἐστε, ϗ υἱοὶ Ὑψίστου πάντες.

(2) Ὁ δὲ Χρυσόστομος, τῷ ποιοῦντι γράφει, λέγων· „Ἐπειδὴ ἀπεφήνατο, ὅτι Κύριός ἐστι τῶν θεῶν ϗ Δεσπότης, τῇ ἀποφάσει παρέχει λοιπὸν τὴν ἀπόδειξιν· ϗ κατασκευάζει τὸ εἰρημένον ἀπὸ τῆς δυνάμεως αὐτὸν ἀνακηρύττων· ϗ οὐκ εἶπε τῷ ποιήσαντι, ἀλλὰ τῷ ποιοῦντι, δεικνὺς αὐτὸν εὐεργετοῦντα ϗ θαυματοποιοῦντα· ϗ δύο αὐτοῦ τίθησι, μᾶλλον δὲ ϗ τρία ϗ τέσσαρα, ὅτι τε ποιεῖ, ϗ ὅτι θαύματα, ϗ ὅτι μεγάλα θαύματα, ϗ ὅτι μόνος ποιεῖ· ἐπεὶ κατὰ τὸν Θεοδώριτον, τοῦ Θεοῦ ἐστι, τὰ τῶν εὔνων ϗ θεραπόντων αὐτοῦ θαύματα, Μωσέως, Ἰησοῦ, ϗ Ἠλιοῦ· διατί δὲ ἀρχόμενος (ἀπορεῖ ὁ Χρυσορρήμων) ὁ Δαβὶδ, οὐ περὶ δυνάμεως ἔλεγεν εὐλογεῖν, ἀλλ᾽ ὅτι [illegible]ἀγαθός; πῶς οὖν ἐνταῦθα εἰς τὸν περὶ δυνάμεως ἐμπίπτει λόγον; ὅτι οὐχὶ δυνάμεως μόνον, ἀλλὰ ϗ [illegible]τος ϗ φιλανθρωπίας ταῦτά ἐστι τὰ θαύματα.

(3) Ὁ δὲ Βασίλειος λέγει· „Συνᾴδει τοῖς προκειμένοις τὸ, ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει· σύνεσις δὲ, δι᾽ ἧς οἱ οὐρανοὶ ἑτοιμάζονται ϗ στερεοῦνται, τίς ἂν εἴη ἄλλη παρὰ τὸν Χριστόν; Χριστὸς γὰρ Θεοῦ δύναμις ϗ Θεοῦ σοφία. ὁ δὲ Χρυσόστομος· „Οὐκ ἐποίησεν οὐρανὸν ἕνα μόνον, ἀλλὰ ϗ ἕτερον, ἐκ προοιμίων δεικνὺς, ὅτι οὐκ ἀναφήσῃ ἡμᾶς τῇ γῇ, ἀλλ᾽ ἐκεῖ μεταστήσει· εἰ γὰρ δὴ μὴ ἔμελλεν ἐκεῖ μεθιστᾶν, τίνος ἕνεκεν οὐρανὸς παρήγετο; οὐ γὰρ αὐτῷ χρήσιμον τοῦτο τὸ στοιχεῖον· ἀλλὰ τοὺς ἀπὸ γῆς ἐκεῖ μεθιστᾶν βουλόμενος, παρεσκεύασε τὰ οἰκήματα.

„ δάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ.

Εὐχαριςεῖτε, λέγει τὸν Κύριον, ὅστις ἐςερέωσε τὴν γῆν ἐπάνω εἰς τὰ ὕδατα. καὶ ὅρα περὶ τούτου ἐν τῷ κγ΄. Ψαλμῷ τὸ „ Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ τὴν τούτου ἐξήγησιν. (1)

7: „ Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ,
„ ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
8: „ Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέ-
„ ρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ.
9: „ Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς
„ ἐξουσίαν τῆς νυκτὸς, ὅτι εἰς τὸν
„ αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εὐχαριςεῖτε, λέγει, τὸν Κύριον, ὅστις ἐποίησε „ τοὺς δύω φωςῆρας τοὺς μεγάλους, τὸν φωςῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωςῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς· καὶ ἔθετο αὐτοὺς ἐν τῷ ςερεώματι τοῦ οὐρανοῦ, ὥςε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς· (Γέν. α. 16) (2)

10: „ Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς
„ πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν
„ αἰῶνα τὸ ἔλεος αὐτοῦ.
11: „ Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέ-
„ σου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔ-
„ λεος αὐτοῦ.
12: „ Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι
„ ὑψηλῷ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ.

Εὐχαριςεῖτε, λέγει, τὸν Κύριον, ὅστις ἐπλήγωσε τὴν Αἴγυπτον μαζὶ μὲ τὰ πρωτότοκα αὐτῆς

(1) Ὅθεν εἶπεν ὁ Χρυσορρήμων· „ Ὡς καινὸς ὁ τρόπος τῆς δημιουργίας! καὶ ὑπὲρ φύσιν ἡ ἀκολουθία! φύσεως γὰρ ἀκολουθία τὸ ὕδωρ ὑπὲρ τῆς γῆς φέρεσθαι· ἀλλ' οὐ τὴν γῆν ὑπὲρ τῶν ὑδάτων· πολλάκις γοῦν ψηφίδος μικρᾶς ἐμπεσούσης τῷ ὕδατι, εἶξε καὶ παρεχώρησε καὶ εἰς τὸ βάθος αὐτὴν παρέπεμψεν· ὅταν οὖν ἴδῃς οὐχὶ ψηφῖδα μικρὰν ἀλλὰ τὴν γῆν ἅπασαν ὑπεράνω τῶν ὑδάτων φερομένην καὶ μὴ καταποντιζομένην, θαύμασον τὴν δύναμιν τὴν ὑπὲρ φύσιν ταῦτα δημιουργοῦσαν. καὶ ὁ Εὐσέβιος εἶπε· „ Τί ἂν εἴη θαυμασιώτερον τοῦ τὴν γῆν, ςερέμνιον καὶ βαρὺ ςοιχεῖον οὖσαν, ὀχεῖσθαι καὶ ἐπιπολάζειν τοῖς ὕδασιν, οὐχ οὕτω τῆς φύσεως τῶν σωμάτων ἐχούσης, διὰ τὸ τὰ ὑγρὰ κουφότερα ὄντα τῆς γῆς, ἀνώτερα αὐτῆς φέρεσθαι. αὐτὴν δὲ βαρὺ καὶ παχὺ ςοιχεῖον ὑποτρέχειν καὶ ὑφιζάνειν ἐπὶ τὰ βάθη τῆς ὑγρᾶς οὐσίας; ἀλλ' οὐχ οὕτως ἔχει καὶ ἐπὶ τῆς τοῦ κόσμου συςάσεως· ἔμπαλιν δὲ παρὰ τὸν τῆς φύσεως λόγον.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Εἰκότως τοῖς ῥητοῖς ἅπασι τὸν αἰώνιον ἔλεον ὁ μελογράφος συνέζευξεν· ἐπειδὴ οὐ διὰ χρείαν οἰκείαν, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν ἐδημιούργησεν ὁ Φιλάνθρωπος ἅπαντα. καὶ ὁ Χρυσόςομος· „ Τὸ μὲν οὕτω μεγάλα γενέσθαι καὶ καλὰ καὶ διαρκῆ, τὴν ἰσχὺν ἀνακηρύττει καὶ τὴν σοφίαν· τὸ δὲ δι' ἡμᾶς αὐτὰ γενέσθαι καὶ διὰ τὴν χρείαν τὴν ἡμετέραν, τὴν ἀγαθότητα κηρύττει τὴν διηνεκῆ. προςίθησι δὲ ὁ Βασίλειος· „ Οὐκ ἐπειδὴ μείζους τῶν μικροτέρων ἀςέρων διὰ τοῦτο μεγάλοι οἱ δύω φωςῆρες· ἀλλ' ἐπειδὴ τοσοῦτοι τὴν περιγραφὴν, ὥςε ἐξαρκεῖν τὴν ἀπ' αὐτῶν ἀναχεομένην αὐγὴν, καὶ οὐρανὸν περιλάμπειν, καὶ ἀέρα, καὶ ὁμοῦ πάσῃ τῇ γῇ συμπαρεκτείνεσθαι. ὁ αὐτὸς δὲ λέγει· „ Ἄλλο μέν τι ἐςι, τοῦ φωτὸς ἡ λαμπρότης, ἄλλο δὲ, τὸ τῷ φωτὶ ὑποκείμενον σῶμα· ὁ γὰρ ἥλιος (ἤτοι ὁ δίσκος τοῦ ἡλίου) καὶ τὸ φανότατον τοῦτο φῶς, διάφορα ὄντα τῇ φύσει, ἥνωται τῇ δυνάμει τοῦ κτίσαντος· ἡμέρα δὲ ἐςι, χρόνου μέτρον, ἐν ᾧ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ὁ ἥλιος διατρίβει· ὃ δὲ ἐν ἡμέρᾳ ἐςιν ἡ σκιὰ, τοῦτο ἐν νυκτὶ τοῦ σκότους ἡ φύσις. λέγει δὲ καὶ ὁ Χρυσόςομος· „ Ὅρα τὸ παράδοξον ἐπὶ τοῦ ἡλίου· τοῦ πυρὸς ἡ φύσις ἀνωφερής ἐςι, καὶ πρὸς ὕψος ἀεὶ πηδᾷ καὶ ἅλλεσθαι πέφυκε· κἂν μυριάκις βιάσῃ καὶ καταναγκάσῃς, οὐκ ἂν ἀνάσχοιτο τῆς κάτω φορᾶς· πολλάκις γοῦν δᾷδα ἡμμένην λαβόντες, καὶ κατὰ κεφαλῆς κλίναντες, τοῦ πυρὸς τὴν ὁρμὴν οὐκ ἠναγκάσαμεν κάτω νεῦσαι· ἀλλὰ καὶ οὕτως ἀνατρέχει, καὶ πρὸς τὸ ὕψος ἐπείγεται κάτωθεν· ἐπὶ δὲ τοῦ ἡλίου τοὐναντίον ἅπαν ἐποίησεν ὁ Θεός· τὰς γὰρ ἀκτῖνας αὐτοῦ πρὸς τὴν γῆν ἔτρεψε. καὶ τὸ φῶς κάτω νεύειν ἐποίησε· μονονουχὶ λέγων αὐτῷ διὰ τοῦ σχήματος· κάτω βλέπε, καὶ τοῖς ἀνθρώποις φαῖνε

τῆς παιδία καὶ κτήνη, καὶ ἠλευθέρωσεν ἀπὸ τὸ μέσον τῶν Αἰγυπτίων τὸν λαόν του Ἰσραὴλ, μὲ κραταιὰν χεῖρα καὶ βραχίονα : ἤγουν μὲ πράτζον ὑψηλόν : ἤτοι μὲ μεγάλην καὶ ἀκαταμάχητον δύναμιν· δυνάμεως γὰρ μεγάλης ἦτον ἀποτελέσματα τὰ σημεῖα καὶ τὰ τέρατα, ὁποῦ ἐποίησεν εἰς τὴν Αἴγυπτον, καὶ ἡ ἐκ τῆς Αἰγύπτου ἐξέλευσις καὶ ἐλευθερία τοῦ λαοῦ τῶν Ἑβραίων. (1)

13 : „ Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν „ αἰῶνα τὸ ἔλεος αὐτοῦ·

14 : „ Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ „ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα „ τὸ ἔλεος αὐτοῦ.

15 : „ Καὶ ἐκτινάξαντι Φαραὼ, καὶ τὴν „ δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυ- „ θρὰν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος „ αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, τὸν Κύριον, ὅστις ἐχώρισε τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις : ἤγουν εἰς δύω μέρη. εἰς δύω γὰρ αὐτὴν διεμοίρασε. καὶ διεπέρασε μὲν τὸν λαὸν τοῦ Ἰσραὴλ διὰ μέσου αὐτῆς, ἐτίναξε δὲ τὸν βασιλέα Φαραὼ καὶ τὰ στρατεύματά του μέσα εἰς αὐτὴν, καὶ κατεπόντισεν αὐτούς. ἐκτίναξιν γὰρ τὴν ῥίψιν καὶ τὸν καταπόντισιν ὀνομάζει. καθὼς ταῦτα πάντα εἰς πλάτος διηγεῖται ἡ Βίβλος τῆς Ἐξόδου. „ Ἐξετίναξε γὰρ, φησι, Κύριος τοὺς Αἰγυπτίους μέσον τῆς θαλάσσης. (Ἐξο. ιδ΄. 27) (2).

16 : „ Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν „ τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ „ ἔλεος αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, τὸν Κύριον, ὅστις διεπέρασε τὸν λαόν του Ἰσραὴλ διὰ μέσου τῆς ἐρυθρᾶς θαλάσσης, καὶ ἔφερεν αὐτὸν εἰς τὴν ἔρημον. διότι καὶ

(1) Ἀπορεῖ δὲ ὁ Θεοδώριτος λέγων· ἀλλ᾽ ἴσως ἄν τις ἐπαπορήσειε, πῶς ἐλέῳ τεκταίνεται θάνατος; σκοπείτω τοίνυν ὁ τὴν λύσιν τῶν προκειμένων ζητῶν, ὡς ὁ τοὺς ἀδικουμένους οἰκτείρων, τοὺς ἀδικοῦντας κολάζει· ὁ γὰρ περὶ τοὺς Ἰσραηλίτας ἔλεος, τοῖς Αἰγυπτίοις τὴν τιμωρίαν ἐπήγαγε· κἀκεῖνος δὲ ϗ αὕτη, δικαιοσύνη συγκέκραται· ϗ τούτους γὰρ δικαίως ἠλέησε, κἀκείνους ἐνδίκως ἐκόλασε· διὰ τοῦτο ἐν ἀμφοτέροις ἐπιλέγεται, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ὁ δὲ Εὐσέβιος, χεῖρα κραταιὰν ϗ βραχίονα ὑψηλὸν, τὸν τοῦ Θεοῦ λόγον ἐνόησε. ϗ ὁ Χρυσόστομος δέ φησι· „ Ταῦτα δὲ λέγει, ἵνα μήτις τῶν ἀνοητοτέρων νομίσῃ, ὅτι κελεύων αὐτοῖς χρυσίον λαβεῖν καὶ σκεύη ἀργυρᾶ, δι᾽ ἀσθένειαν ἐκέλευε· ϗ γὰρ ϗ τοῦτο ἐποίησε, πανταχόθεν βουλόμενος εἶναι φοβερὸς τοῖς πολεμίοις, ϗ δεῖξαι, ὅτι μετὰ αὐθεντίας ἅπαντα δύναται ἐργάζεσθαι, ϗ ἀπατᾷν αὐτοὺς ϗ παρακρούεσθαι· ἅ, τε γὰρ φανερῶς ἐποίησεν, οὐ διὰ τοῦτο ἐποίησεν, ὡς οὐ δυνάμενος ἀπατῆσαι· ἅ, τε ἀπατήσας (ἐποίησεν) οὐ διὰ τοῦτο ἐποίησεν ὡς οὐ δυνάμενος φανερῶς λαβεῖν, ἀλλ᾽ ἐν ἑκατέρῳ τῷ μέρει τὴν ἰσχὺν τὴν ἑαυτοῦ δεικνύς· ὅτι γὰρ ϗ τοῦτο μέγαν φόβον ἐνέθηκε τοῖς ἀλλοφύλοις· ἄκουσον τί φασι μετὰ ταῦτα οἱ μάντεις τῶν Ἀζωτίων· „ Οὐχὶ ὅτε ἐνέπαιξεν αὐτοῖς (τοῖς Αἰγυπτίοις δηλαδὴ ὁ Θεὸς λαβεῖν ποιήσας τοὺς Ἰουδαίους τὰ σκεύη αὐτῶν.) ἐξαπέστειλαν αὐτοὺς ϗ ἀπῆλθον; (Α΄. Βασιλ. ς΄. 6.)

(2) Λέγει δὲ ὁ Χρυσορρήμων σὺν τῷ Εὐσεβίῳ· „ Ἑβραίων παῖδες παραδιδόασιν ἐξ ἀγράφου ἱστορίας, ὅτι οὐ μία γέγονεν ὁδὸς, ἀλλὰ καθ᾽ ἑκάστην φυλὴν τὸ ὕδωρ ἐσχίζετο, ὡς δώδεκα γενέσθαι τομὰς ϗ διαιρέσεις κατὰ τὰς φυλάς. ὁ δὲ Θεοδώριτος λέγει· „ Διχῇ τμηθὲν τὸ πέλαγος, δύω ἀνθ᾽ ἑνὸς ἐγένετο· τὸ γὰρ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, ϗ τεῖχος ἐξ εὐωνύμων· οὗ δὴ χάριν διαιρέσεις ἐκάλεσε τὴν εἰς δύω τοῦ πελάγους τομήν· ἀλλαχοῦ δὲ ὁ αὐτὸς συμφωνεῖ τῷ Χρυσοστόμῳ ϗ τῷ Εὐσεβίῳ λέγων· „ Μᾶλλον δὲ, ὁδοὺς εὐθείας ὥσπερ τοῖς Ἰσραηλίταις παρέσχε Θεός· κατὰ τὸν Δαβὶδ λέγοντα· „ Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις. προσθέττουσι δέ τινες, ὅτι τὸ διάστημα τῆς σχισθείσης Ἐρυθρᾶς θαλάσσης, τὸ ἀπὸ μιᾶς ἄκρας εἰς τὴν ἄλλην ἄκραν τῆς στερεᾶς φθάνον διὰ μέσου τοῦ ὁποίου ἐπέρασαν οἱ Ἰσραηλῖται· αὐτὸ, λέγω, τὸ διάστημα κατὰ τὴν γνώμην τινῶν, ἦτον πλατὺ μὲν, διακόσια πεντήκοντα ποδάρια, μακρὺ δὲ, μίαν λέγαν : ἤτοι τέσσαρα μίλια, εἰς ἕξι δὲ ὥρας διεπέρασαν αὐτὸ οἱ Ἑβραῖοι (ὅρα σελ. 310. τῆς ὑπὸ Κλήμεντος ἀνασκευῆς) ἄλλοι δὲ λέγουσιν·

„ Ο-

καὶ αὐτὸ δὲν ἦτον ὀλιγώτερον θαῦμα ἀπὸ τὴν διαίρεσιν τῆς ἐρυθρᾶς θαλάσσης κατὰ τὸν Χρυσόστομον, δηλαδὴ τὸ νὰ φέρῃ τὸν λαόν του ὁ Θεὸς εἰς τὴν ἔρημον, καὶ ἐκεῖ νὰ τὸν φυλάττῃ, ὅπου ἦτον πολλὰ τὰ αἴτια, τὰ ὁποῖα ἠδύναντο νὰ τὸν φθείρουν. πεῖνα, λέγω, καὶ δίψα, καὶ ἀνομβρία, καὶ καῦσις ὑπερβολικὴ τοῦ ἡλίου, καὶ πλῆθος θηρίων ἀγρίων, καὶ ἄλλα τοιαῦτα μυρία δεινά, ἀπὸ τὰ ὁποῖα ὅλα ἐφύλαξεν ὁ Θεὸς αὐτοὺς ἀβλαβεῖς. (1) παρατρέχει δὲ ὁ Δαβὶδ τὰ περισσότερα θαύματα ἀφίνοντας τὸν καθ' ἕνα νὰ τὰ ἀναγινώσκῃ μὲ σκέψιν εἰς τὰ βιβλία τοῦ Μωϋσέως.

17 : „ Τῷ πατάξαντι βασιλεῖς μεγάλους,
„ ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
18 : „ Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ.
19 : „ Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων,
„ ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
20 : „ Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν·
„ (2) ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
„ τοῦ.
21 : „ Καὶ δόντι τὴν γῆν αὐτῶν κληρο-
„ νομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ,
22 : „ Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ,
„ ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ταῦτα πάντα ἑρμηνεύθησαν εἰς τὸν πρότερον Ψαλμόν, καὶ ὅρα τὴν ἑρμηνείαν τούτων ἐκεῖ.

23 : „ Ὁ-

„ Ὅτι διαιρέσεις πληθυντικῶς εἶπεν ἡ Γραφὴ, κατὰ τὸ ἰδίωμα τῆς Ἑβραϊκῆς γλώσσης, ἥτις μεταχειρίζεται τὰ πληθυντικὰ ἀντὶ ἑνικῶν· τὴν εὐκολίαν δὲ (λέγει ὁ Ὠριγένης) δηλῶσαι θέλων τοῦ καταποντισμοῦ, τῇ λέξει ταύτῃ τοῦ ἐκτινάξαι ἐχρήσατο. προστίθησι δὲ ὁ Χρυσόστομος· „ Σὺ δέ μοι σκόπει, πῶς μετὰ τῆς δυνάμεως καὶ τῆς ἀγανακτήσεως, καὶ τὴν μακροθυμίαν ἐπεδείξατο· οὐ πρότερον αὐτοὺς ἀνελὼν, καίτοι οὕτως ἀναισχύντως καὶ φιλονείκως διακειμένους, ἕως ὅτε φέροντες αὐτοὶ ἑαυτοὺς ἑκόντες κατεκρήμνισαν· τῆς τοῦ Θεοῦ δὲ δυνάμεως ἐγένετο τὸ καὶ μετὰ τὴν διαίρεσιν τῆς θαλάσσης θάρσος αὐτοῖς (τοῖς Ἰσραηλίταις) ἐνθεῖναι, καὶ πεῖσαι διαβῆναι τὴν καινὴν ἐκείνην καὶ ξένην ὁδόν· καὶ γὰρ ἐν ἑκατέρῳ τμήματι κορυφουμένων τῶν ὑδάτων, ὑψηλῆς τινος καὶ γενναίας ἔδει ψυχῆς αὐτοῖς, ὥστε μὴ δεῖσαι τὴν διάβασιν· μηδὲ ὑποπτεῦσαι· ὅτι κορυφούμενα ἑκατέρωθεν τὰ πελάγη, ἐπελεύσεται αὐτοῖς, καὶ καταποντίσει τὸ στρατόπεδον ἅπαν. ὅθεν εἶπεν ὁ Δαβίδ· „ Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς.

(1) Ὅθεν εἶπεν ὁ Χρυσόστομος, καὶ Εὐσέβιος, καὶ Θεοδώριτος· „ Καὶ τοῦτο τῆς θείας ἰσχύος ἀπόδειξις, τὸ τοσοῦτον λαὸν ἐπὶ χρόνον τοσοῦτον δι' ἐρήμου θρέψαι καὶ ἀνενδεῶς ὁδηγῆσαι, καὶ τῶν ἀναγκαίων αὐτοῖς χορηγῆσαι τὴν ἀφθονίαν· τοῦτο οὐκ ἔλαττον τοῦ διὰ τῆς θαλάττης διαγαγεῖν· ἁπάντων γὰρ, ὅσων ὁ ἄνθρωπος δεῖται, γυμνωθέντες, καὶ οὐ στέγην ἔχοντες, οὐ τροφὴν, οὐκ ἐνδύματα ἀρκοῦντα, οὐχ ὑποδήματα, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ὡς ἐν μέσαις χορεύοντες πόλεσιν· οὕτω διὰ τῆς ἐρήμου ἐβάδιζον ἐκείνης.

(2) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ὅτι ἡ Βασὰν χώρα ἐστὶ κατὰ τὴν Ἰουδαίαν, ἡ νῦν καλουμένη Καταναία. ὁ δὲ μέγας Βασίλειος ὑψηλότερον ἑρμηνεύει λέγων· „ Τὸ μὲν Βασὰν ὄνομα, εἰς τὴν αἰσχύνην μεταλαμβάνουσι· διὰ τοῦτο καὶ ὁ βασιλεὺς τῆς Βασὰν Ὢγ προσηγόρευται· Ὢγ δὲ ἑρμηνεύεται, διάφραξις· ὡς τῶν ἔργων τῆς αἰσχύνης τὴν ὁδὸν ἡμῖν τῆς σωτηρίας ἀποφρασσόντων· πάντες γὰρ οἱ τῆς αἰσχύνης ἐργάται, ὑπὸ τοῦ Ὢγ βασιλεύονται, τοῦ τὴν ἀπὸ τοῦ Θεοῦ διακοπὴν ἐνεργοῦντος (ἤτοι τοῦ Διαβόλου) ὃν συντρίβει Κύριος, ἐπ' ἐλευθερίᾳ τῶν κρατουμένων. Σηὼν δὲ πάλιν ἑρμηνεύεται πειρασμὸς, ἢ παροργισμός· Ἀμορραῖοι δὲ λαλητοὶ, ἢ παραπικραίνοντες ἑρμηνεύονται· ὧν τὴν ἀναίρεσιν ἐλέου Θεοῦ δεῖγμα τίθεται ὁ Προφήτης Δαβὶδ, χώραν εἰς ἐνοίκησιν ἀγαθὴν παρέχοντος Ἑβραίοις τὴν ἐκείνων· καὶ τοῦτο ἦν τὸ θησαυρίζεσθαι δικαίοις πλοῦτον ἀσεβῶν (Παρ. ιγ'. 23.) Ἄλλος δέ φησιν ἤτοι ὁ Νικήτας ἐν τῇ Σειρᾷ· „ Εἰ δὲ θέλεις τὴν τοῦ Θεοῦ παραδοξοποιὸν δύναμιν εἰσέτι καὶ νῦν ἐνεργοῦσαν θεάσασθαι, μετάβα τῇ διανοίᾳ καὶ ἐπὶ τὸν ἐξ Ἐθνῶν λαόν· καὶ εἴσῃ τίνα τρόπον ἀπὸ πικρᾶς δουλείας, οὐκ Αἰγυπτίων, ἀλλὰ Δαιμόνων πονηρῶν τοὺς ἐξ Ἐθνῶν εἰς Χριστὸν πεπιστευκότας ἠλευθέρωσεν· ἐξήγαγέ τε ἀπὸ σκότους τῆς Αἰγύπτου, καὶ μετεστήσατο εἰς φῶς, ἀνελὼν τοὺς πρὶν αὐτῶν καταδυναστεύοντας ἀοράτους βασιλεῖς, καὶ δυνάμεις πονηρὰς, πολὺ χείρους τοῦ Φαραώ· ἀφ' ὧν καὶ ἡμᾶς ἠλευθέρωσεν, ὁ ποιῶν θαυμάσια μεγάλα μόνος, διὰ τοῦ βραχίονος αὐτοῦ καὶ τῆς χειρὸς τῆς δεξιᾶς· περὶ οὗ ὁ Ἡσαΐας ἔλεγεν· „ Ἀποκαλύψει Κύριος ὁ Θεὸς τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν Ἐθνῶν. (Ἡσ. νβ'. 10.)

23 : „ Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη
„ ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ
„ ἔλεος αὐτοῦ.

24 : „ Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν
„ ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ.

Ὁ Κύριος, λέγει, ἐθυμήθη ἡμᾶς τοὺς Ἰουδαίους, ὁποῦ εἴμεθα τεταπεινωμένοι ἤτοι κακοπαθοῦντες ἐν τῇ Αἰγύπτῳ. „ Ἰδὼν γάρ, φησιν, εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς τῶν Αἰγυπτίων. (Ἐξ. γ'. 7. 8.) (1) ἡμῶν δὲ εἶπεν ὁ Δαβὶδ καὶ ἡμᾶς, φανερώνωντας τοὺς ἐν Αἰγύπτῳ προγόνους αὐτοῦ, καὶ οἰκειοποιούμενος τοὺς ἐκ τοῦ γένους του. ἔπειτα ἀφήσας τὰς ἄλλας μερικὰς εὐεργεσίας, ὁποῦ ἔκαμεν ὁ Θεὸς εἰς τοὺς Ἑβραίους, ἔρχεται πάλιν εἰς τὴν καθολικὴν Πρόνοιαν καὶ εὐεργεσίαν τοῦ Θεοῦ.

25 : „ Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· ὅ-
„ τι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ὁ Κύριος, λέγει, εἶναι ὁποῦ δίδει τὴν ἁρμοδίαν τροφὴν εἰς κάθε φύσιν, τόσον τῶν ἀνθρώπων, ὅσον καὶ ὅλων τῶν ζώων, τῶν χερσαίων, τῶν θαλαττίων, τῶν πετεινῶν, καὶ τῶν ἀμφιβίων. (2)

26 : „ Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐ-
„ ρανοῦ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
„ αὐτοῦ.

Εὐχαριστεῖτε, λέγει, εἰς τὸν Κύριον, ὅστις εἶναι Θεὸς καὶ Ποιητὴς καὶ Δεσπότης τοῦ οὐρανοῦ. ἀνίσως δὲ εἶναι Ποιητὴς τοῦ οὐρανοῦ, βέβαια αὐτὸς εἶναι Ποιητὴς καὶ τῆς γῆς. ἡ τοῦ οὐρανοῦ εἶπεν. ἐπειδὴ ἐν τῷ οὐρανῷ λέγεται ὅτι κατοικεῖ ὁ Θεός. δυνάμεθα δὲ νὰ προσαρμόσωμεν καὶ εἰς τὸν ἑαυτόν μας, τόσον τὸν παρόντα Ψαλμόν, ὅσον καὶ τὸν προλαβόντα, καὶ νὰ παρακινοῦμεν μὲ αὐτοὺς ἕνας τὸν ἄλλον εἰς τὸ νὰ εὐχαριστοῦμεν τὸν Θεόν, ὅστις διαφόρως εὐεργέτησε τὸν παλαιόν του λαόν, καὶ κατέβαλε τοὺς ἐχθρούς του, καὶ ἐποίησεν ὅλα τὰ ἄνω εἰρημένα θαυμάσια. (3)

Ἀνίσως δὲ καὶ ἐπιχειρήσωμεν νὰ ἐξηγήσωμεν τὸν παρόντα Ψαλμὸν ἀναγωγικῶς καὶ ὑψηλοτέρως, δυνάμεθα νὰ ὀνομάζωμεν, Ἰακὼβ μὲν καὶ Ἰσραὴλ, τὸν ἐκλεκτὸν νέον λαὸν τῶν Χριστιανῶν. Αἴγυπτον δὲ, τὴν ἀσέβειαν καὶ ἁμαρτίαν. σημεῖα δὲ καὶ τέρατα ἐν μέσῳ αὐτῆς, τὰ διὰ τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων καὶ τῶν λοιπῶν ἁγίων γενόμενα θαύμα-

(1) Ἐν τῇ ταπεινώσει ἡμῶν· οὐκ ἐν τοῖς κατορθώμασιν, οὐκ ἐν τῇ εὐπραγίᾳ, ἀλλ' ἐν τῇ ταπεινώσει· τουτέστιν ἤρκεσεν ἡ συμφορὰ ἐπικάμψαι τὸν Θεόν, καὶ τὸ κακῶς πάσχειν ἡμᾶς, κατὰ τὸν Χρυσόστομον· λέγει δὲ καὶ ὁ Θεοδώριτος· „ Μέμνηται τούτων καὶ ὁ μακάριος Μωϋσῆς· „ Ἐστέναξάν, φησιν, οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν Θεόν (Ἔξοδ. β'. 3.)

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Οὐ δικαίοις, οὐδὲ τοῖς κατορθοῦσι μόνον, ἀλλὰ καὶ ἁμαρτωλοῖς, καὶ ἀσεβέσι, καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει δίδωσι τροφήν· οὐκ ἄρα γῆς, οὐδὲ ὑδάτων, οὐδὲ ἀέρων, οὐδὲ ἀκτῖνος, οὐδὲ ἄλλου τινός εἰσι τῶν καρπῶν αἱ γοναὶ, ἀλλ' αὐτοῦ τὸ πᾶν· καὶ ὅρα κἀνταῦθα οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν φιλανθρωπίαν τὴν ἄφατον. ὁ δὲ Θεοδώριτός φησιν· „ Οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς ἀλόγοις τὴν κατάλληλον προσφέρει τροφήν· κατὰ τό· „ Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· ὥστε ἡ τοῦ Θεοῦ πρόνοια ἐπὶ τοσοῦτον διήκει καὶ διαρκεῖ, ὡς ἐκτείνεσθαι ἀπὸ τῶν κατ' οὐρανὸν θαυμάτων, ἐπὶ τὰ κατὰ γῆν μέχρι καὶ τῶν σμικροτάτων ζώων.

(3) Λέγει δὲ ὁ Θεοδώριτος· „ Πάντων μὲν οὖν Θεὸς ὁ Θεός· πάντων γάρ ἐστι Ποιητής· οὐρανοῦ δὲ κυρίως χρηματίζει Θεὸς, ὡς ὑπὸ τῶν ἐν οὐρανῷ διαιτωμένων Ἀγγέλων θεραπευόμενος· ἐκεῖνο γὰρ τὸ χωρίον καθαρὸν ἁμαρτίας· „ Ὑπὲρ ἁπάντων τοίνυν, λέγει ὁ Χρυσορρήμων, τῷ Θεῷ τὴν εὐχαριστίαν ἀναφέρωμεν, τῶν κοινῶν, τῶν ἰδικῶν· τοῦτο γὰρ θυσία· τοῦτο προσφορά· τοῦτο μάλιστα ἡμῖν ἵλεων αὐτὸν καθίστησι.

ματα. φαραὼ δὲ, τὸν Διάβολον. δούλους δὲ τοῦ Διαβόλου τοὺς Δαίμονας, καὶ τοὺς ἀνθρώπους, τοὺς λατρεύοντας εἰς τοὺς Δαίμονας. Ἔθνη δὲ πολλὰ πα-ταχθέντα καὶ συντριφθέντα, ἠμποροῦμεν νὰ ὀνομάσωμεν τὰ πλήθη τῶν Δαιμόνων. βασιλεῖς δὲ κραταιοὺς. τοὺς κυριωτέρους αὐτῶν καὶ ἡγεμονικωτέρους Δαίμονας. Σηὼν δὲ καὶ Ὤγ, αὐτὸν τὸν Σατανᾶν, καὶ τὸν δεύτερον τοῦ Σατανᾶ. βασιλεῖς δὲ Χαναὰν, τὰς δυναστείας τῆς ἁμαρτίας. γῆν δὲ αὐτῶν τὴν δοθεῖσαν εἰς τὸν νέον Ἰσραὴλ, ἠμποροῦμεν νὰ νοήσωμεν τοὺς τόπους, τοὺς ὁποίους πρότερον οἱ Δαίμονες κατακυριεύοντες, ὕστερον ἐδιωχθησαν ἀπὸ τὴν τούτων κυριότητα. οἶκον δὲ Ἰσραὴλ θέλομεν νοήσωμεν, ὅλον ἁπλῶς τὸν λαὸν τῶν Χριστιανῶν. οἶκον δὲ Ἀαρὼν, τοὺς Ἀρχιερεῖς καὶ Ἱερεῖς. καὶ οἶκον Λευῒ, τοὺς διακόνους. φοβουμένους δὲ τὸν Κύριον, τοὺς ἐναρέτους καὶ δικαίους. Σιὼν δὲ, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, πρωτότοκα δὲ Αἰγύπτου, τὰ γλυκύτερα καὶ ἡδονικώτερα πάθη, ὁποῖα εἶναι μάλιστα τὰ σαρκικά· ἢ καὶ τὰ ὄντα πλέον περιπόθητα εἰς τοὺς Δαίμονας καθὼς καὶ τὰ πρωτότοκα τέκνα εἶναι ἐπιθυμητὰ εἰς τοὺς γονεῖς αὐτῶν. ἐρυθρὰν δὲ θάλασσαν ἠμποροῦμεν νὰ νοήσωμεν, τὴν ἅλμην καὶ πικρίαν τῶν ἀσεβῶν δογμάτων, μέσα εἰς τὴν ὁποίαν περικλείονται οἱ ἄπιστοι καὶ ἀσεβεῖς καὶ πνίγονται. ἔρημον δὲ, τὴν ἀκαρπίαν τῆς πλάνης, τὴν ὁποίαν διαπερνῶντες οἱ εὐσεβεῖς Χριστιανοὶ καὶ ἀποφεύγοντες, καταντῶσιν εἰς τὴν καρποφορίαν τῆς ἀληθείας. ταπείνωσιν δὲ ἡμῶν τῶν Χριστιανῶν πρέπει νὰ ὑπολάβωμεν, ὄχι μόνον τὴν ἐκ τῶν πειρασμῶν προξενουμένην εἰς ἡμᾶς ἐσωτερικῶς καὶ χωρὶς νὰ θέλωμεν. ἀλλὰ καὶ τὴν ἐνάρετον ἤτοι τὴν ἀρετὴν τῆς ταπεινοφροσύνης, ἥτις κατορθώνεται μὲ τὴν θεληματικὴν ἡμῶν γνώμην.

ΨΑΛΜΟΣ ΡΛΣ.

„Ψαλμὸς τῷ Δαβίδ.

Ὁ Ψαλμὸς οὗτος λέγεται ἐκ προσώπου τῶν ἐν Βαβυλῶνι σκλαβωθέντων Λευϊτῶν: ἤτοι διακόνων, καὶ ὅλης τῆς ἱερατικῆς φυλῆς, καὶ τῶν ψαλτῶν. προλέγει δὲ ὁ Ψαλμὸς οὗτος καὶ ἐκεῖνα, ὁποῦ ἔμελλον νὰ γένουν εἰς τοὺς ἀνωτέρω Ἰουδαίους, ἐνταυτῷ δὲ καὶ τοὺς διδάσκει, ποῖα ἔργα καὶ λόγια νὰ πράττουν καὶ νὰ λέγουν, ἵνα ἐκ τούτων τραβίξωσιν εἰς ἔλεος τὸν Θεόν. ἀνεπίγραφος δὲ εἶναι καὶ ὁ Ψαλμὸς οὗτος, κοντὰ εἰς τοὺς Ἑβραίους. (1)

1: „Ἐ-

(1) Σημείωσαι, ὅτι κατὰ τὸν Εὐσέβιον, ἔντισι τῶν ἀντιγράφων γέγραπται ἐπὶ τοῦ Ψαλμοῦ τούτου, Ἀγγαίου καὶ Ζαχαρίου. ὁ δὲ Θεοδώριτός φησι· „Τινὲς δὲ θρασὺ πρᾶγμα τετολμηκότες, ἐπέγραψαν τῷ Ψαλμῷ τούτῳ· ἢ Διὰ Ἱερεμίου· Ἱερεμίας δὲ οὐκ ἀπήχθη εἰς Βαβυλῶνα μετὰ τῶν δορυαλώτων· ἀλλ' ὀλίγον ἐν Ἱερουσαλὴμ διαγαγὼν χρόνον, ὑπὸ τῶν παρανόμων βιασθεὶς Ἰουδαίων, τῆς εἰς Αἴγυπτον ὁδοῦ αὐτοῖς κεκοινώνηκε· πῶς οὖν ἁρμότ-

1: „ Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐ-
„ κεῖ ἐκαθήσαμεν καὶ ἐκλαύσαμεν
„ ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς
„ Σιών.

Ἐπειδὴ οἱ Ἑβραῖοι ἦτον σκλαβωμένοι, διὰ τοῦτο ἐκατοίκουν καὶ διέτριβον ἔξω ἀπὸ τὰς πόλεις: δηλαδὴ εἰς τόπους ἐρήμους: διὰ τοῦτο καὶ πηγαίνοντες συχνὰ εἰς τὰς ἄκρας τῶν ποταμῶν, ἐκεῖ μόνοι ἐκάθοντο καὶ ἐθρήνουν τὴν σκλαβίαν καὶ συμφοράν τους μὲ ἡσυχίαν: ἐπειδὴ γὰρ αὐτοὶ ἔχοντες τὰ ἀγαθὰ καὶ τὴν ἐλευθερίαν εἰς τὰς χεῖρας των, ὑπερηφανεύοντο καὶ ἐκαταφρόνουν αὐτὰ μὲ τὰς ἁμαρτίας· διὰ τοῦτο ὑστερήθησαν ἀπὸ τὰ ἀγαθά, διὰ νὰ τὰ ἐπιθυμήσουν πάλιν. ἔτζι γὰρ συνειθίζει νὰ κάμνῃ ὁ Θεὸς εἰς τοὺς καταφρονητὰς τῶν ἀγαθῶν του. καὶ ἐκείνους τοὺς ἀνθρώπους, ὁποῦ δὲν αἰσθάνονται οὐδὲ γνωρίζουν τὰ καλὰ ὁποῦ ἔχουν· τοὺς ὑστερεῖ τὰ ἀγαθά, διὰ νὰ φέρῃ αὐτοὺς εἰς τὴν ἐκείνων αἴσθησιν καὶ ἐνθύμησιν κατὰ τὸν θεῖον Χρυσόστομον. (1)

2: „ Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρε-
„ μάσαμεν τὰ ὄργανα ἡμῶν.

Τὰ μουσικά, λέγει, ὄργανα, μὲ τὰ ὁποῖα ἐψάλλομεν καὶ ἐδοξολογοῦμεν τὸν Θεόν, ὅταν εἴμεθα εἰς τὴν Ἱερουσαλὴμ αὐτά, ὅταν ἐσκλαβώθημεν εἰς τὴν Βαβυλῶνα, τὰ ἐκρεμμάσαμεν ἐπάνω εἰς τὰς ἰτέας, τὰς φυτευμένας εἰς τὰς ἄκρας τῶν ποταμῶν, ὁποῦ τρέχουν εἰς τὸ μέσον τῆς χώρας Βαβυλῶνος. μὲ τὸ νὰ ἦτον τότε ἀργὰ καὶ ἄχρηστα εἰς ἡμᾶς. ἐπῆραν δὲ μαζί τους αὐτὰ οἱ ψάλται τῶν Ἑβραίων, διὰ νὰ τὰ ἔχουν μίαν ἐνθύμησιν τῆς ἐν τῇ Ἱερουσαλὴμ Θεοσεβείας καὶ πολιτείας των, κατὰ τὸν Χρυσόστομον. ἢ ἀναγωγικῶς, ἐκρέμασαν τὰ ὄργανα των ἐπάνω εἰς τὴν ἀργίαν. διὰ τῶν ἀκάρπων γὰρ δένδρων τῶν ἰτέων, ἐφανέρωσαν τὸ ἀπρακτον καὶ ἄχρηστον τῶν Ψαλμῶν καὶ ὀργάνων. (2)

3: „ Ὁ-

μόττει αὐτῷ λέγειν· „ Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν „. ἀλλὰ καὶ ὁ Βουλγαρίας Θεοφύλακτος ἐν τῇ ὑποθέσει τῆς εἰς τὸν Ἰωνᾶν ἑρμηνείας λέγει· „ Τὸν θεσπέσιον Ἱερεμίαν τοσαύτης ἠξίωσε τιμῆς τῶν Βαβυλωνίων ὁ βασιλεὺς (ὁ Ναβουχοδονόσορ δηλαδὴ) ὡς αἵρεσιν αὐτῷ τῆς οἰκήσεως δοῦναι· καὶ τοὺς μὲν ἄλλους πάντας βασιλέας καὶ ἄρχοντας αἰχμαλώτους ἀπήγαγε· τούτῳ δὲ μόνῳ δέδωκεν ἐξουσίαν διάγειν, ὅπου βούλεται.

(1) Λέγει γὰρ αὐτός· „ Ὅταν ἐντρυφῶντες αὐτοῦ τοῖς ἀγαθοῖς μὴ αἰσθανώμεθα, ἐν ἐρημίᾳ αὐτῶν ἡμᾶς καθίστησιν, ὥστε τῇ στερήσει σωφρονισθέντας, ζητῆσαι πάλιν τὴν ἀπόλαυσιν. φησὶ δὲ ὁ Θεοδώριτος· „ Εἰώθασιν οἱ ἀθυμοῦντες τὰ ἐρημότερα καταλαμβάνειν χωρία, κἀκεῖ τὰς οἰκείας ὀλοφύρεσθαι συμφοράς· καὶ οὗτοι τοίνυν ταῖς ὄχθαις τῶν ποταμῶν προσκαθήμενοι· (ποταμοὺς δὲ νοεῖ τὰς διώρυγας τοῦ Εὐφράτου·) καὶ τῆς μητροπόλεως αὐτῶν λογιζόμενοι τὴν ἐρημίαν, πολλὰ προέχεον δάκρυα, τὰ τῶν ποταμῶν μιμούμενα ῥεύματα· Βαβυλὼν δὲ κέκληται ὁ τόπος, κατὰ Νικήταν, ἔνθα συνεχύθη ἡ διάλεκτος τῶν εἰπόντων· „ Δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον: ἐκεῖ τοίνυν κατελθὼν ὁ Θεὸς τὰς γλώσσας συνέχεε· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου σύγχυσις· καὶ ἔστιν ἡ Βαβυλὼν χωρίον συγχύσεως, οὐ διαλέκτου μόνον, ἀλλὰ καὶ δογμάτων καὶ νοημάτων καὶ τοῦ δοκοῦντος ταῦτα βλέπειν νοῦ.

(2) Ἄχρηστα δὲ ἦτον τότε τὰ ὄργανα, κατὰ τὸν Θεοδώριτον· ἐπειδὴ ὁ νόμος ἐπρόσταζεν εἰς μόνον τὸν τόπον τῆς Ἱερουσαλὴμ, νὰ πληροῦσι τὴν λατρείαν, καὶ νὰ ψάλλουν εἰς τὸν Θεόν. λέγει δὲ ὁ Εὐσέβιος· „ Ὅτι οἱ μὲν ἄλλοι σκλάβοι Ἰουδαῖοι ἐτρύφουν καὶ δὲν αἰσθάνοντο τὴν συμφορὰν ὁποῦ εἶχον· οἱ δὲ Ἱερεῖς καὶ Λευῖται καὶ ψάλται, φεύγοντες ἀπὸ τὴν πόλιν Βαβυλῶνα, καὶ ἀπὸ τὰς τῶν ἐχθρῶν Βαβυλωνίων συναναστροφάς, ἐκάθοντο εἰς τὰς ὄχθας τῶν ποταμῶν, καὶ ἀπὸ τὴν ῥοὴν τῶν ποταμῶν, ἐστοχάζοντο τὰ ῥευστὰ τοῦ τῶν ἀνθρώπων βίου πράγματα· καὶ τὰ μὲν ὄργανα, ἔκρυπτον μέσα εἰς τὰς ἰτέας, διὰ νὰ μὴ τὰ βλέπουν οἱ ἐχθροί· αὐτοὶ δὲ καθήμενοι ἀντικρὺ τῶν ὀργάνων, θρήνους ἐποίουν ἀντὶ Ψαλμῶν, πενθοῦντες, διατὶ ἦτον ἐστερημένοι τῆς διὰ τῶν ὀργάνων ψαλμῳδίας καὶ λατρείας τοῦ Θεοῦ· κατὰ δὲ τὸ νόημα ἁρμόζουσι ταῦτα καὶ εἰς ἐκείνους τοὺς Χριστιανούς, ὁποῦ ἀρνοῦνται τὸν Χριστὸν ἐν καιρῷ διωγμοῦ, καὶ παρασύρονται ἀπὸ τὴν τοῦ διωγμοῦ σύγχυσιν· Βαβυλὼν γὰρ σύγχυσις ἑρμηνεύεται, ὡς εἴπομεν ἀνι-

3 : „ Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰ„ χμαλωτεύσαντες ἡμᾶς λόγους ᾠ„ δῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕ„ μνον.

Οἱ σκλαβώσαντες, λέγει, ἡμᾶς Βαβυλώνιοι ἐρώτησαν ἡμᾶς νὰ ἀποκριθῶμεν κάποια λόγια ἀπὸ τὰ θεῖα ἄσματα καὶ ἀπὸ τοὺς ὕμνους, τοὺς ὁποίους ἐψάλλομεν εἰς τὸν Θεὸν ἐν τῇ Ἰερουσαλήμ: ἤτοι ἐπρόσταξαν ἡμᾶς νὰ ψάλλωμεν, θέλοντες νὰ ἀκούσουν ἁπλῶς, διὰ τέρψιν καὶ ἡδονήν: ἢ καὶ διὰ νὰ γελάσουν τὰ ἐδικάμας σεμνὰ καὶ θεῖα πράγματα, κατὰ τὸν Θεοδώριτον.

„ Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών.

Τοῦτο, λέγει, εἶπον εἰς ἡμᾶς οἱ Βαβυλώνιοι· ψάλλατε εἰς ἡμᾶς ὦ Ἰουδαῖοι, κἀνένα ᾆσμα ἀπὸ τὰ ᾄσματα ἐκεῖνα, ὁποῦ ἐψάλλετε, ὅταν εὑρίσκεσθε εἰς τὴν Σιὼν καὶ Ἱερουσαλήμ.

4 : „ Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ „ γῆς ἀλλοτρίας;

Ἡμεῖς δὲ, λέγει, οἱ Ἰουδαῖοι, ἀπεκρίθημεν εἰς τοὺς ἐρωτήσαντας Βαβυλωνίους. πῶς ἠμποροῦμεν νὰ ψάλλωμεν ᾆσμα θεῖον εἰς ἄλλον ξένον τόπον ἔξω τῆς Ἱερουσαλήμ, εἰς καιρὸν ὁποῦ ὁ νόμος ἡμῶν ἐμποδίζει τοῦτο; βλέπε δὲ ὦ ἀναγνῶστα, πόσον ὠφέλησε καὶ ἐδιώρθωσε τοὺς Ἰουδαίους ἡ σκλαβία. διότι ἐκεῖνοι ὁποῦ πρότερον ἐπαράβαινον τὸν νόμον τοῦ Θεοῦ μέσα εἰς τὴν ἐδικήν τους πατρίδα, αὐτοὶ τώρα τὸν φυλάττουσι κατὰ τὸν Χρυσόστομον, εἰς τὴν ξενιτείαν· γῆ δὲ ἀλλοτρία νοεῖται καὶ κάθε καρδία, ὁποῦ εἶναι ξένη ἀπὸ τὴν θεοσέβειαν καὶ ἀρετήν, ὅθεν εἰς τὴν τοιαύτην καρδίαν δὲν πρέπει νὰ μεταδίδῃ τινὰς τὰ θεῖα καὶ

ἀνίσως λοιπὸν ϗ τινὰς Χριστιανὸς πέσῃ εἰς τὴν σύγχυσιν τῶν διαγμῶν, ϗ ἀντὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καταικήσῃ εἰς τὸν τόπον τῶν ἐχθρῶν ϗ ἀσεβῶν· αὐτὸς εἶναι ἀνάγκη νὰ μὴ λησμονήσῃ ποτὲ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, εἰς τὴν ὁποίαν ἐγεννήθη πνευματικῶς διὰ τοῦ Βαπτίσματος· μήτε νὰ ἐκδοθῇ εἰς τὴν ἀπάτην τῆς Βαβυλῶνος· ἀλλὰ καθήμενος εἰς τοὺς ποταμούς: ἤγουν συλλογιζόμενος τὰ ῥευστὰ ϗ ἄστατα τοῦ βίου πράγματα, νὰ κλαίῃ ϗ νὰ ὀδύρεται τὸν ἐδικόν του χωρισμόν.

Ὁ δὲ ἅγιος Μεθόδιος ὁ Πατάρων λέγει· „ Τάχα δὲ αἱ παρθένοι ϗ καθαραὶ ψυχαὶ προσᾴδουσαι τῷ Θεῷ, φασὶν, ὅτι ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ τῆς Βαβυλῶνος τὰ ὄργανα ἡμῶν ἐκρεμάσαμεν· δηλοῦσαι, ὅτι τὰ ὄργανα: ἤγουν τὰ σκηνώματα ϗ σώματα ἑαυτῶν, τῆς ἁγνείας ἐξήρτησαν, ἵνα μὴ παρασύρωσιν ἐν μέσῳ περικλυζόμενα τῶν τῆς κακίας ποταμῶν, ἐφορμώντων ἡμῖν· διὸ ϗ δεόμεθα μετὰ κλαυθμοῦ, ἵνα μὴ ἀπολισθήσαντα τῆς ἁγνείας τὰ ὄργανα, ἐμπέσωσι τοῖς τῆς ἡδονῆς κύμασι· πολλαχοῦ δὲ τύπος τῆς παρθενίας ἡ ἰτέα· ἧς ϗ τὸ ἄνθος τριβὲν καὶ ποθὲν, κατασβέννυσι τοὺς εἰς ὀχείαν ἐρεθισμοὺς, ἕως ἂν εἰς ἄρδην ἀποστειρώσῃ τὴν ἐπὶ παιδοποιΐᾳ φοράν· ὥσπερ δὴ ϗ ὁ Ὅμηρος ἐμήνυσε; διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας· ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν ϗ βλαστάνειν ἐν ὕδασι πέφυκεν· οὕτως ἐπανθεῖν φιλεῖ ϗ ἐπακμάζειν ἡ παρθενία, λόγοις πιαινομένη· ἵνα δυνηθῇ τις ἐκκρεμάσαι αὐτῆς τὸ ἑαυτοῦ ὄργανον· εἰ γὰρ οἱ ποταμοὶ Βαβυλῶνος; τὰ τῆς ἡδυπαθείας δηλονότι ῥεύματα, συγχέοντα, ταράσσουσι τὴν ψυχὴν, ἰτέαι πάντως ἡ σωφροσύνη, ἧς ἀναρτῶμεν τὰ παιδογόνα μόρια τὰ βρίθοντα. ἵνα μὴ κατενεχθέντα πρὸς τοὺς τῆς ἀκρασίας ὀχετοὺς, σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ϗ τὰς σηπεδόνας ἐγχρίμπτωνται. (παρὰ τῷ Νικήτᾳ.)

Νοεῖται δὲ ϗ ἄλλως τὰ τοῦ Ψαλμοῦ τούτου· ὅτι Σιὼν μὲν ϗ Ἱερουσαλὴμ, εἶναι ὁ Παράδεισος ἡ πρώτη πατρίς μας· Βαβυλὼν δὲ εἶναι ὁ παρὼν κόσμος· ποταμοὶ δὲ τοῦ κόσμου τούτου, εἶναι τὰ ῥευστὰ τοῦ βίου πράγματα· σκλαβωθέντες λοιπὸν ἡμεῖς ἀπὸ τοὺς Δαίμονας διὰ τὴν παράβασιν: ἐξωρίσθημεν ἀπὸ τὸν Παράδεισον, ϗ ἐκαταντήσαμεν εἰς τὴν σύγχυσιν τοῦ παρόντος κόσμου· ὅθεν πρέπει νὰ ἐνθυμούμεθα πάντοτε τὴν μακαρίαν ἐκείνην ζωὴν τοῦ Παραδείσου, ϗ νὰ παρακαλῶμεν τὸν Θεὸν νὰ μᾶς γυρίσῃ πάλιν εἰς τὸν Παράδεισον, τὴν παλαιάν μας πατρίδα· ϗ νὰ μᾶς λυτρώσῃ ἀπὸ τὴν ἐξορίαν ταύτην· ὅθεν ϗ ὁ Ψαλμὸς οὗτος συνειθίζεται νὰ ψάλλεται κατὰ τὴν Κυριακὴν τῆς τυρινῆς, ὅτε γίνεται ἡ ἀνάμνησις τῆς ἐξορίας τοῦ Ἀδὰμ, διὰ νὰ παριστάνεται τὸ νόημα τοῦτο.

καὶ οὐράνια μυςήρια · κατὰ τὸ, „ μὴ δότε τὰ ἅγια τοῖς κυσὶν, μὴ δὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. (Ματθ: ζ. 6:) (1)

5 : „ Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ ; „ ἐπιλησθείη ἡ δεξιά μου.

Ἀνίσως, λέγει, ἐγὼ ὁ λαὸς τῶν Ἰουδαίων καὶ σοῦ ἀλησμονήσω, ὦ πόλις Ἱερουσαλὴμ; ἄμποτε νὰ ἀλησμονηθῇ ἡ δύναμίς μου, ἢ ἡ ἐνέργειά μου κατὰ τὸν Χρυσόςομον: ἤτοι ἄμποτε νὰ γένω κουλλὸς, καὶ παράλυτος: ἢ ἄμποτε νὰ ξηρανθῇ τὸ χέρι μου, ὥςε νὰ μὴ τὸ αἰσθάνωμαι πλέον. 2)

6 : „ Κολληθείη ἡ γλῶσσά μου τῷ λά- „ ρυγγί μου ; ἐὰν μή σου μνησθῶ.

Ἄμποτε, λέγει, νὰ πιασθῇ ἡ φωνή μου, ὥςε ὁποῦ νὰ μὴ δύναμαι πλέον νὰ ὁμιλήσω: ἤγουν ἄμποτε νὰ ὑςερηθῶ καὶ νὰ μὴ δύνωμαι νὰ ἐνεργήσω οὔτε ἔργον, οὔτε λόγον. τὸ μὲν γὰρ ἔργον δηλοῦται διὰ τῆς δεξιᾶς, ὁποῦ εἴπεν ἀνωτέρω, διὰ δὲ τῆς κολλήσεως τῆς γλώσσης, δηλοῦται ὁ προφορικὸς λόγος ἀλλὰ καὶ ἡμεῖς οἱ Χριςιανοὶ αὐτὰ τὰ ἴδια λόγια καὶ κατάρας χρεωςοῦμεν νὰ λέγωμεν κινούμενοι ἀπὸ ἀγάπην τῆς ἄνω Ἱερουσαλὴμ, τῆς αἰωνίου πατρίδος μας. ἡ δεξιὰν μὲν ὀνομάζει, τὴν πρᾶξιν τῆς ἀρετῆς. γλῶσσαν δὲ τὴν θεωρίαν καὶ γνῶσιν. διότι, ἡ μὲν γλῶσσα, εἶναι σημεῖον καὶ ὑπηρέτης τοῦ λόγου, ὁ δὲ λόγος πάλιν εἶναι σημεῖον τῆς θεωρίας καὶ γνώσεως. λαρυγγα δὲ ὀνομάζει τὸ τοῦ λαιμοῦ πάθος: ἤτοι τὴν ἡδονήν. ἄμποτε, λέγει, λοιπὸν νὰ ἀλησμονηθῇ, ἡ πρακτικὴ μὲν ἐργασία μὲ τὴν ἀργίαν: ἡ δὲ θεωρητικὴ ἐνέργεια νὰ κολληθῇ μὲ τὴν ἡδονὴν τῶν φαγητῶν, καὶ νὰ γένῃ ἀκίνητος εἰς τὴν ἡδονὴν τῶν θείων γνώσεων καὶ νοημάτων · τὰ ὁποῖα εἶναι κατάραι μεγάλαι.

„ Ἐ-

(1) Διὰ δύω αἴτια οὐκ ᾖδον οἱ Ἰουδαῖοι εἰς τοὺς Βαβυλωνίους, ὡς λέγει εἷς τῶν ἑρμηνευτῶν · κυρίως μὲν, διατὶ δὲν ἦτον συγκεχωρημένον ἔξω τῆς Ἱερουσαλὴμ, μήτε τὸ Πάσχα νὰ τελοῦσι, μήτε τὰς ἄλλας ἑορτάς · καὶ ἄλλο δὲ, διατὶ ἐὰν ἔψαλλον καὶ ἐδιηγοῦντο τὰ θαυμάσια, ὁποῦ ἐποίησεν ὁ Θεὸς διὰ νὰ τοὺς ἐλευθερώσῃ ἀπὸ τὴν Αἴγυπτον καὶ ἀπὸ τὰ ἄλλα Ἔθνη · δὲν ἤθελαν πιςεύσουν εἰς αὐτὰ οἱ Βαβυλώνιοι, ἀπιςοῦντες διὰ τὴν σκλαβίαν, ὁποῦ τότε εἶχον οἱ Ἑβραῖοι · ἀλλὰ καὶ οἱ ἄφρονες προσᾴδοντες τὸ Εὐαγγέλιον, κατ' ἄλλον ἐξηγητὴν, ᾄδουσι τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας ; ἧς οὐκ ἔςιν ὁ Χριςὸς γεωργός · ἀλλ' οὐδὲ ἔξεςι τοῖς ἐκπεσοῦσι τῆς Ἐκκλησίας ᾠδὰς ᾄδειν · ἀλλ' ἢ ἄρα θρήνους καὶ λόγους καταλλήλους τῇ κατεχούσῃ αὐτοὺς συμφορᾷ · εἴποι δ' ἂν τοῦτο καὶ ὁ μεμνημένος τοῦ · „ Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός · ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου ; ὁ γὰρ διὰ τὰς ἁμαρτίας ἀποπεσὼν τῆς Ἐκκλησίας, τούτων εὐλόγως ἀκούσεται. λέγει γὰρ ὁ Θεολόγος Γρηγόριος σὺν τῷ Χρυσοςόμῳ · „ Οἱ εἰς Βαβυλῶνα καὶ τὴν πονηρὰν σύγχυσιν κατασυρέντες τῆς ἁμαρτίας, ἐκεῖ μὲν οὐ δυνάμεθα τὴν θείαν ᾄδειν ᾠδὴν, ὡς ἐπὶ γῆς ἀλλοτρίας · ἕως γὰρ τῇ πάντων βαρβάρων τυραννικωτέρᾳ δουλεύωμεν ἁμαρτίᾳ, οὐκ ἔξεςιν ἡμῖν τὰ θεῖα λαλεῖν ; κἂν τὰ τοῦ λόγου ἔχωμεν ὄργανα ; ὡς ἐκεῖνοι τότε τὰς κιθάρας καὶ λύρας · ὅταν δὲ, ὡς εἰς Ἱερουσαλὴμ τὴν ἀρετὴν ἐπανέλθωμεν, τότε δὴ νέαν ᾠδὴν καὶ πολιτείαν ἱςάμενοι, ᾆσμα καινὸν ᾄδομεν (παρὰ τῷ Νικήτᾳ.) προσθέττει δὲ ὁ Θεοδώριτος · „ Ἔλεγχος δὲ ταῦτα Ἰουδαίων τῶν παρανόμων, πληροῦν σπουδαζόντων τὸν νόμον καὶ ἔξω τῶν νενομισμένων χωρίων ἐπιτελούντων τὰ νόμιμα.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων · „ Ὅρα κἀντεῦθεν πολλὴν τὴν μεταβολήν : καὶ γὰρ καθ' ἑκάςην ἡμέραν ἀκούοντες ὅτι τῆς πόλεως ἐκπεσοῦνται, καὶ οὐ φροντίζοντες, καὶ ἑαυτοῖς ἐπαρῶνται νῦν, εἰ ἐπιλάθοιντο αὐτῆς. ὁ δὲ Θεοδώριτος · „ Τῆς ἄνωθέν, φησὶ, βοηθείας μὴ τύχοιμι · ταύτην γὰρ καλεῖ δεξιάν · μερικοὶ δὲ ἑρμηνευταὶ λέγουν, ὅτι οἱ Ἑβραῖοι, ὅταν ἔχασαν τὴν ἀγαπητήν τους Ἱερουσαλὴμ, καὶ ἐσκλαβώθησαν εἰς τὴν Βαβυλῶνα, τόσον πολλὰ ἐπόνει ἡ καρδία τους δι' αὐτὴν ; ὥςε ὁποῦ διὰ νὰ τὴν ἐνθυμοῦνται συχνὰ, τὴν ἐσκάλισεν ὁ καθ' ἕνας εἰς τὴν πέτραν τοῦ δακτυλιδίου του · καὶ ὁσάκις φοραῖς ἔβλεπε τὸ δακτυλίδι εἰς τὸ δεξιόν του χέρι, ἐλάμβανεν ἀφορμὴν νὰ ἐνθυμῆται τὴν ἐπιθυμητήν του ἐκείνην πατρίδα · διὰ τοῦτο καὶ ὡσὰν κατάραν ἔλεγε τοῦτον τὸν λόγον · ἐάν σου ἀλησμονήσω Ἱερουσαλὴμ, νὰ ἀλησμονηθῇ τὸ δεξιόν μου χέρι · „ Ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου · ὅθεν ἐπιφέρει ὁ Χρυσορρήμων · „ Ἀκούωμεν ταῦτα καὶ παιδευώμεθα · καθάπερ γὰρ οὗτοι τῆς κάτω Ἱερουσαλὴμ ἐκπεσόντες, τότε ζητοῦσιν αὐτήν · οὕτω καὶ ἡμῶν πολλοὶ πείσονται ἐν ἐκείνῳ τῷ καιρῷ, τῆς ἄνω Ἱερουσαλὴμ ἐκπίπτοντες · ἀλλ' αὐτοὶ μὲν ἐλπίδας ἔσχον ἐπανόδου, ἡμᾶς δὲ ἐκπεσόντας ἐκείνης τῆς Μητροπό-

„ Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱε-
„ ρουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφρο-
„ σύνης μου.

Ἀμποτε, λέγει, νὰ πάθω τὰς ἄνω εἰρημένας κατάρας, ἀνίσως προτήτερα ἀπὸ ὅλα τὰ ἄλλα, δὲν τάξω πρώτην εἰς τὴν ἐνθύμησίν μου τὴν Ἱερουσαλήμ: καθότι αὐτὴ εἶναι ἐν ἀρχῇ τῆς οἱασδήποτε εὐφροσύνης μου: ἤτοι αὐτὴ εἶναι ἀρχὴ καὶ κεφάλαιον τῆς χαρᾶς μου, ὡς πρώτη μου ἡδονή. (1)

7: „ Μνήσθητι Κύριε, τῶν υἱῶν Ἐδὼμ
„ τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λε-
„ γόντων· ἐκκενοῦτε ἐκκενοῦτε ἕως
„ τῶν θεμελίων αὐτῆς.

Υἱοὺς Ἐδὼμ, λέγει τοὺς Ἀραβίους, ἢ Ἰδουμαίους τοὺς ἐκ τοῦ Ἠσαῦ καταγομένους κατὰ τὸν Θεοδώριτον, οἱ ὁποῖοι ἐσυνεμάχησαν μὲ τοὺς βαβυλωνίους εἰς τὸν πόλεμον τὸν κατὰ τῆς Ἱερουσαλήμ, καὶ ὅταν οἱ βαβυλώνιοι κατέσκαπτον τὴν Ἱερουσαλήμ, τότε καὶ οἱ Ἀράβιοι καὶ Ἰδουμαῖοι ἐσπούδαζον καὶ ἐπαρακίνουν αὐτοὺς εἰς τὸ νὰ κατασκάψουν καὶ αὐτὰ τὰ τῆς Ἱερουσαλὴμ θεμέλια. Ἐνθυμήσου λοιπὸν, λέγει, ὦ Κύριε, διὰ νὰ κάμῃς τὴν δικαίαν ἀνταπόδοσιν καὶ τιμωρίαν εἰς τοὺς ῥηθέντας Ἀραβίους καὶ Ἰδουμαίους. διατὶ αὐτοὶ, καὶ μὲ ὅλον ὁποῦ εἶχον συγγένειαν μὲ ἡμᾶς τοὺς Ἑβραίους, ὡς ἐκ τοῦ αὐτοῦ προγόνου ἡμῶν Ἰακὼβ καταγόμενοι, διὰ μέσου τοῦ υἱοῦ του Ἠσαῦ. (ὁ γὰρ Ἠσαῦ καὶ Ἐδὼμ ὠνομάζετο, ἐξ οὗ καὶ Ἰδουμαῖοι.) ἔγιναν ὅμως αὐτοὶ πικρότεροι ἀπὸ τοὺς ἐχθροὺς μας καὶ πολεμίους, διὰ τὸν φθόνον ὁποῦ εἶχον καθ' ἡμῶν. εἰπὼν δὲ τῶν υἱῶν Ἐδὼμ, ἐπρόσθεσε καὶ τὴν ἡμέραν Ἱερουσαλήμ: ἤγουν ἐνθυμήσου, λέγει, Κύριε, καὶ τῶν υἱῶν Ἐδὼμ, καὶ τὴν ἡμέραν τῆς συμφορᾶς τῆς Ἱερουσαλήμ: ἀλλάξας τὴν σύνταξιν, καὶ μεταβὰς ἀδιαφόρως ἀπὸ γενικὴν εἰς αἰτιατικήν. ἢ μνήσθητι τῶν υἱῶν Ἐδὼμ τῶν κατὰ τὴν συμφορὰν τῆς Ἱερουσαλὴμ βοηθησάντων τοὺς Βαβυλωνίους.

8: „ Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπω-
„ ρος.

Καθὼς εἶναι συνήθεια εἰς τοὺς Ἑβραίους νὰ ὀνομάζουν τὸν ἄνθρωπον υἱὸν ἀνθρώπου: ἔτζι καὶ θυγατέρα βαβυλῶνος ὀνομάζουν τὴν ἰδίαν βαβυλῶνα, (2) ὦ θυγάτερ, λέγει, τῆς Βαβυλῶνος ταλαίπωρε ὦ Βαβυλὼν ἀθλία, διὰ τὰ κακὰ ὁποῦ μέλλουν νὰ γένουν εἰς ἐσένα, κατὰ τὸν Χρυσόστομον. μὲ τὰ λόγια δὲ ταῦτα προφητεύει ὁ Δαβὶδ τὸν ἀφανισμὸν, ὁποῦ ἔμελλε νὰ λάβῃ ἀπὸ τὸν Βασιλέα Κῦρον.

„ Μακάριος, ὃς ἀνταποδώσει σοι τὸ
„ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας
„ ἡμῖν.

Ταῦ-

πόλεως, οὐκ ἔνι πάλιν ἐπανελθεῖν· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησί· διὰ τοῦτο δεῖ τὸν παρόντα βίον οὕτως οἰκονομεῖν, ὡς μὴ γενέσθαι ξένους τῆς ἄνω πόλεως.

(1) Ὅθεν ὁ Πηλουσιώτης Ἰσίδωρος ἔγραφε· „ Καὶ σὺ οὖν, εἰ φίλος Θεοῦ εἶναι βούλει, ἄρχε κραταιῶς, μὴ δώροις, ἢ φιλίᾳ, ἀλλ' ἀξίᾳ ὀρέγων τὸ δίκαιον· μὲ τὰ λόγια δὲ ταῦτα ἀρχὴν ἐννοεῖ ἐδῶ ὁ ἅγιος, τὴν ἐξουσίαν. ὁ δὲ Θεσσαλονίκης Γρηγόριος, ἀρχὰς ἐνόησε τοὺς ἀρχηγοὺς ϗ πρώτους ἀπὸ κάθε τάγμα τῶν ἁγίων· οἷον, ἀπὸ τὸ τάγμα τῶν Ἀποςόλων, τοὺς Κορυφαίους Πέτρον ϗ Παῦλον, ἢ ϗ τοὺς δώδεκα· ἀπὸ τοὺς Μάρτυρας, τὸν Δημήτριον, ϗ Γεώργιον, ϗ Θεοδώρους· ϗ ἀπὸ τοὺς Ὁσίους, τὸν Ἀντώνιον, Σάββαν, ϗ Εὐθύμιον· ϗ καθεξῆς. Ἄλλος δὲ τὸ ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν ἐνόησεν, ἀντὶ τοῦ παμπληθεῖς μοι ἦσαν· διὰ τοῦτο ϗ ἀκολούθως λέγει· „ Ἐξαριθμήσομαί αὐτοὺς ϗ ὑπὲρ ἄμμον πληθυνθήσονται. ὁ δὲ Θεοδώριτος λέγει· „ Ὅτι τοῦτο νοεῖται ϗ περὶ τοῦ Βασιλέως Ἰωσίου, ὅς τις κατὰ τὴν ἱςορίαν. πάσης θεραπείας τοὺς ἱερεῖς ἠξίωσε· ἤκουσε γὰρ πάντως τῶν ὑποσχέσεων, ἃς πρὸς τὸν Ἀβραὰμ ὁ Θεὸς ἐποιήσατο· „ Εὐλογήσω, λέγων, τοὺς εὐλογοῦντάς σε. λέγει δὲ ϗ ὁ Κύριλλος· „ Ὁ δυνάμενος ἀπὸ τῶν καρπῶν γνωρίζειν τοὺς φίλους τοῦ Θεοῦ, λίαν αὐτοὺς τιμήσει· ἐπεὶ ϗ αἱ ἀρχαὶ αὐτῶν: ἤτοι ἃ φρονοῦσι περὶ ἀρχῶν, λίαν ἐκραταιώθησαν. ὁ δὲ Ἀνώνυμος λέγει· „ Προσεδόνησάς μου, φησὶ, ϗ παρήγαγές με· ἐγὼ δὲ ταύτην δίδωμι τὴν ἀμοιβὴν, τοὺς φίλους σου τιμῶν. ὁ δὲ Θεοδοτίων λέγει· „ Λίαν ἐκραταιώθησαν οἱ πένητες αὐτῶν· ὅπερ ἑρμηνεύων ὁ Θεοδώριτος λέγει: „ Οἱ γὰρ πάλαι διὰ τὰς τῶν δυσσεβῶν βασιλέων παρανομίας ἐν εὐτελείᾳ ϗ πενίᾳ διάγοντες, πάσης ἀπήλαυσαν παρὰ τῷ Ἰωσίᾳ τιμῆς.

(2) Ὁ δὲ Χρυσόςομος λέγει· „ Ἐγὼ μὲν αὐτοὺς τιμῶ, σὺ δὲ πολλοὺς ποιεῖς ϗ ψάμμου πλείους· οὐ μόνον δὲ πολλοὺς, ἀλλὰ ϗ ἰσχυρούς· τὸ γὰρ ἐκραταιώθησαν τοῦτό ἐςι· ϗ διπλῆν λέγει τὴν εὐημερίαν, τήν τε εἰς πλῆθος τήν τε εἰς ἰσχύος ἐπίδοσιν. ὁ δὲ Θεοδώριτος λέγει· „ Τῇ γὰρ τοῦ Ἰωσίου εὐσεβείᾳ ϗ οἱ πάλαι δυσσεβεῖς τὴν διάνοιαν φωτισθέντες, παλινῳδίαν ᾖσαν ϗ τὴν κατὰ νόμον πολιτείαν ἠσπάσαντο· ϗ οἱ πάλαι εὐάριθμοι, ἀριθμοῦ κρείττους ἐγένοντο· προθεσπίζει δὲ κατὰ ταὐτὸν ὁ λόγος, ϗ τὴν μετὰ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ ϗ Σωτῆρος ἡμῶν γεγενημένην τῆς οἰκουμένης μεταβολήν· νικῶσι γὰρ κατὰ πόλιν ἑκάςην ϗ χώραν τὸν ἀριθμὸν, οἱ τῆς τοῦ Θεοῦ θεραπείας ἐπιμελούμενοι.

(3) Ὅθεν εἶπεν ὁ Χρυσορρήμων· „ Οὐ μικρὸν τοῦτο ἀρετῆς σημεῖον, τὸ ἐν εὐημερίᾳ, μένειν τὴν ἀρετὴν διατη-

19 : „ Ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ „ Θεός.

Ἐδῶ λείπει τὸ, καλῶς ἔχει. ἤγουν ἐὰν ἀποκτείνῃς ὦ Θεὲ, τοὺς ἁμαρτωλοὺς, καλῶς ἔχει τοῦτο· ἁμαρτωλοὺς δὲ ὀνομάζει τοὺς Δαίμονας, καὶ τοὺς παρανόμους ἀνθρώπους· θάνατος δὲ, τῶν μὲν Δαιμόνων, εἶναι, τὸ νὰ μὴν ἐνεργοῦν πλέον, μηδὲ νὰ πράττουν τὸ κακόν. τῶν δὲ παρανόμων ἀνθρώπων θάνατος εἶναι, τὸ νὰ ἀποστραφοῦν μὲν τὴν κακίαν, νὰ μεταβληθοῦν δὲ εἰς τὴν ἀρετὴν καὶ νὰ μὴν εἶναι πλέον ἁμαρτωλοί. ἢ θάνατον τῶν τοιούτων παρανόμων ὀνομάζει τὸν σωματικόν. ὅταν γὰρ αὐτοὶ μένουν ἀδιόρθωτοι καὶ ἀνάτρευτοι εἰς τὴν κακίαν, κάλλιον εἶναι νὰ ἀποθνήσκουν μὲ θάνατον ἄωρον· διὰ νὰ μὴν ἐμποδίζουν καὶ τοὺς ἄλλους μὲ τὴν κακίαν καὶ τὸ παράδειγμά των, ἀπὸ τὸν δρόμον τῆς ἀρετῆς. (1)

„ Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' „ ἐμοῦ.

Ἀναχωρήσατε, λέγει, καὶ φύγετε ἀπὸ τὴν συναναστροφήν μου, ἐσεῖς οἱ φονικοὶ καὶ αἱμοχαρεῖς ἄνθρωποι, οἱ ὁποῖοι θανατώνετε ἐκείνους, τοὺς ὁποίους ἠθέλετε νικήσετε καὶ βάλετε εἰς τὰς χεῖράς σας. ὅλοι γὰρ οἱ τοιοῦτοι ἀνθρωποκτόνοι, εἶναι μερὶς τοῦ Διαβόλου, διατὶ αὐτοὶ, ἄλλους μὲν, θανατώνουν μὲ τὸ ἔργον, ἄλλους δὲ, θανατώνουν καὶ μὲ τοὺς πονηροὺς λόγους των, καὶ μὲ τὸ κακὸν παράδειγμα τῆς ζωῆς των. δὲν εἶναι δὲ ὀλίγη ἀρετὴ, τὸ νὰ φύγῃ τινὰς τὴν συναστροφὴν τῶν παρανόμων ἀνθρώπων. (2)

20 : „ Ὅτι ἐρισταὶ ἐστὲ εἰς διαλογισμούς.

Ἀναχωρήσατε, λέγει, ἀπὸ τὴν συναναστροφήν μου, ἐσεῖς οἱ φονικοὶ ἄνθρωποι. διατὶ εἶσθε ἐρισταί: ἤγουν φιλόνεικοι καὶ φιλοτάραχοι μὲ τοὺς πονηροὺς διαλογισμοὺς καὶ μὲ τὰς κακοβουλίας σας καθὼς ἄλλος εἶπεν ἑρμηνευτής.

„ Λήψονται εἰς ματαιότητας τὰς πό„ λεις σου.

Οἱ ἀνωτέρω, λέγει, παράνομοι ἄνθρωποι ματαίως θέλουν κατοικήσουν τὰς πολιτείας σου Κύριε. τοῦ Κυρίου γὰρ εἶναι κάθε πόλις καὶ ὅλη ἡ γῆ κατὰ τὸ „ τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς (Ψαλ. κγ'. 1) διατὶ δὲ θέλουν κατοικήσουν οἱ τοιοῦτοι ματαίως

φροῦντα· πολλοὶ γοῦν ἀπολαύσαντες εὐπραγίας, ἐπελάθοντο· ἀλλ' οὐκ ἐγώ, φησιν. ἄλλος δὲ λέγει: ἤτοι ὁ Νικήτας· „ Ὅτι τοὺς φίλους σου τιμήσας ὦ Δέσποτα, εὔελπίς εἰμι, ὅτι ἐν τῇ ἀναστάσει μετ' αὐτῶν στήσομαι καὶ μετὰ σοῦ· τότε δὲ καὶ οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, ἐπάγει γάρ· ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς.

(1) Ὑψηλότερον δὲ νοεῖται κατὰ τὸν Νικήταν τὸ ῥητὸν οὕτω· „ Οἱ πονηροὶ καὶ φιλαμαρτοι λογισμοὶ χωρίζουσι τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον· „ Λογισμοὶ σκολιοὶ χωρίζουσι ἀπὸ Θεοῦ· ἐὰν δέ ποτε παρακληθεὶς ὁ Θεὸς, θανατώσῃ καὶ ἀπολέσῃ τοὺς ἁμαρτωλοὺς τούτους καὶ ἀνοσίους λογισμοὺς, τότε δυνήσεται ὁ ἄνθρωπος ἐξαναστῆναι τοῦ ἐδάφους τῆς ἁμαρτίας, καὶ προσφυγεῖν τῷ Θεῷ· καὶ τοῦτό ἐστι τὸ, ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ, ὥσπερ ἤμην ἀπ' ἀρχῆς· ἐὰν μέντοι ἀποκτείνῃς ἁμαρτωλούς.

(2) Ἀκόλουθα δὲ ταῦτα τοῖς ἄνω εἰρημένοις, κατὰ τὸν Εὐσέβιον· „ Ὁ γὰρ εἰπὼν ἀνωτέρω χώραν ἔχειν μεγίστην παρ' αὐτῷ ἀποδοχῆς καὶ τιμῆς τοὺς φίλους τοῦ Θεοῦ, παραιτεῖ καὶ ἀπελαύνει ἑαυτοῦ τοὺς ἁμαρτωλούς. ὁ δὲ Θεοδώρητος λέγει· „ Ἴδιον τῶν τοὺς ἀγαθοὺς ἀγαπώντων, τοὺς ἐναντίους βδελύττεσθαι· διό φησιν· ὅτι, σοῦ τοῦ φιλανθρώπου τοὺς ἁμαρτωλοὺς ἀναιροῦντος, πολλῷ μᾶλλον ἐγὼ τὴν τούτων ἀποστραφήσομαι συνουσίαν, τὴν φιλόνεικον αὐτῶν ἐπιστάμενος γνώμην· οὐ γὰρ ἀνέχονται τῶν ἀγαθῶν παραινέσεων· ἀλλὰ τῇ δυσκολίᾳ τῆς γνώμης ἀποσείονται ταύτας.

ταίως; διατὶ θέλουν μένουν ἄκαρπα εἰς τὴν ἀρετήν. καὶ οὐδεμίαν ὠφέλειαν θέλουν λάβουν ἀπὸ τὸν νόμον σου, κατὰ τὸν Θεοδώριτον. (1)

21: „ Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐ-
„ μίσησα, καὶ ἐπὶ τοὺς ἐχθροὺς σου
„ ἐξετηκόμην;
22: „ Τέλειον μῖσος ἐμίσουν αὐτούς· εἰς
„ ἐχθροὺς ἐγένοντό μοι.

Ἀφ' οὗ εἶπεν ἀνωτέρω ὁ Δαβὶδ περὶ τῶν φίλων τοῦ Θεοῦ, „ ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός. τώρα λέγει ἐδῶ τὸ ἐναντίον περὶ τῶν ἐχθρῶν τοῦ Θεοῦ, ὅτι ἐγὼ, Κύριε, ἐμίσησα ἐκείνους ὁποῦ σε μισοῦν, καὶ καθὼς ἡ τιμὴ τῶν φίλων τοῦ Θεοῦ, ἦτον εἰς τὸν Δαβὶδ μὲ ὑπερβολήν. λίαν γάρ φησιν, ἐτιμήθησαν. ἔτζι καὶ τὸ μῖσος τῶν ἐχθρῶν τοῦ Θεοῦ, ἦτον παρομοίως εἰς αὐτὸν μὲ ὑπερβολήν. ἐξετήκετο γὰρ ἤγουν κατεκαίετο ἀπὸ τὸν θυμὸν, ὁποῦ εἶχε κατ' αὐτῶν. (2)

23: „ Δοκίμασόν με ὁ Θεὸς καὶ γνῶθι
„ τὴν καρδίαν μου.

Καὶ πῶς λέγει τοῦτο ἐδῶ ὁ Δαβὶδ, εἰς καιρὸν ὁποῦ αὐτὸς εἶπεν ἐν τῇ ἀρχῇ τοῦ Ψαλμοῦ, „ Κύριε ἐδοκίμασάς με καὶ ἔγνως με; καὶ ἀποκρινόμεθα, ὅτι ὁ Δαβὶδ, μὲ τὰ λόγια ταῦτα ζητεῖ ἀκόμη νὰ δοκιμασθῇ ἀπὸ τὸν Θεὸν μὲ διαφόρους πειρασμοὺς, πρὸς περισσοτέραν πληροφορίαν ἐκείνων, ὁποῦ δὲν ἤξευραν τὴν αὐτοῦ ἀρετὴν καὶ ὑπομονὴν, ἵνα τοῦτο μαθόντες, μιμῶνται αὐτὸν κατὰ δύναμιν.

„ Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους
„ μου.
24: „ Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί,
„ καὶ ὁδήγησόν με, ἐν ὁδῷ αἰωνίᾳ.

Ἐκεῖνο ὁποῦ εἶπεν ἀνωτέρω ὁ Δαβὶδ, λέγει

(1) Ἄλλος δὲ λέγει· „ Ἐπήρθησαν ματαίως ἀντίζηλοί σου. ὅθεν λέγει ὁ Χρυσορρήμων· „ Διὰ τοῦτο φεύγει ϗ ἀποπηδᾷ τοὺς πονηροὺς ὁ Δαβὶδ, ὅτι ἐπήρθησαν κατὰ τῆς Θεοῦ δόξης· ὅτι ἀντιφθέγγονται ϗ ἀντιπολεμοῦσιν αὐτῷ, ϗ βλάσφημα λαλοῦσι ῥήματα· ϗ ὅτι ματαίως κατοίκουν τὰς πόλεις. Καρπάθιος δέ τις φέρεται παρὰ τῇ Σειρᾷ τοῦ Νικήτα (ἴσως δὲ οὗτός ἐστιν Ἰωάννης ὁ Καρπάθιος) λέγων· „ Τοιοῦτοι ϗ οἱ Αἱρετικοὶ, ἐρισικῶς ϗ ματαίως τὰς θείας Πόλεις: ἤτοι τὰς Γραφὰς λαμβάνοντες ϗ νοοῦντες· ἀλλ' ἐὰν διώκωσιν ἡμᾶς οὗτοι ἐκ τῆς δε τῆς πόλεως: εἴτουν ῥήσεως, πρὸς ἑτέραν ῥῆσιν φεύγωμεν· ἐκ γὰρ τῆς παραλλήλου τῶν ῥητῶν κρίσεως, τὸ ζητούμενον ἀναφαίνεται· οὐ μὴ γὰρ πληρώσωμεν τὰς Γραφὰς, ἕως ἂν ἔλθῃ ὁ Κύριος, τὴν ἀλήθειαν ἐκλάμπων ἡμῖν.

(2) Ἄλλος δὲ λέγει, παρὰ τῷ Νικήτα· „ Οὗτος τέλειον μισεῖ μῖσος τοὺς νοητοὺς ἐχθροὺς, ὁ μήτε κατ' ἐνέργειαν ϗ πρᾶξιν, μήτε κατὰ διάνοιαν ἁμαρτάνων· ὅπερ τῆς μεγίστης ϗ πρώτης ἀπαθείας τεκμήριον· ἐχθροὶ δὲ τοῦ Κυρίου, οἱ ἀκάθαρτοι Δαίμονες ϗ Εἰδωλολάτραι, ϗ οἱ Αἱρετικοὶ, ϗ οἱ παράνομοι ἄνθρωποι. ὁ δὲ ἱερὸς Αὐγουστῖνος λέγει· „ Ὅτι τέλειον μῖσος εἶναι, ὅταν τινὰς, μισῇ μὲν τὴν κακίαν, ἀγαπᾷ δὲ τὴν φύσιν· ϗ οὔτε διατὶ μισεῖ τὴν κακίαν μισεῖ ὁμοῦ ϗ τὴν φύσιν: ἤγουν τὸν ἄνθρωπον, ὁποῦ ἐνεργεῖ τὴν κακίαν, οὔτε πάλιν διατὶ ἀγαπᾷ τὴν φύσιν ϗ τὸν ἄνθρωπον, ἀγαπᾷ ὁμοῦ ϗ τὴν κακίαν του· ἀλλὰ μόνην ἀγαπᾷ τὴν φύσιν, ϗ μόνην μισεῖ τὴν κακίαν· ὅθεν ἔφη συμφώνως ϗ ὁ Χρυσόστομος· „ Τί οὖν; ἂν ἐχθροὶ ὦσι ϗ Ἕλληνες, οὐ δεῖ μισεῖν; μισεῖν μὲν, οὐχ ἐκείνους δὲ, ἀλλὰ τὸ δόγμα· οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὴν πονηρὰν πρᾶξιν· τὴν διεφθαρμένην γνώμην· ὁ μὲν γὰρ ἄνθρωπος, ἔργον Θεοῦ· ἡ δὲ πλάνη, ἔργον τοῦ Διαβόλου· μὴ τοίνυν ἀναμίξῃς τὰ τοῦ Θεοῦ, ϗ τὰ τοῦ Διαβόλου· (Ὁμιλ. λγ΄. εἰς τὴν Α΄. πρὸς Κορινθ.) ϗ ὁ Θεοδώριτος λέγει· „ Τῆς σῆς ἐξήρτημαι ἀγάπης ὦ Δέσποτα· διά τοι τοῦτο, τοὺς μὲν τῆς σῆς ἀντεχομένους θεραπείας, ϗ φιλῶ ϗ γεραίρω· τοὺς δὲ μισοῦντάς σε, οὐ μόνον μισῶ, ἀλλὰ ϗ ἀνιώμενος ἐπ' αὐτοῖς, ϗ τηκόμενος διατελῶ· μισῶ μὲν γὰρ, ὡς παρανόμους· οἰκτείρω δὲ, ὡς ἀνθρώπους· ϗ πενθεῖν μὲν αὐτοὺς διὰ τὴν φυσικὴν συμπάθειαν ἀναγκάζομαι· βδελύττομαι δὲ πάλιν αὐτοὺς διὰ τὴν πολλὴν πονηρίαν.

για τώρα καὶ ἐδῶ. ἢ λέγει λοιπὸν τὸν λόγον τοῦτον πρὸς τὸν Θεὸν, καὶ ζητεῖ νὰ τὸν δοκιμάσῃ ἀκόμη, διὰ ἐκείνους ὁποῦ ἀδικοῦν αὐτὸν: ἤγουν διὰ νὰ βεβαιώσῃ καὶ νὰ πληροφορήσῃ αὐτοὺς μὲ τὰς πολλὰς παρὰ Θεοῦ δοκιμὰς, ὅτι τελείως δὲν ἀδίκησεν αὐτούς. ἢ ἀκόμη ζητεῖ νὰ δοκιμασθῇ. ἵνα, ἀνίσως δὲν εἶναι τῇ ἀληθείᾳ καθαρὸς ἀπὸ ἁμαρτίαν, φανερωθῇ διὰ τῆς δοκιμῆς, καὶ ἔτζι διορθώσῃ τὸν ἑαυτόν του πλανώμενον, καὶ ὑπολαμβάνοντα, ὅτι εἶναι καθαρὸς, χωρὶς νὰ εἶναι. (1)

ΨΑΛΜΟΣ ΡΛΘ.

„ Ψαλμὸς τῷ Δαβίδ. (2)

1: „ Ἐξελοῦμε Κύριε, ἐξ ἀνθρώπου πο„ νηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου ῥύ„ σαίμε.

Λύτρωσαί με, λέγει, Κύριε, ἀπὸ ἄνθρωπον πονηρὸν καὶ κακοποιόν. πονηρὸν δὲ ὀνομάζεται ἡ κακία, διατὶ προξενεῖ πόνον καὶ κόπον εἰς ἐκεῖνον, ὁποῦ τὴν ἐργάζεται καὶ τὴν ἔχει. ὅθεν εἶπεν ὁ Σολομὼν „ Ἐὰν κακὸς ἀποβῇς, μόνον ἀντλήσεις τὰ κακὰ (Παρ. θ'. 12.) ἀκολούθως δὲ φανερώνει, ποῖον ὀνομάζει πονηρὸν: τὸν ἄδικον δηλονότι καὶ παράνομον ἄνθρωπον. ἐπειδὴ γὰρ ἀπὸ τὸν τοιοῦτον πονηρὸν καὶ ἄδικον ἄνθρωπον δυσκόλως ἠμπορεῖ νὰ φυλαχθῇ τινας ἀπὸ λόγου του. διὰ τοῦτο ζητεῖ τὸν Θεὸν ὁ Δαβὶδ εἰς βοήθειάν του. ἵνα διὰ τῆς τοιαύτης θείας βοηθείας, λυτρωθῇ ἀπὸ τὸν τοιοῦτον ἄνθρωπον, καθὼς λέγει ὁ Χρυσόστομος. ὅρα δὲ καὶ ἐν τῷ μβ'. Ψαλμῷ τὴν ἐξήγησιν τοῦ „ ἀπὸ ἀνδρὸς ἀδίκου καὶ δολίου ῥῦσαί με. ἐπειδὴ λοιπὸν ὁ Δαβὶδ εἶπεν εἰς τὸν προλαβόντα ψαλμὸν „ Ἄνδρες αἱμάτων ἐκκλί-

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Σὲ, φησι, παρακαλῶ τὸν ἄριστον τῶν ψυχῶν ἰατρὸν, τὸν ἐμὸν βίον καταμαθεῖν ἀκριβῶς, ϗ τὰ τῆς διανοίας ἐξετάσαι κινήματα ϗ ὁρμήματα κἄν τι τῶν σῶν νόμων ἐναντίον ἐν τούτοις εὑρεθῇ, ὑπὸ τῆς σῆς ἰαθῆναι σοφίας ἀντιβολῶ, ϗ πρὸς τὴν αἰώνιον ὁδηγηθῆναι πορείαν· προσθέττει δὲ ὁ Χρυσορρήμων· „ Ποία ἐστιν αἰωνία ὁδός; ἡ πνευματικὴ ϗ πρὸς τὸν οὐρανὸν ἄγουσα, ἧς τέλος οὐκ ἔνι· ὡς τάγε ἄλλα πάντα, ἐπίκηρά ἐστι, ϗ τῷ παρόντι βίῳ συγκαταλύεται· τὰ μέν τοι ἐκ τῆς ὁδοῦ ἐκείνης οὐκ ἐφήμερα οὐδὲ πρόσκαιρα· τοιοῦτον γάρ ἡ ἀρετή· διηνεκῆς ἔχει τοὺς καρπούς· πῶς δ' ἄντις ὁδηγηθείη πρὸς ἐκείνην τὴν εἰς τέλος οὐκ ἀπαντῶσαν ὁδόν; τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύων, ϗ τὰ παρ' ἑαυτοῦ συνεισφέρων.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „ Ὅτι τὸν Ψαλμὸν τοῦτον ἐποίησεν ὁ Δαβὶδ, ὅταν ἐδιώκετο ἀπὸ τὸν Σαοὺλ· ὅθεν ϗ παρακαλεῖ τὸν Θεὸν διὰ νὰ τὸν ἐλευθερώσῃ ἀπὸ αὐτόν. ἀλλὰ ϗ ἡ ἀνθρωπίνη φύσις παρακαλεῖ διὰ τοῦ Ψαλμοῦ τούτου τὸν Θεὸν, νὰ ἐκδικήσῃ τοὺς νοητοὺς ἐχθρούς της Δαίμονας, ϗ νὰ γυρίσῃ τὴν ἀδικίαν εἰς κεφαλὰς τῶν ἀδικισάντων αὐτήν.

ἐκκλίνατε ἀπ' ἐμοῦ. ὁμοίως καὶ εἰς τὸν ς'. Ψαλμὸν εἶπεν „ ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ἤγουν ἐπειδὴ ὁ Δαβὶδ μὲ τὰ λόγια ταῦτα ἔδειξεν, ὅτι ἀποστρέφεται καὶ φεύγει αὐτὸς ἀπὸ λόγου του τοὺς πονηροὺς καὶ ἀδίκους ἀνθρώπους· διὰ τοῦτο τώρα ἐδῶ παρακαλεῖ καὶ τὸν Θεὸν νὰ συνεργήσῃ εἰς αὐτὸν, διὰ νὰ ἀποστραφῇ μὲ τελειότητα τοὺς τοιούτους ἀνθρώπους. διότι πρέπει μὲν κάθε ἄνθρωπος νὰ κάμνῃ πρότερον ἀπὸ λόγου του ἐκεῖνο τὸ καλὸν, ὁποῦ δύναται, καὶ νὰ μὴν ἀμελῇ. ἔπειτα νὰ παρακαλῇ καὶ τὸν Θεὸν διὰ νὰ συνεργήσῃ αὐτῷ. (ἀγκαλὰ καὶ τὸ καλὸν ἐκεῖνο, ὁποῦ κάμῃ ὁ ἄνθρωπος ἀπὸ λόγου του, παρὰ τοῦ Θεοῦ βοηθούμενος τὸ κάμνει. κατὰ τὸ „ Χωρὶς ἐμοῦ οὐδύνασθε ποιεῖν οὐδέν. (Ἰω. ιε' 5) διότι οὔτε ὁ Θεὸς συνεργεῖ εἰς ἐσένα ἄνθρωπε, ἂν ἐσὺ ἀμελῇς καὶ δὲν σπουδάζῃς νὰ κάμῃς τὸ καλόν. οὔτε πάλιν ἐσὺ δύνασαι νὰ κατορθώσῃς κανένα καλὸν μὲ τὴν ἐδικήν σου σπουδὴν, ἀνίσως ὁ Θεὸς δὲν σοὶ βοηθήσῃ. (1)

2: „ Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρ-
„ δίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσον-
„ το πολέμους.

Οἱ τοιοῦτοι, λέγει, πονηροὶ καὶ ἄδικοι ἄνθρωποι, ἐμελέτησαν ἄδικα καὶ παράνομα καὶ βλαβερὰ πράγματα εἰς τὴν καρδίαν τους. καὶ ὅλην τὴν ἡμέραν: ἤγουν εἰς ὅλην τὴν ζωήν τους, ἑτοιμάζονται νὰ κάμουν πολέμους καὶ ταραχάς· τώρα μὲν κατὰ τούτων τῶν ἀδελφῶν κινούμενοι. τώρα δὲ, κατὰ τῶν ἄλλων. ἐπειδὴ καὶ ἡ ὑπερβολική των κακία, δὲν ἀφίνει αὐτοὺς νὰ ἡσυχάζουν. ἀλλὰ αὐτὴ πείθει καὶ βιάζει αὐτοὺς, ποτὲ μὲν, νὰ πολεμοῦν κρυφίως τοὺς ἀδελφούς των μὲ ἐπιβουλὰς καὶ δολιότητας. ποτὲ δὲ, νὰ πολεμοῦν αὐτοὺς καὶ φανερά. πόλεμος δὲ νοεῖται καὶ ὁ δόλος καὶ ἡ ἐπιβουλὴ καὶ κάθε ἄλλη ἐνόχλησις καὶ βλάβη, ὁποῦ κατασκευάζει ὁ ἄνθρωπος κατὰ τοῦ ἀδελφοῦ του εἴτε μὲ ἔργον, εἴτε καὶ μὲ λόγον καὶ λογισμὸν, κατὰ τὸν Χρυσόστομον. (2)

3: „ Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄ-
„ φεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη
„ αὐτῶν. (3)

Οἱ τοιοῦτοι, λέγει, πονηροὶ καὶ ἄδικοι ἄνθρωποι, ἠκόνησαν τὴν γλῶσσάν τους διὰ νὰ ῥίψουν

τὸ

---

(1) Ὁ δὲ Χρυσορῥήμων λέγει· „ Ποῦ νῦν εἰσιν οἱ λέγοντες· διατὶ θηρία; διατὶ σκορπίοι; διατὶ ἔχεις; ἰδοὺ γὰρ εὕρηται ζῶον πλείονα κακίαν ἐπιδεικνύμενον, οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην· ὁ ἄνθρωπος. διὸ καὶ ὁ Προφήτης, ἀπὸ τούτου μᾶλλον ἀξιοῖ ῥυσθῆναι, καὶ Θεοῦ βοηθοῦ, εἰς τοῦτο δέεται· τὸ μὲν γὰρ θηρίον. ὅπέρ ἐστι φαίνεται· ὁ δὲ ἄνθρωπος μελετῶν τὴν πονηρίαν, καὶ πολλὰ τὰ προσωπεῖα περικείμενος, δυσφυλακτότερόν ἐστι θηρίου, δορὰν προβάτου πολλάκις προβαλλόμενος, καὶ ἔνδον τὸν λύκον ἀποκρύπτων· τοῖς γὰρ τοιούτοις πολλάκις καὶ ὁ Διάβολος ὑποδύεται, καὶ οὕτω βάλλει· καὶ πολλὰ πανταχόθεν ἐστὶ τὰ ἐπιβουλεύοντα, καὶ ἄνθρωπος πονηρὸς, καὶ Δαίμων ἄγριος, καὶ ὁ πειρασμὸς ἀφόρητος· διὸ καὶ εὐχόμενοι λέγομεν· „ Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ἐνταῦθα μὲν οὖν, ἄνθρωπον πονηρὸν καλεῖ· ὅταν δὲ περὶ τοῦ Διαβόλου λέγηται, ἁπλῶς πονηρὸν καλεῖ· ὅτι αὐτὸς πατὴρ τῆς πονηρίας ἐγένετο, καὶ κατ' ἐξοχὴν λέγεται πονηρός· ἄδικον δὲ ὀνομάζει, οὐ τὸν ἁπλῶς περὶ χρήματα ἄδικον, ἀλλὰ τὸν περὶ πάντα.

(2) Ὅθεν ὁ αὐτὸς εἶπε Χρυσοῦς ἅγιος· „ Καὶ τὸ μέγιστον αὐτῶν τῆς κακίας, οὐχ ὅτι δολεροὶ μόνον, οὐδ' ὅτι πρὸς πολέμους ἕτοιμοι καὶ μάχας· ἀλλ' ὅτι καὶ διὰ παντὸς τοῦ βίου· καί τοίγε, εἰ ἐβούλοντο πολεμεῖν, ἑτέραν εἶχον δικαίαν ὑπόθεσιν· κατὰ γὰρ τῶν ἁμαρτημάτων ἵστασθαι ἔδει, καὶ πρὸς τὸν Διάβολον παρατάττεσθαι· οἱ δὲ κατὰ ἀλλήλων βάλλουσι βέλη· καὶ τὸ δὴ χαλεπώτερον, οὐχὶ συναρπασθέντες· ἀλλὰ μελέτην τὸ πρᾶγμα ποιούμενοι· τοῦτο γὰρ τὸ, ἐλογίσαντο, μετὰ σπουδῆς, μετὰ προθυμίας ἁπάσης. καὶ ὁ Θεοδώριτος· „ Οὐ γὰρ μόνον πονηροῖς ἐχρήσαντο λογισμοῖς· ἀλλὰ καὶ τὰ ἔργα προσέθηκαν τοῖς λογισμοῖς.

(3) Παρὰ δὲ τῷ Χρυσοστόμῳ γράφεται· „ Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ἀεί· τὸ γὰρ διάψαλμα, λέγει, ὅπερ εὑρίσκεται ἐδῶ, τὸ, ἀεὶ δηλοῖ· καὶ ἀνάγνωθι περὶ τοῦ διαψάλματος ἐν τῷ Προοιμίῳ τοῦ πρώτου τόμου ἐν Κεφαλαίῳ ζ'.

τὸ φθοροποιὸν του φαρμάκι, τὸ ὁποῖον εἶναι, οἱ δόλεροὶ καὶ βλαβεροὶ λόγοι. ὑποκάτω δὲ εἰς τὰ χείλη τῶν τοιούτων: ἤτοι εἰς τὸ ςόμα των, εὑρίσκεται ὁ κατὰ τῶν ἀδελφῶν τους ἐπίβουλος καὶ ψυχοβλαβὴς λόγος, ὅςτις παρομοιάζει μὲ τὸ φαρμάκι τῆς ἀσπίδος κατὰ τοῦτο, καθότι βλάπτει καὶ ἀφανίζει τοὺς ἀναιτίους, βλέπεις ἀγαπητὲ, πῶς τοὺς τοιούτους ἀνθρώπους ἡ κακία μετέβαλεν εἰς θηρία καὶ ἀσπίδας καὶ ὄφεις; ὄχι διατὶ ἄλλαξε τὴν φύσιν τους. ἀλλὰ διατὶ μετέβαλε τὴν ἀνθρωπίνην γνώμην τους, εἰς αὐτὴν τῶν θηρίων ἀπανθρωπίαν καὶ ἀγριότητα, κατὰ τὸν χρυσόςομον. (1)

4: „Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁ„μαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων „ἐξελοῦμε.

Πάλιν ἐπαναλαμβάνει ἐδῶ ὁ Δαβὶδ ἐκεῖνα, ὁποῦ εἶπεν ἀνωτέρω, διὰ νὰ πλατύνῃ καὶ νὰ αὐξήσῃ τὴν δέησίν του. ἁμαρτωλὸς δὲ καὶ ἄδικος εἶναι καθε ἄνθρωπος, ὁποῦ ἁμαρτάνει μὲ ὁποιονδήτινα τρόπον, καὶ καθε ἄνθρωπος, ὁποῦ ἀδικεῖ τὸν ἑαυτόν του, ἢ ἄλλον. ὁ τοιοῦτος γὰρ ἄδικος, τὸν μὲν ἑαυτόν του ἀδικεῖ βεβαίως καὶ πάντοτε μὲ καθε ἁμαρτίαν, ὁποῦ ἐνεργήσῃ. τὸν δὲ ἄλλον δὲν ἀδικεῖ βεβαίως καὶ πάντοτε μὲ καθε ἁμαρτίαν, ὁποῦ πράξῃ. (ὁ γὰρ φονεύων, καθ' ὑπόθεσιν, τὸν ἑαυτόν του, ἄλλον τινα οὐκ ἀδικεῖ) καθὼς δὲ πολλαῖς φοραῖς ἡ Γραφὴ τὴν καθόλου ἀρετὴν ὀνομάζει δικαιοσύνην: ἔτζι ἐξεναντίας καὶ τὴν καθόλου κακίαν ὀνομάζει ἀδικίαν. (2).

„Οἵτινες διελογίσαντο τοῦ ὑποσκελί„σαι τὰ διαβήματά μου.

5: „Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, „καὶ σχοινίοις διέτειναν παγίδα τοῖς „ποσί μου· ἐχόμενα τρίβου σκάνδα„λα ἔθεντό μοι.

Οἱ ἀνωτέρω, λέγει, πονηροὶ καὶ ἄδικοι ἄνθρωποι, ἐμελέτησαν νὰ ἐμποδίσουν τὸν κατὰ Θεὸν ἔννομον δρόμον τῆς ζωῆς καὶ πολιτείας μου. τὸ δὲ τοῦ· εἶναι περιττὸν, κατὰ τὴν συνήθειαν τῆς Ἑβραϊκῆς γλώσσης. εἴρηται δὲ τοῦτο ἐκμεταφορᾶς ἐκείνων, ὁποῦ βάλλουν τὰ σκέλη των ἀνάμεσα εἰς τοὺς πόδας τῶν τρεχόντων, διὰ νὰ ρίψουν αὐτοὺς κατω, καὶ νὰ ἐμποδίσουν τὸν δρόμον τους. ὑπερήφανος δὲ εἶναι καθε παράνομος. διατὶ αὐτὸς ἀπὸ τὴν ὑπερηφάνειάν του καταφρονεῖ τὸν νόμον τοῦ Θεοῦ. καθὼς ἀλλαχοῦ εἴρηται· „ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα. (Ψαλ ριη'. 51) οὗτοι λοιπὸν, λέγει, ἔκρυψαν παγίδας καὶ δίκτυα εἰς τὰ ποδάριά μου: ἤγουν κρυφὰς ἐπιβουλὰς, διὰ νὰ μὲ πιάσουν. καὶ ἐχόμενα τρίβου: ἤγουν κοντὰ καὶ μέσα εἰς τὴν ςράταν, ὁποῦ ἐπεριπάτουν, ἔβαλον σκοντάμματα. ἵνα ἐγὼ περιπατῶν τας ἀφύλακτα καὶ θαρρετὰ, κρημνισθῶ ἀπὸ αὐτά. πλατύνει δὲ ὁ Δαβὶδ τὸν περὶ τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν του λόγον μὲ διάφορα ὁμοιώματα παγίδων

(1) Λέγει δὲ ὁ Εὐσέβιος· „Παρεσκευασμένοι εἰσὶν εἰς ἀπάτην, ὁμοίως τῷ ὄφει τῷ ἀπατήσαντί ποτε τὴν ἐν Παραδείσῳ γυναῖκα· ἐπεὶ κἀκεῖνος προσῄει τῇ γυναικὶ φιλίαν ὑποκρινόμενος, φροντίζειν τε αὐτῆς καὶ κήδεσθαι προσποιούμενος· ἔκρυπτε δὲ ἐν τοῖς ἑαυτοῦ λόγοις, τὸν θανατηφόρον ἰὸν τῆς παραβάσεως· τοιοῦτοι δ' ἂν εἶεν οἱ ἄθεοι αἱρεσιῶται, καὶ οἱ διὰ τῆς σοφίας τοῦ κόσμου τούτου ὁπλιζόμενοι εἰς πόλεμον, καὶ τὴν γλῶσσαν ἀκονῶντες αὐτῶν μετὰ τοῦ κρύπτειν ὑπὸ τὰ χείλη τὸν ἰὸν τῶν ἀσπίδων: δυνάμεων τινῶν δηλαδὴ πονηρῶν. λέγει δὲ καὶ ὁ Θεοδώριτος· „Δόλῳ γὰρ Χρησάμενος (ὁ Σαοὺλ,) πολλάκις ἀνελεῖν αὐτὸν ἐπεχείρησε, καὶ πολλάκις ὀμωμοκὼς, καὶ φιλικοῖς χρησάμενος λόγοις, παρέβη τοὺς ὅρκους· τὴν ὕπουλον τοίνυν γνώμην, καὶ τὸν κεκρυμμένον δόλον εἰκότως ἀπείκασε τῷ τῶν ἑρπυστικῶν θηρίων ἰῷ.

(2) Λέγει δὲ ὁ Θεοδώριτος· „Δικαίῳ πρέπουσα ἡ εὐχή· οὐ γὰρ τοῖς ἐχθροῖς ὄλεθρον, ἀλλ' ἑαυτῷ σωτηρίαν αἰτεῖ.

δων, σχοινίων, σκανδάλων. καὶ λέγει, ὅτι ἔκρυψαν αὐτὰ ὅλα ἐκεῖνοι καὶ διέτειναν, καὶ ἐχόμενα τρίβου τὰ ἔβαλαν, διὰ νὰ δείξῃ τὴν σπουδὴν καὶ πανουργίαν τῆς πολυπλόκου κακομηχανίας των. (1)

6: „ Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ· „ ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς „ δεήσεώς μου.

Αὐτοὶ μὲν, λέγει, οἱ ἐχθροί μου, τοιαῦτα κατ' ἐμοῦ ἐμελέτησαν. ἐγὼ δὲ ἀνάμεσα εἰς τοὺς τοιούτους κινδύνους εὑρισκόμενος, μόνον ἐσένα τὸν Θεὸν ἐπικαλούμενος καὶ εἶπα. σὺ εἶσαι ὁ Θεός μου. μὴ παρίδῃς τὸ πτῶμά σου, ἀλλὰ ἄκουσον τὴν δέησίν μου, καὶ λύτρωσαί με ἀπὸ ὅλα ταῦτα. (2)

7: „ Κύριε Κύριε, δύναμις τῆς σωτηρίας „ μου· ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν „ μου ἐν ἡμέρᾳ πολέμου:

Ὦ Κύριε Κύριε, λέγει, ἐσὺ εἶσαι ἡ δύναμις, ὁποῦ με σώζεις. ἐσὺ με ἐσκέπασες εἰς τὴν ἡμέραν, ὁποῦ ἐπολεμούμην· ἤγουν μὲ ἐφύλαξες καὶ ἐν ἀσφαλείᾳ με κατέστησας. ὄχι μόνον ἀβλαβῆ ἀπὸ τὰ μαχαίρια καὶ σαΐτας· ἀλλὰ καὶ ἀπὸ αὐτὰς ἀκόμη τὰς ἀκτῖνας τοῦ ἡλίου, ὁποῦ μὲ ἔλειπον μὲ τὴν καῦσιν αὐτῶν. (τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ ἐπεσκίασας, κατὰ τὸν Χρυσόστομον) εὐγνωμονεῖ δὲ ὁ Δαβὶδ καὶ ὁμολογεῖ τὰς πρότερον γενομένας εἰς αὐτὸν εὐεργεσίας τοῦ Θεοῦ. ἵνα διὰ τῆς εὐγνωμοσύνης τραβίξῃ εἰς τὸν ἑαυτόν του φανερωτέραν τὴν ἀντίληψιν καὶ βοήθειαν τοῦ Θεοῦ. (3)

8: „ Μὴ

(1) Λέγει δὲ ὁ Χρυσόστομος· „ Οὐδὲν ἀδικώτερον τῶν κακίαν μετιόντων· οἳ πρὸ τῶν ἄλλων, τὰς ἑαυτῶν ἀδικοῦσι ψυχάς· ὅταν γὰρ αὐτοὶ σκανδάλου γίνωνται αἴτιοι. ὅταν τοῦ Θεοῦ τὴν δόξαν παρὰ τῶν ἀνοήτων λοιδορεῖσθαι παρασκευάζωσιν· ὅταν ψυχὴν καὶ σῶμα λαβόντες παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ἀγνωμονῶσι περὶ τὰς ἀμοιβάς· καὶ κόσμου τοσούτου, καὶ τηλικούτου ἀπολαύοντες ἀγαθοῦ, τοῖς ἐναντίοις ἀμείβωνται τὸν εὐεργέτην, τί τούτων γένοιτ' ἂν ἀδικώτερον; τί δὲ ἀγνωμονέστερον; καὶ τὸ δὴ μεῖζον, καὶ πλέον εἰς κακίας ὑπερβολήν; ὅτι καὶ ἑτέροις ἐπηρεάζειν ἐπιχειροῦσι· διελογίσαντο γάρ, φησι, τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου· εἰ δὲ μὴ εἰς ἔργον ἐξῆλθεν ὁ λογισμὸς, τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας γέγονε κατόρθωμα· αὐτὸς γὰρ διέκοψε τὰ πονηρὰ αὐτῶν βουλεύματα· βούλει μαθεῖν, πῶς καὶ ὁ Διάβολος τοιαῦτα τίθησι σχοινία; ὅρα ἐπὶ τοῦ Ἰὼβ τὸ πρᾶγμα συμβαῖνον· τί γὰρ πλατύτερον ἐκείνων; τί δὲ μακρότερον; τί δὲ ἐγγύτερον; ὅπουγε οὐκ ἐν συγγενέσι μόνον, οὐδὲ φίλοις, οὐδὲ ἐν γυναικί· ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὴν παγίδα τέθεικε. λέγει δὲ καὶ ὁ Θεοδώρητος· „ Ὑπερήφανον, αὐτὸν καλεῖ τὸν Σαούλ· παγίδα δὲ καὶ σχοινία καὶ σκάνδαλα, τὰς διαφόρους ἐπιβουλὰς, τοὺς λόγους, τὰς ἐνέδρας· εἴρηκε δὲ ταῦτα τροπικῶς, ἐκ μεταφορᾶς τῶν θηρευόντων, καὶ ἀρπεδόνας καὶ ποδάγρας καὶ δίκτυα διατεινόντων.

(2) Λέγει δὲ ὁ Χρυσόστομος· „ Τοῦτο ψυχῆς γενναίας· τοῦτο φιλοσόφου διανοίας. μὴ καταφεύγειν εἰς ἀνθρωπίνην συμμαχίαν, μηδὲ εἰς λογισμοὺς θνητούς· ἀλλὰ πρὸς τὸν οὐρανὸν ὁρᾷν, καὶ τὸν πανταχοῦ παρόντα καλεῖν· μηδὲ τῆς ἀθυμίας ἡττᾶσθαι καὶ τοῦ θορύβου. ὁ δὲ Εὐσέβιος λέγει· „ Ἄλλων μὲν ὁ Θεὸς ἡ κοιλία. ἑτέρων δὲ, ὁ Μαμωνᾶς καὶ ἡ φιλαργυρία· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται· ἐγὼ δὲ σὲ μόνον ἔχω τὸν καὶ μόνον ἀληθῆ Θεόν· καὶ αὐτὸς σός εἰμι· διὸ ἐπὶ σὲ καταφεύγω, καὶ σοῦ δέομαι. καὶ ὁ Θεοδώρητος· „ Ἐγὼ δὲ τῶν ἀνθρωπίνων ἁπάντων καταφρονήσας, ἐμαυτόν σοι ἀνέθηκα· καὶ σὲ οἶδα Κύριον καὶ Θεὸν, καὶ τὴν παρὰ σοῦ προσμένω βοήθειαν.

(3) Λέγει δὲ ὁ Χρυσόστομος· „ Ὅρα τὸν πόθον τοῦ λέγοντος· καὶ τῷ διπλασιασμῷ (τοῦ Κύριε Κύριε) καὶ τῇ προσθήκῃ τῆς σωτηρίας μου, πολλὴν δείκνυσι τὴν διάθεσιν· δείκνυσι δὲ καὶ τὸ εὔκολον τῆς βοηθείας, διὰ τοῦ τῆς σκιᾶς ὀνόματος· ὡσανεὶ ἔλεγεν· ἀρκεῖ σοι παρεῖναί σε μόνον· καὶ πάντα λέλυται. ἄλλος δὲ λέγει· „ Τὸ ἐπεσκίασας νοεῖται, ἀντὶ τοῦ ὑπερμαχοῦσαν εἶχον τὴν σὴν χεῖρα, καλύπτουσάν μου τὴν κεφαλὴν, πρὸς τὸ μή τινα πληγὴν ἀπὸ τῶν κατ' ἐμοῦ πεμπομένων βελῶν ὑποδέξασθαι. λέγει δὲ καὶ ὁ Θεοδώρητος· „ Καὶ τοῦτο τῇ πείρᾳ μεμάθηκα· καὶ γὰρ ἡνίκα τὴν πρὸς τὸν Γολιὰθ ἀνεδεξάμην μονομαχίαν, καὶ ὅτε τοῖς ἀλλοφύλοις παρεταξάμην, καθάπερ ἀσπίδι με τῇ σῇ ῥοπῇ περιέφραξας.

8 : „ Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς „ ἐπιθυμίας μου ἁμαρτωλῷ.

Μὴ παραχωρήσης, λέγει, ὦ Κύριε, νὰ παραδοθῶ εἰς τὸν ἁμαρτωλὸν Δαίμονα, ἀπὸ αἰτίαν τῆς κακῆς μου ἐπιθυμίας. διότι ἀκόλουθον εἶναι νὰ ἐπιθυμήσω κακῶς καὶ ἐγὼ, ὡς ἄνθρωπος καμμίαν φοράν. ἀλλὰ διὰ τοῦτο, δέομαί σου, ὡς μὴ καταδικασθῶ. μηδὲ ἂς ἀποῤῥιφθῶ εἰς τὰς χεῖρας τοῦ Δαίμονος ἁμαρτωλὸς δὲ εἶναι καὶ ὁ παράνομος ἄνθρωπος. (1)

„ Διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκα- „ ταλίπῃς με, μήποτε ὑψωθῶσιν.

Οἱ ἐχθροί μου, λέγει, οἱ αἰσθητοὶ καὶ οἱ νοητοὶ ἐμελέτησαν κατ' ἐμοῦ ἐπιβουλὰς καὶ δολιότητας. ὅθεν παρακαλῶ σε Κύριε, μὴ με ἐγκαταλίπῃς νὰ νικηθῶ ἀπὸ αὐτοὺς, μήπως ἐκ τῆς ἐγκαταλείψεως ταύτης, αὐτοὶ ἤθελαν γένουν πλέον ὑπερήφανοι καὶ σκληρότεροι, καυχώμενοι εἰς τὴν κατ' ἐμοῦ νίκην τους.

9 : „ Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, „ κόπος χειλέων αὐτῶν, καλύψει αὐ- „ τούς.

Κύκλωμα ὀνομάζει ἐδῶ ὁ Δαβὶδ τὸ δίκτυον καὶ τὴν ἐπιβουλὴν, (ἢ τὸ συνέδριον καὶ τὰ διεφθαρμένα βουλεύματα) τὸ κεφάλαιον, λέγει, τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν μου ἐπάνω εἰς τὸ ὁποῖον αὐτοὶ μάλιστα θαῤῥοῦσι. αὐτὸ, λέγω, θέλει σκεπάσει καὶ ἀφανίσει αὐτοὺς τοὺς ἰδίους, κατὰ τὸν Χρυσόστομον. τοῦτο δὲ καὶ κόπον ὠνόμασε τῶν χειλέων αὐτῶν. διατὶ ἐκοπίασαν πολλὰ μελετῶντες αὐτὸ, καὶ περὶ αὐτοῦ λαλοῦντες συχνά. καὶ διατὶ μὲ κόπον πολὺν ἐφεύρηκαν αὐτό. διὰ μέσου, λέγει, ἐκείνου τοῦ κακοῦ, μὲ τὸ ὁποῖον ἤλπιζον νὰ κρημνίσουν ἐμένα, δι' αὐτοῦ ἐκρημνίσθησαν αὐτοὶ οἱ ἴδιοι. ἢ κόπων χειλέων ὠνόμασε τὴν πονηρὰν μελέτην καὶ δόλιον συμβουλήν. τοιοῦτον γὰρ πρᾶγμα εἶναι ἡ πονηρία. διατὶ αὐτὴ γίνεται ὄλεθρος καὶ ἀφανισμὸς εἰς ἐκεῖνον, ὁποῦ τὴν ἔχει, κατὰ τὸν Χρυσοῤῥήμονα. (2)

10 : „ Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες ἐν „ πυρί.

Ἐ-

(1) Ὁ δὲ Σύμμαχος λέγει: „ Μὴ δῷς Κύριε τὰς ἐπιθυμίας τοῦ παρανόμου: τουτέστι κατὰ τὸν Χρυσόστομον, ἃ ἐπιθυμεῖ κατ' ἐμοῦ, ταῦτα μὴ ἀφῇς αὐτὸν πληρῶσαι. ἄλλος δὲ, ἤτοι ὁ Νικήτας, οὕτως ἑρμηνεύει τὸ ἀπὸ τῆς ἐπιθυμίας μου: „ Ἐπιθυμῶ, φησι, σωτηρίας· μὴ οὖν ἐγκαταλίπῃς με, ὥστε ἀπὸ ταύτης παρατραπέντα, παραδοθῆναι τῷ Σατανᾷ· ἢ καὶ οὕτως· „ Ἡ ἐμὴ, φησιν, ἐπιθυμία, τὸ μὴ ἀποπεσεῖν ἐστίν· ἡ δὲ τῶν ἁμαρτωλῶν ἐναντία· δέομαι τοίνυν μὴ ἀπὸ τῆς ἐμῆς ἐπιθυμίας ἀφελὼν, ἐκείνοις παράσχοις· τοῦτο δὲ ἔσαι, ἐὰν ἐγκαταλίπῃς με. προστίθησι δὲ ὁ Χρυσοῤῥήμων: „ Οὐκ εἶπεν, ἃ ἐπιθυμεῖ, ἀλλ' ἀπὸ τῆς ἐπιθυμίας μου: τουτέστι μηδὲ μικρόν τι δῷς ὧν ἐπιθυμεῖ· τοιοῦτοι γὰρ οἱ πονηροί· μετὰ πολλῆς τῆς ἐπιθυμίας τὴν κατὰ τοῦ πλησίον ἐργάζονται ἐπιβουλήν. λέγει δὲ καὶ ὁ Ἀνώνυμος· „ Τούτους ταλανίζει καὶ ἡ Γραφὴ λέγουσα· „ Οὐαὶ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ (Παρ. β'. 14.) εἰσὶ γὰρ εἰσί τινες διεφθαρμένοι, ὡς τῶν οἰκείων κακῶν παραμυθίαν ἡγεῖσθαι τὰς ἀλλοτρίας συμφοράς.

(2) Λέγει γὰρ ὁ αὐτὸς Χρυσοῦς ἅγιος: „ Οἱ γὰρ τοῦ Ἰωσὴφ ἀδελφοὶ, βουλόμενοι αὐτὸν ποιῆσαι δοῦλον καὶ ἀπολέσαι, αὐτοὶ καὶ εἰς δουλείαν, καὶ εἰς θάνατον, τό γε αὐτῶν μέρος, ἐνέπεσον. ὁ Ἀβεσσαλὼμ διὰ τῆς τυραννίδος ἀπολέσαι βουλόμενος τὸν πατέρα, διὰ ταύτης αὐτὸς ἑάλω· ἠθικώτερον δὲ οὕτως ἑρμηνεύεται κατὰ ἄλλον ἑρμηνευτήν: ἤτοι τὸν Νικήταν, τὸ παρὸν ῥητόν. „ Ὁ Θεὸς προσέταξε τηρεῖν ἀεὶ τὴν τοῦ ὄφεως κεφαλήν· κεφαλὴ δὲ τῶν ἁμαρτημάτων καὶ οἷον ἀρχὴ, ὁ λογισμός ἐστι καὶ ἡ προσβολὴ τῆς ἁμαρτίας· ὁ τοίνυν πρῶτον τῇ διανοίᾳ ὑπὸ τοῦ ἐχθροῦ ἐντιθέμενος φιλόσαρκος καὶ φιλοπαθὴς λογισμὸς, πολλοὺς βλαστάνει καὶ θησαυρίζει κύκλῳ εἰς τὸν ἑαυτόν του ἀλ-

Ἐπάνω, λέγει, εἰς τοὺς ἁμαρτωλοὺς ἐχθρούς μου θέλουν πέσουν ὄχι ἁπλῶς κάρβουνα, ἀλλὰ κάρβουνα ὁμοῦ μὲ φωτίαν: ἤτοι θέλουν πέσουν εἰς αὐτοὺς κάρβουνα πολλὰ ἀναμμένα, καὶ ὁποῦ ἔχουν πολλὴν φωτίαν. κάρβουνα δὲ νόησον, τὴν παρὰ Θεοῦ τιμωρίαν. ἥτις ὡσὰν κάρβουνα ἀναμμένα φλογίζει καὶ κολάζει τοὺς ἁμαρτωλούς. ταῦτα δὲ προφητεύει ὁ Δαβὶδ κατὰ τῶν ἐχθρῶν του. ἐπειδὴ πολλαῖς φοραῖς εἰς πολλοὺς ἁμαρτωλοὺς ἐκατέβη ἀπὸ τοὺς οὐρανοὺς φωτία θεόπεμπτος καὶ τοὺς ἐκατέκαυσε. μάλιστα δὲ εἰς τοὺς Σοδομίτας.

„Καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις,
„καὶ οὐ μὴ ὑποστῶσιν.

Ἐσύ, λέγει, Κύριε, θέλεις καταβάλλεις τοὺς ἁμαρτωλοὺς μὲ τιμωρίας καὶ κακώσεις, αἱ ὁποῖαι τόσον θέλουν ταλαιπωρήσουν αὐτούς, ὥστε ὁποῦ νὰ μὴ δύνωνται νὰ ὑποφέρουν τελείως τὴν ταλαιπωρίαν ταύτην. ἀλλ᾽ εὐθὺς μὲ πρώτην προσβολὴν καὶ κτύπημα, θέλουν καταχρημνισθοῦν εἰς ἀπώλειαν, διὰ τὴν ὑπερβολικὴν δύναμιν τῶν τιμωριῶν. (1)

11: „Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθή-
„σεται ἐπὶ τῆς γῆς.

Ὁ ἄνθρωπος, λέγει, ὁ γλωσσώδης: ἤγουν ὁ ἀκρατὴς εἰς τὴν γλῶσσαν καὶ φλύαρος καὶ προπέτης, ἢ καὶ ὁ φιλόνεικος καὶ ἐριστικός, αὐτὸς δὲν θέλει κατευοδωθῇ εἰς τὰ ἔργα του ἐπὶ τῆς γῆς. ἀλλὰ θέλει ὀλισθήσῃ καὶ χρημνισθῇ, καὶ ψυχικὰ καὶ σωματικά. (2)

„Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς
„διαφθοράν.

Καὶ ἄλλος δὲ σοφὸς εἶπε· „Παρανομίαι ἄνδρα ἀγρεύουσιν (Παρ. ε΄. 22.) ἐπειδὴ δὲ πολλαῖς φοραῖς θηρεύεται: ἤγουν πιάνεται τινας ὡς κυνήγιον, εἰς σωτηρίαν καὶ ὠφέλειαν τῆς ψυχῆς· καθὼς ἐθηρεύθη ἡ Σαμαρεῖτις ὑπὸ τῶν λόγων τοῦ Κυρίου, καὶ τὰ Ἔθνη ὑπὸ τῶν Ἀποστόλων· διὰ τοῦτο ἐπρόσθεσεν ἐδῶ ὁ Δαβὶδ τό, εἰς διαφθοράν· ὅτι τὸν ἄδικον ἄνθρωπον θέλουν πιάσουν ὡς κυνήγιον τὰ κακά, εἰς διαφθορὰν καὶ ἀπώλειάν του, κατὰ τὸν Χρυσόστομον· γνωμικὰ δὲ καὶ διδασκαλικὰ εἶναι καὶ τὰ δύω ῥητὰ ταῦτα, τοῦ Δαβίδ: τὸ ἀνώτερον δηλαδή, καὶ τὸ παρόν· (3)

12: „Ἔ-

ἄλλους αἰσχροὺς λογισμούς· τὴν πρωτόκλισιν λοιπὸν καὶ τὴν προσβολὴν τῶν πονηρῶν λογισμῶν κεφαλὴν ἡγούμεθα εἶναι· ὅταν οὖν ἡ πρώτη προσβολὴ τοῦ πονηροῦ λογισμοῦ διωχθῇ παρ᾽ ἡμῶν, καὶ μὴ παραδεχθῇ ἐν τῇ καρδίᾳ, αὐτὴ καλύπτει καὶ ἀφανίζει ὅλους τοὺς ἄλλους λογισμούς, τοὺς βλαστάνοντας μετὰ τὴν προσβολήν· καὶ ὁ κόπος, ὃν οἱ Δαίμονες ἐποίησαν, ἵνα σπείρωσιν εἰς τὴν καρδίαν ἡμῶν τὴν προσβολὴν αὐτήν, αὐτὸς ἐπιστρέφει κατ᾽ αὐτῶν, μηδὲν βλάψας ἡμᾶς. ὁ δὲ Θεοδώριτος λέγει· „Ταῖς οἰκείαις, φησίν, ἐπιβουλαῖς περιπέσοιεν· καὶ ἃ κατ᾽ ἐμοῦ τεκταίνουσιν, ὑπομείναιεν· καὶ ἡ κατ᾽ ἐμοῦ τυρευομένη πικρία, τοὺς ταύτῃ χρωμένους παντελῶς συγκαλύψαι, ἀλλὰ καὶ αὐτὸς ὁ Διάβολος κύκλῳ περὶ αὐτὸν ἔχων τὰ πονηρὰ τῶν Δαιμόνων τάγματα, κεφαλὴ χρηματίζει τῆς πονηρίας αὐτῶν.

(1) Ἄλλος δὲ λέγει· „Καταβαλεῖς αὐτοὺς εἰς βαθύνους, καὶ οὐ μὴ ἀναστῶσιν. ὁ δὲ Θεοδώριτος λέγει· „Ταῦτα δὲ συνέβη τῷ Σαοὺλ ἐν τῷ κατὰ τοὺς ἀλλοφύλους πολέμῳ· ἐκεῖ γὰρ σφαγείς, ἐδέξατο τοῦ βίου τὸ πέρας.

(2) Ὅθεν εἶπεν ὁ Χρυσόστομος· „Δείκνυσιν ὁ Δαβίδ, ὅτι καὶ αὐτὴ καθ᾽ ἑαυτὴν ἡ κακία, ἱκανὴ διαφθεῖραι τοὺς ἔχοντας· ἔστι γὰρ ὅτε ἐπὶ γῆς ἔτι ὄντα τὸν γλωσσώδη, τὰ αὐτοῦ μετελεύσεται κακά· τοιοῦτος ὁ λοίδορος· πᾶσι πολέμιος· ἀηδής· ἐπαχθής· φορτικός· ὥσπερ οὖν ὁ μακρόθυμος καὶ ἐπιεικὴς καὶ σιγᾶν ἐπιστάμενος, ἀσφαλὴς καὶ βεβηκὼς καὶ τοῖς πᾶσιν ἐπίχαρις.

(3) Ὁ αὐτὸς δὲ λέγει Χρυσόστομος· „Ὅρα πάλιν τὴν κακίαν ἀρκοῦσαν εἰς διαφθορὰν τοῦ ἔχοντος· ὡς γὰρ [illegible]
αἰ-

12. „ Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν „ κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην „ τῶν πενήτων.

Ἀγκαλὰ καὶ πολλαῖς φοραῖς ἀργοπορεῖ νὰ γένῃ παρὰ Θεοῦ ἡ ἐκδίκησις, διὰ τοὺς καταπονουμένους καὶ καταδυναστευομένους, τούτους γὰρ ὀνομάζει ἐδῶ πτωχοὺς καὶ πένητας. ἀλλ' ὅμως καλῶς λέγει, ἠξεύρω ἐγώ, ὅτι ὁ Κύριος θέλει κάμει ἐξάπαντος τὴν κρίσιν καὶ δίκην αὐτῶν: ἤτοι τὴν ὑπὲρ αὐτῶν ἐκδίκησιν. ἢ εἰς τὴν παροῦσαν ζωήν, ἢ εἰς τὴν μέλλουσαν. τοῦτον δὲ τὸν λόγον εἶπεν ὁ Δαβίδ, ἕνα μέν, διὰ νὰ παρηγορήσῃ τοὺς ἀδικουμένους. καὶ ἄλλο δέ, διὰ νὰ φοβίσῃ καὶ νὰ σωφρονίσῃ τοὺς ἀδικοῦντας αὐτούς, κατὰ τὸν χρυσόστομον. (1)

13. „ Πλὴν δίκαιοι ἐξομολογήσονται „ τῷ ὀνόματί σου.

Πλήν, λέγει, ἀγκαλὰ καὶ ἡ κρίσις ἡ ὑπὲρ τῶν δικαίων ἀργοπορεῖ νὰ γένῃ παρὰ τοῦ Θεοῦ, ὅμως οἱ δίκαιοι δὲν θέλουν σκανδαλισθοῦν διὰ τὴν ἀργοπορίαν ταύτην. ἀλλὰ θέλουν εὐχαριστήσουν ἐκεῖνα τὸν Θεόν. διατὶ ἠξεύρουν, ὅτι ὅλα τὰ κάμνεις μὲ λογαριασμὸν καὶ σοφίαν καὶ πρὸς τὸ συμφέρον.

„ Καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ „ προσώπῳ σου.

Εὐθεῖς ὀνομάζει πάλιν ἐδῶ ὁ Δαβὶδ τοὺς ἀνωτέρω δικαίους. οἱ δίκαιοι, λέγει, θέλουν κατοικήσουν μαζὶ μὲ ἐσένα τὸν Κύριον: ἤγουν μαζὶ μὲ τὴν ἐνθύμησίν σου, συνευρισκόμενοι πάντοτε μὲ αὐτήν, καὶ μὴ χωριζόμενοι ἀπὸ αὐτὴν καμμίαν φοράν. ἢ εὐθεῖς ὀνομάζει τοὺς Ἀποστόλους. πρόσωπον δὲ Θεοῦ ὀνομάζει τὸν Χριστόν, ὡς χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ. ἔφη γὰρ αὐτὸς ὁ Χριστός „ Πάτερ, θέλω, ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. (Ἰω. ιζ'. 24) τέλος γὰρ τῶν ἀγαθῶν ἡ τοῦ Θεοῦ θεωρία ἐστι. (2 ἠμποροῦν δὲ νὰ νοηθοῦν καὶ ἄλλως ὅτι

οἰκείας νόσου, τῆς ἑαυτοῦ κακίας διαφθείρεται· ἱκανὴ γὰρ ἀντὶ πάσης τιμωρίας τὴν ἔχουσαν αὐτὴν ψυχὴν ἡ κακία διαφθεῖραι· ἀλλὰ τίνος ἕνεκεν τὸ τῆς θήρας ἔθηκεν ὄνομα; ἵνα τὸ ἄφυκτον ἴδῃς· ἵνα, κἂν μὴ παραυτίκα ἐμπέσῃς ἀδικῶν, μὴ θαῤῥήσῃς· τοιαύτη γὰρ ἡ ἄγρα· οὐκ ἀεὶ ἐπιτυγχάνει, οὐδὲ εὐθέως· ἀλλὰ κἂν μὴ ἁλῷ τὰ ἄγρια ζῶα καὶ τὰ θηρευόμενα, οὐδ' οὕτως ἐν ἀσφαλεῖ τυγχάνει· οὕτω τοίνυν μηδὲ ψυχὴ θαῤῥείτω, ἄδικα πράττουσα, καὶ μηδέ πω ἁλοῦσα· ὅτε γὰρ δήποτε ἁλώσεται· εἰ γὰρ βούλει ἐν ἀσφαλείᾳ εἶναι, παῦσαι ταῦτα πράττων, καὶ πολλῆς ἀπολαύσεις τῆς ἀδείας· καὶ τί δήποτε οὐ παρὰ πόδας τῆς κακίας, ἕπεται τὰ τῆς τιμωρίας; διὰ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν· εἰ γὰρ ἐβούλετο τῶν ἁμαρτανόντων ἕκαστον εὐθέως ὑπὸ τὴν τιμωρίαν ἄγειν, πρόανηλώθη ἂν τὸ πλέον τῶν ἀνθρώπων.

(1) Ὅστις προστίθησι· „ Ἵνα μήτε ἐκεῖνοι (οἱ ἀδικούμενοι) τῇ θλίψει ἀπαγορεύωσι, μήτε οὗτοι διὰ τὴν ἀναβολὴν ῥαθυμότεροι γένωνται· ἡ γὰρ ἀναβολὴ εἰς μετάνοιαν ἄγει· τὸν δὲ ἐπιμένοντα, χαλεπώτερον κολάζειν εἴωθε· καὶ μάλα δικαίως· ὅτι τοσαύτης ἀπολαύσας ἀγαθότητος, οὐκ ἐγένετο βελτίων· ἐννόησον γάρ, ὅση τοῦ Θεοῦ ἡ φιλανθρωπία! ὅταν τοὺς ἀνακειμένους αὐτῷ, ἀνέχηται πάσχειν κακῶς, καὶ μὴ ἐπεξίῃ, τῇ μετανοίᾳ βελτίω ποιῆσαι τὸν ἀδικοῦντα βουλόμενος. λέγει δὲ καὶ ὁ Ὠριγένης· „ Προφητεία τοῦτο περὶ τῆς μελλούσης κρίσεως, καθ' ἣν τῶν ἀσεβῶν τῷ πυρὶ παραδεδομένων, εἰς ἄνεσιν οἱ δίκαιοι παραληφθήσονται· ἐντεῦθεν καὶ Σολομὼν ὠφεληθεὶς εἶπεν· „ Ὅτι πᾶν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν (Ἐκκλ. ιβ'. 14.) εἰς χρηστὸν δὲ τέλος κατέληξεν ὁ Ψαλμός· ἐπεὶ καὶ εἰς τέλος ἐπιγέγραπται, τὴν ἀποκειμένην τοῖς δικαίοις λέγων ἐλπίδα· ἀντὶ δὲ τοῦ σὺν τῷ προσώπῳ σου; ὁ Σύμμαχος· „ Παρὰ τῷ προσώπῳ σου λέγει· τὸ κεκαθαρμένη διανοίᾳ δηλῶν πρόσωπον πρὸς πρόσωπον ὁρᾶν τὸν Θεόν.

(2) Ὁ δὲ Χρυσόστομος· „ Ἀεὶ μετὰ σοῦ ἔσονται, οὐδέποτε ἀποστήσονται· ὅπερ ἐὰν γένηται, οὐδέποτε δυσχερανοῦ-

ὅτι δίκαιοι μὲν εἶναι ὅλοι ἁπλῶς οἱ τὴν ἀρετὴν ἐργαζόμενοι. εὐθεῖς δὲ εἶναι, οἱ μὲ λογαριασμὸν καὶ διάκρισιν τὴν αὐτὴν ἐργαζόμενοι ἀρετήν. ἐπειδὴ δὲ περὶ τῆς μελλούσης κρίσεως διαλαμβάνει ὁ παρὼν ψαλμὸς, καὶ περὶ Χριστοῦ καὶ τῶν Ἀποστόλων: διὰ τοῦτο ἐπαρακινήθησαν μερικοὶ νὰ ἐπιγράφουν εἰς τὸν παρόντα ψαλμὸν τὴν ἐπιγραφὴν ταύτην; „ Εἰς τὸ τέλος Ψαλμὸς τῷ Δαβίδ.

ΨΑΛΜΟΣ ΡΜ'.

„ Ψαλμὸς τῷ Δαβίδ. (1)

1: „ Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου.

Ἐγὼ, λέγει, ἐφώναξα εἰς ἐσένα Κύριε, μὲ φωνὴν καὶ κραυγὴν καρδίας, ἀναμμένης καὶ κατανενυγμένης ἀπὸ τὴν θλῖψιν. διὰ τοῦτο εἰσάκουσόν μου. μὲ τοιαύτην γὰρ νοερὰν φωνὴν τῆς καρδίας καὶ ὁ Μωϋσῆς φωνάζωντας, εἰσηκούσθη ἀπὸ τὸν Θεὸν, κἂν καὶ μὲ τὸ σόμα ἐσιώπα. τοιαύτην φωνὴν ἀνέπεμπεν ἀπὸ καρδίας καὶ ἡ σώφρων Ἄννα, ἡ γυνὴ τοῦ Ἐλκανὰ, κἂν καὶ ἡ διὰ σόματος φωνὴ αὐτῆς δὲν ἠκούετο. ὅθεν καὶ σεῖρα οὖσα, ἐγέννησε τὸν Σαμουὴλ. Μὲ τοιαύτην, λέγει „ νοερὰν φωνὴν τῆς καρδίας ἐφώναξα καὶ ἐγὼ εἰς ἐσένα Κύριε, τὴν ἄκουσιν εἰς τὰ ὦτά σου. καὶ ὄχι μὲ μόνην τὴν αἰσθητὴν φωνὴν τοῦ σόματος, μὲ τὴν ὁποίαν καὶ οἱ Ἰουδαῖοι προσευχόμενοι καὶ πληθύνοντες τὴν δέησίν τους, δὲν εἰσηκούοντο. διατὶ, καθὼς ἐκεῖνος ὁποῦ φωνάζει αἰσθητῶς μὲ τὸ σόμα, τεντώνει εἰς τὰ ἔξω ὅλον τὸ σῶμά του, καὶ συγκροτεῖ ὅλην τὴν δύναμιν του ἔτζι καὶ ἐκεῖνος, ὁποῦ φωνάζει νοερῶς μὲ τὴν καρδίαν

νοῦσιν· οὐδέποτε μέμφονται τοῖς γινομένοις· τοῦτο γὰρ ψυχῆς ἀπεριτρέπτου καὶ ἀκλινοῦς, μὴ ἀπαιτεῖν τὸν Δεσπότην εὐθύνας· διὸ καὶ Παῦλος ἔλεγε· „ Μενοῦνγε ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως;

(1) Ὁ δὲ Θεοδώριτος λέγει· „ Ὅτι καὶ τοῦτον τὸν Ψαλμὸν ἐποίησεν ὁ Δαβὶδ διωκόμενος ἀπὸ τοῦ Σαοὺλ, καὶ παρακαλῶν νὰ τύχῃ τὴν τοῦ Θεοῦ βοήθειαν. ἄλλοι δὲ λέγουσιν· „ Ὅτι λέγεται ὁ Ψαλμὸς οὗτος ἐκ προσώπου τῶν ἐν Βαβυλῶνι αἰχμαλώτων. λέγει δὲ ὁ Χρυσόστομος· „ Τούτου τοῦ Ψαλμοῦ, τὰ ῥήματα μὲν πάντες, ὡς εἰπεῖν, ἴσασι, καὶ διὰ πάσης ἡλικίας διατελοῦσι ψάλλοντες· τὴν δὲ διάνοιαν ἀγνοοῦσι, βαλάντιον περιφέροντες ἐσφραγισμένον· ὅπερ οὐ μικρὸν εἰς κατηγορίας λόγον, ψάλλειν μὲν καθ' ἡμέραν, μηδ' ἅπαξ δ' ἐπιζητῆσαι μαθεῖν τὸν νοῦν τῶν ψαλλομένων· ἀλλὰ παρακαθῆσθαι θησαυρῷ συνεσκιασμένῳ· οὐχ ἁπλῶς δὲ, οἶμαι τὸν Ψαλμὸν τοῦτον τετάχθαι παρὰ τῶν Πατέρων καθ' ἑκάστην ἑσπέραν λέγεσθαι· οὐδὲ διὰ τὴν μίαν λέξιν τὴν λέγουσαν· „ Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· ἀλλ' ὥς τι φάρμακον σωτήριον, καὶ ἁμαρτημάτων καθάρσιον τὸν Ψαλμὸν ἐνομοθέτησαν λέγεσθαι· ἵνα, ὅσα (ἁμαρτήματα) προστριβόμεθα ὅλην τὴν ἡμέραν, ὁπουδήποτε διατρίβοντες· ταῦτα ἐλθόντες εἰς τὴν ἑσπέραν, διὰ τῆς ἐπῳδῆς ταύτης ἀπολυσώμεθα τῆς πνευματικῆς.

αν, συστρέφει ἐξ ἐναντίας εἰς τὰ ἔσω ὅλον τὸν νοῦν καὶ τὴν ψυχήν του. καὶ συμμαζώνει ὅλην τὴν δύναμίν του. ὅθεν καὶ εἶναι ἄξιος νὰ εἰσακούεται παρὰ τοῦ Θεοῦ. (1)

„: Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρός σε,

Πρόσεξε, λέγει, Κύριε, εἰς τὴν φωνὴν τῆς δεήσεώς μου, διατὶ κράζω πρὸς ἐσένα νοερῶς καὶ μὲ ὅλην μου τὴν καρδίαν, ὡς ἀνωτέρω εἴρηται. ἐπειδὴ ὁ Θεὸς, δὲν προσέχει εἰς τὴν αἰσθητὴν φωνὴν τῆς δεήσεως ἐκείνου, ὁποῦ μὲ τοιοῦτον τρόπον δὲν φωνάζει: ἤγουν νοερῶς καὶ ὁλοκαρδίως. (2)

2: „ Κατευθυνθήτω ἡ προσευχή μου, ὡς „ θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν „ χειρῶν μου, θυσία ἑσπερινή.

Δύω βωμοί: ἤτοι θυσιαστήρια ἦτον εἰς τὸν παλαιὸν ναὸν τοῦ Θεοῦ, κατὰ τὸν χρυσόστομον. τὸ ἕνα χρυσοῦν, καὶ τὸ ἄλλο χάλκινον· καὶ τὸ μὲν χρυσοῦν ἦτον ἀφιερωμένον διὰ τὸ καύσιμον τοῦ θυμιάματος. τὸ δὲ χάλκινον ἦτον ἀφιερωμένον διὰ τὰς ἄλλας θυσίας· τὸ μὲν θυμίαμα λοιπὸν, κατεσκευάζετο πολυτελῶς καὶ καθαρῶς κατὰ τὴν διάταξιν τοῦ νόμου· ὅθεν καὶ ἦτον εὐπρόσδεκτον εἰς τὸν Θεὸν, ὅταν ἐθυμιάζετο· καὶ διὰ τὴν αἰτίαν ταύτην, καὶ διατὶ ἦτον εὐωδέστατον. καὶ μάλιστα διατὶ προεικόνιζε τὴν νέαν λατρείαν τῆς χάριτος τοῦ Εὐαγγελίου. λέγει λοιπὸν ὁ Δαβὶδ ὅτι ἄμποτε νὰ κατευθυνθῇ καὶ νὰ γένῃ εἰς ἐσένα Κύριε, εὐπρόσδεκτος ἡ προσευχή μου ὡσὰν τὸ καθαρὸν ἐκεῖνο καὶ εὐωδέστατον θυμίαμα, τὸ νομίμως θυμιώμενον εἰς ἐσένα· μὲ τὸ νὰ ἀναφθῇ ἡ καρδία μου ἀπὸ τὸ πῦρ τῆς προθυμίας καὶ ἀγάπης. καθὼς καὶ ἡ ἐσχάρα τοῦ χρυσοῦ θυσιαστηρίου ἄναπτε: καὶ ἀνέπεμπε τὴν εὐωδίαν τοῦ θυμιάματος. Καὶ περὶ μὲν τοῦ θυμιάματος ταῦτα.

Περὶ δὲ τῆς ἑσπερινῆς θυσίας λέγομεν, ὅτι ἦτον νομοθετημένον εἰς τοὺς Ἱερεῖς, νὰ θυσιάζουν ἀκαταπαύστως κάθε ἡμέραν δύω ἀμνοὺς ἤτοι πρόβατα ἀρσενικά. ἕνα μὲν, τὸ πρωΐ. ἄλλο δὲ, τὸ βράδυ· κἂν τυχὸν καὶ κανένας ἀπὸ τοὺς Ἑβραίους δὲν ἤθελε προσφέρῃ θυσίαν ἄλλην. ὅθεν καὶ αἱ θυσίαι τῶν δύω τούτων προβάτων, ὠνομάζοντο τοῦ ἐνδελεχισμοῦ. διατὶ ἐνδελεχῶς: ἤτοι ἀδιακόπως ἐπροσφέροντο. ταῦτά ἐστιν, ἃ ποιήσεις ἐπὶ τοῦ θυσιαστηρίου, ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύω τὴν ἡμέραν ἐπὶ τὸ θυσιαστήριον ἐνδελεχῶς, κάρπωμα ἐνδελεχισμοῦ. τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωΐ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν. θυσίαν ἐνδελεχισμοῦ εἰς γενεὰς ὑμῶν. (Ἐξ. κθ' 38) αὗται δὲ αἱ θυσίαι τῶν δύω προβάτων, ἦτον πάντοτε καθαραὶ καὶ

δεκ-

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Τί οὖν οὗτός φησιν, ἐκέκραξα πρὸς σέ; κραυγὴν ἐνταῦθα λέγει οὐ τὴν στόματος, ἀλλὰ τὴν ἔνδον· ἣν ἡ καρδία ἔτικτεν ἡ πεπυρωμένη· τοιαύτην γὰρ κραυγὴν ζητεῖ ὁ Θεός· τὴν συστρέφουσαν τὴν φρόνησιν· τὴν οὐκ ἐῶσαν χασμᾶσθαι· οὐ μόνον δὲ τοιαύτην, ἀλλὰ ϗ τὸ πρὸς αὐτὸν εὔχεσθαι· εἰσὶ γὰρ πολλοὶ, οἳ, ἑστήκασι μὲν εὐχόμενοι, οὐ βοῶσι δὲ πρὸς τὸν Θεόν· ἀλλὰ τὰ μὲν χείλη, πρὸς τὸν Θεὸν βοᾷ; ϗ τὸ ὄνομα τοῦ Θεοῦ περιφέρει· ἡ δὲ διάνοια, οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων. λέγει δὲ ϗ ὁ θεῖος Βασίλειος· Οὐχ ἁπλῶς τὰ ῥήματα τῆς προσευχῆς ὠφελεῖ· ἀλλὰ τὸ ἀπὸ σπουδαίας διαθέσεως ἀναπέμπεσθαι· ἐπεὶ ϗ ὁ Φαρισαῖος ἐδόκει πληθύνειν τὴν δέησιν· ἀλλὰ πρὸς ἑαυτόν· ἐπείπερ ἐν ἁμαρτίᾳ τῆς ὑπερηφανίας ἐγένετο.

(2) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Ὅρα ϗ ἄλλην ἀρετὴν εὐχῆς, δι' ἣν ἄξιοι ἀκουσθῆναι· ἤτοι τὸ ταύτην ἀξίαν εἶναι τῆς θείας προσοχῆς ϗ τῶν ἀκοιμήτων ὀφθαλμῶν· ποία δὲ ἐστιν ἡ τοιαύτη; ὅταν μὴ κατὰ ἐχθρῶν τις εὔχηται· ὅταν μὴ ὑπὲρ πλούτου, ἢ δυναστείας, ἢ δόξης· μηδὲ ὑπέρ τινος τῶν ἐπικήρων τούτων· ἀλλ' ὑπὲρ τῶν ἀθανάτων ϗ ἀκηράτων ἐκείνων· οὐ γὰρ δὴ μόνον οὐκ εὔχεσθαι δεῖ κατὰ τῶν ἐχθρῶν· ἀλλὰ ϗ τὴν ὀργὴν ἀναιρεῖν τὴν κατ' αὐτῶν· διό φησι Παῦλος· „ Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι, ἐπαίροντας ὁσίους χεῖρας. χωρὶς ὀργῆς ϗ διαλογισμῶν: τουτέστι, κἂν ἔχῃς ἐχθρὸν, σβέσον τὴν ὀργὴν, ϗ οὕτω πρόσιθι τῷ Δεσπότῃ· ϗ μὴ μόνον διὰ τοῦ στόματος μηδὲν εἴπῃς κατ' αὐτοῦ· ἀλλὰ ϗ τὴν διάνοιαν ἀπάλλαξον ἰοῦ· ἂν τοιαύτη ἡ εὐχὴ ᾖ, ϗ μετὰ σπουδῆς καλῇς τὸν Θεὸν, ϗ πρὶν ἢ τελέσαι τὴν εὐχὴν, ἀκουσθήσῃ· ἔτι, φησὶ, λαλοῦντός σου, ἐρεῖ· ἰδοὺ πάρειμι·

δεκταὶ ἀπὸ τὸν Θεόν. καθότι δὲν ἐπροσφέροντο διὰ ἁμαρτίας. αἱ γὰρ ἄλλαι θυσίαι αἱ παρὰ τοῦ λαοῦ προσφερόμεναι, δὲν ἦτον πάντοτε δεκταὶ καὶ καθαραί. διατὶ ἐμολύνοντο πολλαῖς φοραῖς ἀπὸ τὰς πονηρὰς διαθέσεις τῶν προσφερόντων αὐτάς· αἱ μὲν οὖν δύω αὗται θυσίαι ἦτον τιμιώτεραι ἀπὸ τὰς ἄλλας, ἀπὸ τὰς δύω δὲ πάλιν ταύτας, ἡ θυσία, ὁποῦ ἐπροσφέρετο τὸ ἑσπέρας, ἦτον τιμιωτέρα ἀπὸ τὴν θυσίαν, ὁποῦ ἐπροσφέρετο τὸ πρωΐ. διότι ἐκείνη μὲν ἡ πρωϊνὴ θυσία, ἀπέβλεπεν εἰς τὴν ἑσπερινήν· ἡ δὲ ἑσπερινὴ, ἐσυμπλήρωνεν ὅλην τὴν ἱερουργίαν τῆς ἡμέρας, καὶ ἐτελείωνεν τὴν ἐν τῷ ναῷ λειτουργίαν, κατὰ τὸν Χρυσόςομον. λέγει λοιπὸν ὁ Δαβίδ. ἄμποτε νὰ κατευθυνθῇ καὶ νὰ γένῃ καθαρὰ καὶ εὐπρόσδεκτος εἰς σὲ Κύριε, ἡ ἐν τῇ προσευχῇ γινομένη ἔπαρσις τῶν χειρῶν μου. καθὼς εἶναι εὐπρόσδεκτος εἰς σὲ καὶ ἡ θυσία τῆς ἑσπέρας. γίνεται δὲ εὐπρόσδεκτος ἡ προσευχή: ὅταν δηλαδὴ, τὸ μὲν προσευχόμενον ςόμα εἶναι καθαρὸν ἀπὸ λόγια αἰσχρά: ἤγουν ὕβρεις λοιδορίας, κατακρίσεις, καὶ καταλαλιάς. μᾶλλον δὲ ἡ προσευχομένη καρδία, εἶναι καθαρὰ ἀπὸ λογισμοὺς αἰσχρούς, βλασφήμους, καὶ πονηρούς. καὶ ὅταν αἱ χεῖρες, ὁποῦ σηκώνονται πρὸς τὸν Θεὸν ἐν τῇ προσευχῇ εἶναι καθαραὶ ἀπὸ πλεονεξίαν καὶ ἁρπαγὴν καὶ ἀπὸ κάθε ἄλλην παράνομον πρᾶξιν. (1)

3: „ Θοῦ Κύριε φυλακὴν τῷ ςόματί „ μου, καὶ θύραν περιοχῆς περὶ τὰ „ χείλη μου.

Ἐπειδὴ ὁ Δαβὶδ ἤξευρε, ὅτι τὸ ςόμα εἶναι αἴτιον πολλῶν κακῶν, ὅταν ἀμελῆται καὶ ἀφίνεται νὰ λαλῇ ἀςόχαςα ὅ, τι ἤθελε φθάσῃ· καθὼς ἐκ τοῦ ἐναντίου τὸ αὐτὸ ςόμα εἶναι αἴτιον καὶ πολλῶν ἀγαθῶν: ὅταν δηλαδὴ προνοῆται καὶ φυλάττεται ἀπὸ τὸν ἄνθρωπον· καὶ ὅτι εἰς τοῦτο εἶναι χρεία σπουδῆς καὶ ἀγῶνος, καὶ μᾶλλον τῆς βοηθείας τοῦ Θεοῦ. διὰ τοῦτο παρακαλεῖ τὸν Θεὸν εἰς βοήθειαν καὶ φυλακὴν τοῦ ςόματος. λέγει γὰρ ὁ θεῖος Χρυσόςομος, ὅτι τὰ μυρία δεινὰ, τῆς γλώσσης ἡ εὐκολία εἰργάσατο. ὥσπερ οὖν τὰ ἀγαθά, ἡ ἀσφάλεια. διότι καθὼς ἕνα ὁσπήτιον, ἢ μία πόλις δὲν ἔχει κανένα ὄφελος ἀπὸ τὰς πόρτας καὶ τὰ τειχόκαςρα, ἀνίσως δὲν εἶναι ἄνθρωποι φυλακάτορες εἰς αὐτά, οἵτινες ἠξεύρουν πότε μὲν, εἶναι καλὸν νὰ κλείουν τὰς πόρτας ταύτας, καὶ πότε δὲ, εἶναι καλὸν νὰ τὰς ἀνοίγουν. ἔτζι δὲν εἶναι ὄφελος εἰς τὸ ςόμα καὶ τὴν γλῶσσαν τοῦ ἀνθρώπου, ἂν δὲν εἶναι φυλακὴ εἰς αὐτά, κατὰ τὸν αὐτὸν χρυσοῤῥήμονα. (2) φυλακὴ δὲ ςόματος εἶναι, ἡ εἰς αὐ-

(1) Λέγει δὲ ὁ Εὐσέβιος· „ Κατευθυνομένη δὲ ϗ εὐώδης προσευχὴ, τῶν αἰτούντων τὰ κυρίως ἀγαθά· τοῦ γὰρ μὴ τοιούτου ἡ προσευχὴ, ἀποςρέφεται, ὡς θυμίαμα ἐσβεσμένον, ϗ διασκορπίζεται ὡς δυσῶδες. ὁ δὲ θεῖος Βασίλειός φησι· „ Τὸ μέν τοι νομικὸν θυμίαμα ἐν Ἡσαΐᾳ ὁ Θεὸς ἀποπέμπεται λέγων· „ Θυμίαμα, βδέλυγμά μοι ἐςι· βδελυκτὸν γὰρ τινόντι τὸ οἴεσθαι τὰς δι᾽ ὀσφρήσεως ἡδονὰς τὸν Θεὸν θηρώμενον, τοῦ θυμιάματος τὴν σύνθεσιν διατεταχέναι· ϗ μὴ νοεῖν, ὅτι θυμίαμα τῷ Κυρίῳ, ὁ ἐν σώματι ἁγιασμὸς ὑπὸ τῆς κατὰ ψυχὴν σωφροσύνης ἐπιτελούμενος. λέγει δὲ ϗ ὁ Χρυσόςομος· „ Ἔςω τοίνυν θυμιατήριόν σου τὸ ςόμα· ϗ σκόπει μὴ κόπρου τὸ θυμιατήριον ἐμπλήσῃς· τοιοῦτοι γὰρ οἱ τὰ αἰσχρὰ φθεγγόμενοι ϗ ἀκάθαρτα ῥήματα· ὥσπερ γὰρ τὸ θυμιατήριον οὐδὲν ἔχειν ἀκάθαρτον χρὴ· ἀλλ᾽ ἢ πῦρ ϗ θυμίαμα· οὕτω ϗ τὴν γλῶτταν οὐδὲν ἔχειν κεκηλιδωμένον ῥῆμα· ἀλλ᾽ ἢ ἁγιωσύνην ϗ εὐφημίαν· οὕτω ϗ τὰς χεῖρας θυμιατήριον γίνεσθαι· οὐ γὰρ ἐν χαλκῷ προσάγεις βωμῷ τὸ θυμιατήριον, οὐδὲ ἐν χρυσῷ· ἀλλ᾽ ἐν τῷ τούτου τιμιωτέρῳ, ἐν ναῷ πνευματικῷ, ἐκεῖνα μὲν γὰρ, ἄψυχος ἦν ὕλη: ἐν σοὶ δὲ, ὁ Θεὸς ἐνοικεῖ, ϗ μέλος εἶ τοῦ Χριςοῦ ϗ σῶμα τίμιον. ἄλλος δὲ λέγει· „ Ὅτι προσέθηκεν ὁ Δαβὶδ κοντὰ εἰς τὴν τῆς διανοίας προσευχὴν, ϗ τὸ, ἔπαρσις τῶν χειρῶν μου· ἔδει γὰρ περὶ τοῦ θεωρητικοῦ εἰπόντα, ϗ περὶ τοῦ πρακτικοῦ μνημονεῦσαι ϗ τῶν σωματικῶν ἔργων. προςίθησι δὲ ὁ Εὐσέβιος· „ Ἑσπερινὴν θυσίαν, ἀλλ᾽ οὐχ ἑωθινὴν εἶπε, διὰ τὸ τὰς μέχρι τελευταίας ἀναπνοῆς ϗ αὐτῆς τῆς τοῦ βίου τελευτῆς (ἣν σημαίνει ἡ ἑσπέρα) ἐπιτελουμένας πράξεις, ὑπὲρ πᾶσαν θυσίαν κρίνεσθαι τῷ Θεῷ. ὁ δὲ Θεοδώριτος λέγει· „ Ἑσπερινῆς μέν τοι ϗ οὐχ ἑωθινῆς ἐμνημόνευσεν· ἐπειδὴ ἐν συμφοραῖς ἦν ϗ λύπαις· σκότῳ δὲ ἔοικεν ἡ συμφορὰ ϗ νυκτί· τῆρει δὲ, ὡς τὰ μὲν ἀπὸ διανοίας, τῷ θυμιάματι εἴκασεν, ὡς ἂν λεπτότερα τυγχάνοντα ϗ καθαρώτερα· τὰ δὲ δι᾽ ἔργων ἐπιτηδεύματα, ὡς ἂν παχύτερα ὄντα, θυσίαν ὠνόμασεν.

(2) Ὁ δὲ Χρυσόςομος λέγει· „ Τίς δὲ ἂν γένοιτο φυλακὴ ςόματος; λογισμὸς φοβερὸς ἐφεςὼς, μετὰ χεῖρας ἔχων

αὐτὸ ἐπιςασίᾳ καὶ προσοχὴ τοῦ νοός. ὅταν δηλαδὴ ὁ νοῦς προσέχῃ καὶ ἠξεύρῃ, ποῖα μὲν λόγια πρέπει νὰ λαλῇ. ποῖα δὲ νὰ κρατῇ μέσα εἰς τὴν καρδίαν. διότι εἶπεν ὁ Σειρὰχ „ Πολλοὶ ἔπεσον ἐν ςόματι μαχαίρας, καὶ οὐχ ὡς οἱ πεπτωκότες διὰ γλῶσσαν. μακάριος ὁ σκεπασθεὶς ἀπ᾽ αὐτῆς. (Σειρ κή. 18) βάλλε λοιπὸν, λέγει, Κύριε, φυλακὴν εἰς τὸ ςόμα μου, καὶ πόρταν περιοχῆς: ἤτοι φυλακῆς, εἰς τὰ χείλη μου. καὶ τὰ δύω γὰρ ταῦτα ἡ φυλακὴ καὶ ἡ περιοχὴ, ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα δηλοῦσιν ἐκ παραλλήλου. (1)

4: „ Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς „ λόγους πονηρίας, τοῦ προφασίζε„ σθαι προφάσεις ἐν ἁμαρτίαις.

Μὴν ἀφήσῃς, λέγει, Κύριε, νὰ κλίνῃ καὶ νὰ κρημνίζεται ἡ καρδία μου εἰς τὸ νὰ λαλῇ πονηροὺς λόγους διὰ μέσου τοῦ ςόματος. καὶ εἰς τὸ νὰ συλλογίζεται ἐνθυμήσεις καὶ λογισμοὺς ἀπρεπεῖς. τοῦτο δὲ θέλει κατορθωθῇ εὔκολα, ἀνίσως καὶ τὸ ἔξωθεν ςόμα μου εἶναι φυλαγμένον, κατὰ τὸν Χρυσόςομον. ἀλλὰ μηδὲ ἀφήσῃς τὴν καρδίαν μου, ὄχι μόνον νὰ ἐκκλίνῃ εἰς τοὺς τοιούτους πονηροὺς λόγους. ἀλλὰ καὶ εἰς τὸ νὰ προφασίζεται προφάσεις ὅταν ἁμαρτάνῃ. διότι καὶ οἱ πρωτόπλαςοι, ὅταν ἥμαρτον, ὁ μὲν Ἀδὰμ ἐπροφασίσθη τὴν Εὔαν: πῶς αὐτὴ δηλαδὴ τὸν ἀπάτησεν. ἡ δὲ Εὔα πάλιν ἐπροφασίσθη τὸν ὄφιν, πῶς αὐτὸς τὴν ἐγέλασεν. ὁμοίως, ὁ μὲν φονεὺς, εὑρίσκει πρόφασιν τοῦ φόνου, τὴν βίαν τοῦ θυμοῦ του. ὁ δὲ μοιχὸς, προφασίζεται τὴν βίαν τῆς ἐπιθυμίας του. ὁ κλέπτης, προφασίζεται τὴν ἀνάγκην καὶ πτωχείαν του. καὶ ἄλλος ἁμαρτωλὸς, ἄλλην αἰτίαν προφασίζεται. αἱ προφάσεις δὲ αὐταὶ δὲν παρακινοῦσι τοὺς ἀνθρώπους νὰ ἁμαρτάνουν. ἀλλὰ ἡ ἀμέλεια αὐτῶν καὶ ἀπροσεξία. καὶ τοῦτο γίνεται φανερὸν ἀπὸ ἐκείνους, ὁποῦ ἐπιμελοῦνται καὶ προσέχουν.

δια-

χων τὸ πῦρ, τὸ μέλλον κατακαίειν τοὺς ἁπλῶς τῷ ςόματι κεχρημένους· τοῦτο ςῆσον πυλωρὸν καὶ φύλακα, ἀπειλοῦντα τῷ συνειδότι, καὶ οὐδέ ποτε ἀνοίξεις τὴν θύραν ταύτην ἀκαίρως· μετὰ τούτου καὶ ἕτερον αὐτῷ ἐπίςησον τὸν λέγοντα· „ Ὅτι παντὸς ῥήματος ἀργοῦ, λόγον ἀποδώσεις ἐν ἡμέρᾳ κρίσεως.

(1) Λέγει δὲ ὁ Χρυσοῤῥήμων· „ Εἶδες σύνεσιν; εἶδες σοφίαν; πόθεν ἄρχεται τῆς αἰτήσεως; ἀπὸ τοῦ μεγίςου τῶν κατορθωμάτων· φυλάττωμεν τοίνυν τὸ ςόμα διηνεκῶς κλεῖν αὐτῷ τὸν λογισμὸν ἐπιτιθέντες· οὐχ ἵνα διηνεκῶς ᾖ κεκλεισμένον· ἀλλ᾽ ἵνα κατὰ καιρὸν ἀνοίγηται τὸν προσήκοντα· ἔςι γὰρ, ὅτε σιγὴ μᾶλλον ὠφέλησε λαλιᾶς. ὥσπερ καὶ λαλιὰ, μᾶλλον σιγῆς· διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος ἐκεῖνος ἔλεγε· „ Καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν· (Ἐκκλ. γ΄. 7.) καὶ ὁ Σειρὰχ εἶπεν· „ Εἰ ἔςι σοι λόγος, ἀποκρίθητι· εἰ δὲ μή, ἡ χεὶρ σου ἐν τῷ ςόματί σου, ὡς καὶ ἀλλαχοῦ εἶπεν ὁ αὐτός· „ Τοῖς λόγοις σου ποίησον ζυγὸν καὶ ςαθμὸν, καὶ τῷ ςόματί σου ποίησον θύραν καὶ μοχλὸν (Σειρ. κή. 25.) καὶ ἀλλαχοῦ· „ Μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας (Σειρ. δ΄. 26:) ἔφη δὲ ὁ Νύσσης Γρηγόριος· „ Δύω δέδωκεν ὁ Δημιουργὸς τῇ γλώττῃ τειχία, τὸ τῶν ὀδόντων, καὶ τὸ τῶν χειλέων, τὰς ἀλόγους αὐτῆς ἐπέχων ὁρμάς· διὰ τοῦτο καὶ ὁ λεπτότατος ἐκεῖνος ὑμὴν, ὁ ὑποδεσμῶν αὐτὴν τῇ κάτω γένυϊ, χαλινὸς λέγεται, ἵνα μὴ ἄτακτα καὶ ἀνοικονόμητα φθέγγηται. ὁ δὲ Κύριλλός φησιν· „ Οἶδεν ὁ μακάριος Προφήτης, ὅτι τὸ ἀδιαβλήτῳ κεχρῆσθαι λόγῳ, τοῦ παντός ἐςιν ἄξιον· γέγραπται γάρ· „ Εἴτις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα· (Ἰακ. γ΄. 2.) τὸ γε μὴν ἀνειμένῃ καὶ ἀφέτῳ κεχρῆσθαι γλώσσῃ, καὶ ἀχαλίνως ἰούσῃ πρὸς πᾶν τῶν κατεψευσμένων ὁτιοῦν, πῶς οὐκ ἄν τις μωμήσαιτο; Φίλων δὲ ὁ Ἑβραῖος εἶπε· „ Φαίνεται δυοῖν ἕνεκα τῶν ἀναγκαιοτάτων ἡ φύσις χείλη ἀνθρώποις ἁρμόσασθαι· ἑνὸς μὲν, ἡσυχίας· ἔρυμα γὰρ ταῦτα καὶ φραγμὸς ὀχυρώτατος φωνῆς· ἑτέρου δὲ, ἑρμηνείας· διὰ γὰρ τούτων τὸ τῶν λόγων νᾶμα φέρεται· συναχθέντων μὲν γὰρ, ἐπέχεται· (ὁ λόγος) διαςάντων δὲ, φέρεται· πολλῷ γε μὴν ἐλάττονα, ὧν ἀκούομεν χρὴ λαλεῖν· ἐπεὶ καὶ ἡ φύσις, τὸ χρειῶδες τοῦ λόγου πρὸς ἀκοὴν δι᾽ ἀναλογίας μετροῦσα, κατὰ τὸν μέγαν Βασίλειον, δύω μὲν ὦτα, μίαν δὲ γλῶτταν ἡμῖν ἐξειργάσατο· ὡς δέον διπλασίονα εἰς παιδείαν ἀκούειν, ἡμιολίῳ δὲ πρὸς τὰ ἐρωτήματα συνεςαλμένον προάγειν τὸν λόγον. λέγει δὲ καὶ ὁ Θεοδώρητος· „ Δύω μὲν ὁ Δημιουργὸς ἔδωκε τῇ γλώττῃ τείχη, τὸ τῶν ὀδόντων καὶ τὸ τῶν χειλέων, τὰς ἀλόγους αὐτῆς ἐπέχων ὁρμάς· ἀλλ᾽ ὅμως ὁ Προφήτης καὶ ἑτέρας ἀπολαῦσαι παρακαλεῖ φυλακῆς, δεδιὼς μήτι φθέγξηται σχετλιάζων οὐκ εὐπρεπές· ὅτι γὰρ, οὐδ᾽ ὑπὸ τοῦ Σαοὺλ καὶ διωκόμενος, εἰπεῖν τι βλάσφημον ἠνέσχετο πώποτε, μαρτυρεῖ ἡ ἱςορία.

διατὶ αὐτοὶ δὲν κάμνουν τὰς τοιαύτας ἁμαρτίας. ἠξεύρωντας γὰρ ὁ Διάβολος, κατὰ τὸν Χρυσόστομον, ὅτι ἡ μὲν ἐξομολόγησις καὶ ἐξαγόρευσις τῆς ἁμαρτίας, ἐξιλεώνει τὸν Θεόν. ἡ δὲ ἄρνησις καὶ τὸ κρύψιμον τῆς ἁμαρτίας, παρακινεῖ ἐξεναντίας τὸν Θεὸν εἰς ὀργήν: διὰ τοῦτο ὁ μιαρὸς πείθει τοὺς ἁμαρτάνοντας νὰ προφασίζωνται καὶ νὰ λέγουν, ὅτι αὐτοὶ δὲν ἥμαρτον, ἀλλὰ ἄλλο πρᾶγμα ἔξω ἀπὸ αὐτοὺς ἔγινεν αἴτιον τῆς ἁμαρτίας των. (1)

„ Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀ-
„ νομίαν.

Τοῦτο κρέμεται ἀπὸ τὸ ἀνωτέρω ἤγουν μὴν ἀφήσῃς, λέγει, τὴν καρδίαν μου Κύριε, νὰ προφασίζεται προφάσεις μαζὶ μὲ τοὺς παρανόμους καὶ ἁμαρτωλοὺς ἀνθρώπους. οὗτοι γὰρ εἶναι, ὁποῦ προσφατίζονται διαφόρους αἰτίας, ὕστερα ἀφ' οὗ ἁμαρτήσουν.

„ Καὶ οὐ μὴ συνδιάσω μετὰ τῶν ἐκλε-
„ κτῶν αὐτῶν.

Ἂν, λέγει, ἐσὺ Κύριε, μοὶ βοηθήσῃς, καὶ δὲν ὁμοιάσω μὲ τοὺς παρανόμους, κατὰ τὰς προφάσεις τῆς ἁμαρτίας. ἐγὼ βέβαια δὲν θέλω συναναστραφῶ καὶ συγκοινωνήσω, ὄχι μόνον μὲ τοὺς εὐτελεστέρους παρανόμους, ἀλλ' οὐδὲ μὲ τοὺς ὑπερέχοντας ἀνάμεσα εἰς αὐτούς. (2)

5: „ Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐ-
„ λέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ
„ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ἂς μὲ ἐλέγξῃ, λέγει, Κύριε, καὶ ἂς με ἐπιπλήξῃ ὁ δίκαιος, ἡ δὲ φιλοφροσύνη καὶ περιποίησις τοῦ ἁμαρτωλοῦ, ἂς μήμε δεξιωθῇ μηδέ, ἂς με θεραπεύσῃ. διότι καλλίτερον καὶ ὠφελιμώτερον εἶναι ἡ μάστιξ καὶ ὁ ἔλεγμος τοῦ δικαίου, παρὰ ἡ χάρις καὶ κολακεία καὶ γλυκολογία τοῦ ἁμαρτωλοῦ. τοῦτο γὰρ δηλοῖ τὸ ἔλαιον. καὶ τὸ ῥαβδὶ τοῦ δικαίου, εἶναι πλέον ψυχωφελέστερον, παρὰ ἡ τιμὴ καὶ εὐεργεσία τοῦ κακοῦ, κατὰ τὸν Θεολόγον Γρηγόριον. „ κρεῖσσον μάστιξ δικαίου, ἢ χάρις ἁμαρτωλοῦ. καὶ ῥάβδος δικαίου πλέον, ἢ τιμὴ κακοῦ. τὸ δὲ ἐν ἐλέει προστίθεται, διατὶ ὁ δίκαιος, παιδεύει μὲν καὶ ἐλέγχει, μὲ φιλανθρωπίαν ὅμως καὶ συμπάθειαν. εὐσπλαγχνίζε-

---

(1) Λέγει δὲ ὁ Χρυσορρήμων· „ Οὐχ ὅτι ὁ Θεὸς κλίνει τὴν καρδίαν, μὴ γένοιτο! ἀλλ' ὃ λέγει· τοῦτό ἐστι· μὴ ἀφῇς κλιθῆναι· μὴ ἀφῇς περιτραπῆναι εἰς ἐννοίας πονηράς· ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς κακίας καὶ τῆς ἀρετῆς· ἀπὸ τῆς καρδίας· λόγοι δὲ πονηρίας, οἱ πονηροὺς ποιοῦντες· ὃ γὰρ οἱ λοιμώδεις ἀέρες εἰς σώματα ἐργάζονται· τοῦτο οὗτοι εἰς τὴν ψυχήν· αὕτη δὲ μάλιστα τῆς ἀπωλείας ἡ ὁδός· ὅταν ἁμαρτάνουσα ψυχὴ τὸν φόβον ἐκκλίνῃ, καὶ προφάσεις τινὰς ἐπινοῇ, λόγους συνηγόρους τοῖς πάθεσιν ἀνευρίσκουσα· κακὸν μὲν γὰρ τὸ ἁμαρτεῖν· χαλεπώτερον δὲ αὐτὸ ποιεῖ, τὸ ἀρνεῖσθαι μετὰ τὸ ἁμαρτεῖν· ὅταν οὖν ἁμάρτῃς, εἰπέ· ἥμαρτον· ταύτης τῆς ἀπολογίας οὐδὲν ἀνώτερον· οὕτω τὸν Θεόν, ἵλεων ποιεῖς· οὕτω καὶ σεαυτὸν ὀκνηρότερον εἰς τὸ τοῖς αὐτοῖς περιπεσεῖν· προσφυῶς δὲ λέγει εἰς τοῦτο καὶ ὁ Θεοδώριτος· Ἠδύνατο λογίσασθαι ὁ μακάριος Δαβίδ, ὅτι ἐχθρὸς καὶ πολέμιος ὁ Σαοὺλ, καὶ τῆς σφαγῆς ἐφιέμενος τῆς ἐμῆς· οὐκ ἄδικον τοίνυν ἀνελεῖν τὸν τοιοῦτον, τοῦ νόμου διαγορεύοντος· ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις τὸν ἐχθρόν σου· ἀλλὰ τὴν Εὐαγγελικὴν προθεωρῶν πολιτείαν, κατ' ἐκείνην ἤθελε βιοῦν· καὶ εὔχεται μηδεμίαν πρόφασιν εἰς ἁμαρτίαν λαβεῖν.

(2) Ἄλλος δὲ ἑρμηνευτὴς λέγει· „ Μηδὲ συμφάγοιμι τὰ ἡδέα αὐτῶν. ἄλλος· „ Μὴ συναλισθῶ ἐν ταῖς τερπνότησιν αὐτῶν· ἅπερ ὁ Χρυσορρήμων ἑρμηνεύων λέγει· „ Τὸ Ἀποστολικὸν ἐνταῦθα λέγει, ὅτι καὶ τρυφὰς τῶν τοιούτων καὶ συμπόσια φεύγειν δεῖ· ἔνθα μάλιστα τὰ τῆς ἁμαρτίας αὐλίζεται· ὁ δὲ Θεοδώριτος λέγει· „ Ταῦτα, φησί, δρῶσιν οἱ τῆς παρανομίας ἐργάται· ἐμοὶ δὲ μὴ, εἴη τις πρὸς αὐτοὺς κοινωνία, κἂν τὴν ἄκραν ἔχωσιν εὐκληρίαν, ἐκλεκτοὺς γὰρ ἐνταῦθα τῶν πονηρῶν τοὺς εὐημεροῦντας καλεῖ.

ζεται γὰρ, ἵνα μὴ ἀπολεσθῇ ὁ ἁμαρτάνων ἀδελφός του, ἐὰν δὲν λάβῃ τὸν πρέποντα ἔλεγχον. (1)

„ Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς
„ εὐδοκίαις αὐτῶν.

